2 Στήν ἀρχή δίσταζα θέλοντας ν' ἀποφύγω – θά πῶ τήν ἀλήθεια – τό ἀντικείμενο τοῦ λόγου· ὄχι πώς δέν ἤθελα, ἀγαπημένοι μου, νά σᾶς δώσω μέ κάθε τρόπο ὅσο μποροῦσα ὅ,τι ἐπιθυμούσατε, ἀλλά μήτε τή χάρη εἶχα πού ὁδηγεῖ τούς ἄξιους σέ τοῦτο, μήτε καί εἶχα δοκιμαστεῖ στή δύναμη και τήν ἐξοικείωση μέ τό λόγο. Ζοῦσα στήν ἀμάθειά μου κι ἤμουν ὁλότελα ἀνίδεος ἀπό τούς τεχνιτούς λόγους πού ἡ χάρη τους τελειώνει μέ τήν ἀπαγγελία τους. Σ' αὐτούς οἱ πολλοί βρίσκουν τή μεγαλύτερη χαρά, παριφέροντας τήν εὐχαρίστηση στήν ἀκοή, κι ἄς μήν ἔχουν στό βάθος πολλές φορές τίποτα πού ν' ἀξίζει, καί γιά νά πῶ τό σημαντικότερο καί πιό ἀληθινό, φοβόμουν μήπως μέ τή μηδαμινότητα τοῦ λόγου μου προσβάλω τόν ὑψηλό λόγο καί στοχασμό σχετικά μέ τά θεία τοῦ μακαριστοῦ ἐκείνου γέροντα. Ἀλλά τέλος ὑποχώρησα στή Βία τῆς ἀγάπης, πού εἶναι πιό δυνατή ἀπό ὅλα, καί δέχτηκα μέ τή θέλησή μου τήν ἐντολή της. Προτίμησα νά μέ περιγελάσουν ἐξ αἰτίας τῆς ὑπακοῆς μου οἱ πρόθυμοι σ' ἐπίκριση γιά τό θράσος καί τήν ἀπαιδευσία μου, παρά νά μέ νομίσετε ἐσεῖς ὅτι μέ τήν ἀναβολή μου δέν ἤθελα νά σᾶς βοηθήσω σέ κάθε καλή προσπάθεια. Τή φροντίδα γιά τό πῶς θά μιλήσω τήν ἄφησα στό Θεό «στό μόνο πού θαυματουργεῖ[2] καί πού βάζει στήν ψυχή τοῦ ἀνθρώπου τή γνώση[3] καί δυναμώνει τή γλώσσα τῶν μουγγῶν»[4], βρίσκει διέξοδο στ' ἀδιέξοδο, «σηκώνει τόν πεσμένο ἀπό τό πέσιμό

4. Σοφ. Σολ. 10,21.

*οῦντι· καὶ «ἐγείροντι μὲν ἀπὸ γῆς πτωχόν, ἀπὸ δὲ κοπρίας ἀνυψοῦντι πένητα»· τοῦ σαρκικοῦ λέγω φρονήματος καὶ τῆς δασώδους τῶν παθῶν ἰλύος· τὸν πτωχὸν τῷ πνεύματι ἢ τὸν κακίας πτωχεύοντα καὶ τῆς κατ' αὐτὴν πενόμενον ἕξεως· ἢ τοὐναντίον, καὶ τὸν ἔτι τῷ νόμῳ τῆς σαρκὸς καὶ τοῖς πάθεσιν ἐνεχόμενον, καὶ διὰ τοῦτο τῆς κατ' ἀρετὴν καὶ γνῶσιν πτωχεύοντα καὶ πενόμενον χάριτος.*

3 *Ἀλλ' ἐπειδὴ τῷ παναγίῳ καὶ ὄντως θεοφάντορι Διονυσίῳ τῷ Ἀρεοπαγίτῃ ἐν τῇ Περὶ τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας πραγματείᾳ, καὶ τὰ κατὰ τὴν ἱερὰν τῆς ἁγίας συνάξεως τελετὴν ἀξίως τῆς αὐτοῦ μεγαλονοίας τεθεώρηται σύμβολα· ἰστέον, ὡς οὐ τὰ αὐτὰ νῦν ὁ λόγος διεξέρχεται, οὔτε διὰ τῶν αὐτῶν ἐκείνῳ προέρχεται. Τολμηρὸν γὰρ καὶ αὔθαδες καὶ ἀπονοίας ἐγγύς, ἐγχειρεῖν τοῖς ἐκείνου πειρᾶσθαι, τὸν μήτε χωρεῖν αὐτὸν ἢ νοεῖν δυνάμενον· καὶ ὡς ἴδια προκομίζειν, τὰ ἐνθέως ἐκείνῳ μόνῳ διὰ τοῦ Πνεύματος φανερωθέντα μυστήρια, ἀλλ' ὅσα καὶ ἄλλοις ὡς ληπτὰ παρ' αὐτοῦ φιλανθρώπως βουλήσει Θεοῦ παρελείφθη πρὸς ἔκθεσιν καὶ γυμνασίαν τῆς αὐτῶν ἐκείνων περὶ τὰ θεῖα κατὰ τὴν ἔφεσιν ἕξεως· καὶ δι' ὧν συμμέτρως αὐτοῖς ἡ παμφαὴς τῶν τελουμένων ἀκτὶς κατανοουμένη καθίσταται γνώριμος, καὶ πρὸς ἑαυτὴν κατέχει τῷ πόθῳ περιληφθέντας, ἵνα μὴ παντελῶς οἱ μετ' αὐτὸν ὦσιν ἀργοί, τὴν πᾶσαν τοῦ χρόνου τῆς παρούσης ζωῆς ἡμέραν, οὐκ ἔχοντες τὸν πρὸς τὴν θείαν ἐκείνην ἀμπελουργίαν μισθούμενον λόγον, τὸν ὑπὲρ τῆς πνευματικῆς ἐργασίας τοῦ πνευματικοῦ ἀμπελῶνος, τὸ συληθὲν κατ' ἀρχὰς ὑπὸ*

---

5. Ψαλμ. 112,7.

6. Πρβλ. Ματθ. 20,2–16.

του καί ὀρθώνει τό φτωχό ἀπό τήν κόπρο του»[5]· ἐννοῶ ὅτι ἀπό τό σαρκικό φρόνημα καί τό δύσοσμο βοῦρκο τῶν παθῶν σηκώνει ὅποιον ἔχει ταπεινή ἰδέα γιά τόν ἑαυτό του καί εἶναι φτωχός ἀπό κακία καί εἶναι ἄπορος ἀπό τήν ἕξη της. Ἤ ἀντίθετα κι ἐκεῖνον πού εἶναι ἀκόμα πλεγμένος στό νόμο τῆς σάρκας καί στά πάθη καί γι' αὐτό εἶναι φτωχός κι ἄπορος τῆς χάρης, πού φέρνει ἡ ἀρετή καί ἡ γνώση.

3 Ὁ πανάγιος ὅμως κι ἀληθινός θεοφάντωρ Διονύσιος ὁ Ἀρεοπαγίτης στήν πραγματεία του Περί Ἐκκλησιαστικῆς Ἱεραρχίας ἔχει συλλάβει κι ἐξηγήσει ἀντάξια στή μεγαλοσύνη τοῦ νοῦ του τά σύμβολα πού χρησιμοποιοῦνται στήν τελετή τῆς ἁγίας σύναξης. Γι' αὐτό πρέπει νά γνωρίζομε ὅτι ὁ λόγος μας δέ διεξέρχεται τά ἴδια πράγματα, οὔτε προχωρεῖ ἀπό τά ἴδια μ' ἐκεῖνον. Ἀποτελεῖ τόλμημα καί θράσος καί πλησιάζει τήν ἀνοησία νά δοκιμάσει κανένας νά καταπιαστεῖ μέ ὅποια κι ἐκεῖνος θέματα, ἐνῶ μήτε νά τά πλησιάσει μπορεῖ, μήτε καί νά τά κατανοήσει. Οὔτε μπορεῖ νά παρουσιάσει σάν δικά του ὅσα μυστήρια φανερώθηκαν θεϊκά σ' ἐκεῖνον μονάχα μέ τήν ἐνέργεια τοῦ Πνεύματος. Θά ἐκτεθοῦν ἐδῶ ὅσα, μέ τήν ἰδέα ὅτι τά ἔχει ἐκεῖνος περιλάβει στήν ἔκθεσή του, ἔχουν οἱ ἄλλοι ἀπό φιλανθρωπία καί θέληση τοῦ Θεοῦ παραλείψει νά ἐκθέσουν καί νά γυμνάσουν ἔτσι κατά τήν ἐπιθυμία τους τήν ἴδια τή διάθεση γιά τά θεῖα· ἐπίσης ἐκεῖνα μέ τά ὁποῖα μέ σύμμετρη πρός αὐτά κατανόηση γίνεται γνωστή σ' ἐμᾶς ἡ ὁλόφεγγη ἀκτινοβολία τῶν τελουμένων καί πιασμένους στό δίχτυ τοῦ πόθου της μᾶς κρατάει κοντά της. Ἔτσι ὅλοι οἱ ἔπειτ' ἀπ' αὐτά δέ θά μείνουν ὁλότελα ἀργοί σ' ὅλη τή χρονική διάρκεια τῆς ζωῆς αὐτῆς, ἐπειδή δέν θά ἔχουν τό λόγο πού μισθώνει ἐργάτες στήν καλλιέργεια τῆς θείας ἐκείνης ἀμπέλου, πού πληρώνει γιά τήν πνευματική ἐργασία μέσα στόν πνευματικό ἀμπελώνα[6] τό

*τοῦ πονηροῦ δι᾽ ἀπάτης κατὰ τὴν τῆς ἐντολῆς παράβασιν, πνευματικὸν τῆς θείας καὶ βασιλικωτάτης εἰκόνος δηνάριον ἀποδιδόντα.*

4 *Οὐ πάντα δὲ τὰ τῷ μακαρίῳ γέροντι μυστικῶς θεωρηθέντα λέγειν καθεξῆς ἐπαγγέλλομαι· οὐδ᾽ αὐτὰ τὰ λεγόμενα, ὡς ἐνοήθη τε παρ᾽ ἐκείνου καὶ ἐλέχθη. Ἐκεῖνος γάρ, πρὸς τὸ φιλόσοφος εἶναι καὶ πάσης παιδείας διδάσκαλος, δι᾽ ἀρετῆς περιουσίαν καὶ τῆς περὶ τὰ θεῖα χρονιωτέρας τε καὶ ἐπιστημονικωτέρας τριβῆς καὶ φιλοπονίας, τῶν τῆς ὕλης δεσμῶν καὶ τῶν κατ᾽ αὐτὴν φαντασιῶν ἐλεύθερον ἑαυτὸν καταστήσας, τόν τε νοῦν εἰκότως εἶχε ταῖς θείαις αὐγαῖς περιλαμπόμενον, καὶ διὰ τοῦτο δυνάμενον εὐθέως ὁρᾶν τὰ τοῖς πολλοῖς μὴ ὁρώμενα, καὶ τὸν λόγον ἑρμηνευτὴν ἀκριβέστατον τῶν νοηθέντων· καὶ ἐσόπτρου δίκην ὑπ᾽ οὐδεμιᾶς κηλίδος παθῶν ἐμποδιζόμενον, ἀκραιφνῶς τὰ ἄλλοις μήτε νοηθῆναι δυνάμενα, καὶ φέρειν καὶ λέγειν ἰσχύοντα· ὡς δύνασθαι τοὺς ἀκροατὰς ὅλον μὲν τῷ λόγῳ τὸν νοῦν ὁρᾶν ἐποχούμενον· ὅλα δὲ ὅλῳ τῷ νῷ καθαρῶς ἐμφαίνεσθαι τὰ νοηθέντα, καὶ διὰ τῆς τοῦ λόγυο μεσιτείας αὐτοῖς διαπορθμευόμενα δέξασθαι· ἀλλ᾽ ὅσα διὰ μνήμης τε φέρω, καὶ ὡς νοεῖν ἀμυδρῶς καὶ λέγειν ἀμυδρότερον δύναμαι· πλὴν εὐσεβῶς, χάριτι τοῦ τὰ ἐσκοτισμένα φωτίζοντος Θεοῦ. Μηδὲ γὰρ οἴεσθαι δεῖν ὑμᾶς ὑπολαμβάνω, δικαίως κρίνειν εἰδότας, ἄλλως με νοεῖν ἢ λέγειν δύνασθαι, ἢ ὡς νοεῖν καὶ λέγειν δύναμαι, καὶ ἡ ἄνωθεν χάρις ἐνδίδωσιν, οἰκείως τῆς ἀναλογούσης μοι προνοουμένης δυνάμεως, κἂν ὁ παραδοὺς μάλιστα καὶ διδάξας ἐστὶν ὑψηλότατος. Ἐπεὶ τὸ τὰ ἴσα ζητεῖν παρὰ τῶν μὴ ἴσων τὴν ἀρετὴν καὶ τὴν γνῶσιν,*

πνευματικό δηνάριο τῆς θεϊκῆς κι ἀληθινά βασιλικῆς εἰκόνας συλημένο τήν αὐγή τῆς ζωῆς ἀπό τόν πονηρό μέ ἀπάτη κατά τήν παράβαση τῆς ἐντολῆς.

4 Δέν ὑπόσχομαι ἀκόμα ὅτι θά ἐκθέσω μέ τή σειρά ὅλα ὅσα εἶδε στή μυστική θεωρία του ὁ μακάριος γέροντας, οὔτε τούς ἴδιους τούς λόγους του, ὅπως τούς στοχάστηκε ἐκεῖνος καί τούς διατύπωσε. Ἐκεῖνος ἦταν φιλόσοφος καί δάσκαλος κάθε σοφίας καί ἀπό τήν πολλή ἀρετή καί τή μακρόχρονη καί σωματική του ἀπασχόληση καί τριβή μέ τά θεῖα, ἀπελευθέρωσε τόν ἑαυτό του ἀπό τά δεσμά τῆς ὕλης κι ἀπό τίς φαντασίες πού αὐτή προξενεῖ. Ἦταν ἀκόμα τό πνεῦμα του δίκαια λουσμένο στίς θεϊκές λάμψεις καί γι' αὐτό μποροῦσε ν' ἀντικρύζει κατάματα ὅσα δέ βλέπουν οἱ πολλοί, κι ὁ λόγος του ἦταν ἀκριβέστατος ἐξηγητής τῶν στοχασμῶν του. Ἦταν σάν τόν καθρέφτη πού δέν τόν σκοτεινιάζει ἡ κηλίδα κανενός πάθους κι ἔχει τή δύναμη νά κρατήσει καί ν' ἀποκαλύψει γνήσια ὅσα οἱ ἄλλοι μήτε νά στοχαστοῦνε δέν μποροῦν. Κι ἔτσι μποροῦσαν οἱ ἀκροατές νά βλέπουν ὅλη τή σκέψη του πάνω στό ὄχημα τοῦ λόγου καί νά παρουσιάζονται ὅλα ὅσα νοήθηκαν ὁλοκάθαρα μέ ὅλο τό νόημά τους καί νά τά δέχονται μεταφερμένα σ' αὐτούς μέ τή βοήθεια τοῦ λόγου. Θά σᾶς ἐκθέσω ὅσα διασώζει ἡ μνήμη μου κι ὅπως μπορεῖ ἡ σκέψη μου νά παρακολουθήσει θαμπά κι ἀκόμα πιό θαμπά ὁ λόγος μου νά διατυπώσει. Θά μιλήσω ὅμως μ' εὐλάβεια, μέ τή χάρη τοῦ Θεοῦ, πού φωτίζει τά σκοτεινά. Καί δέν πρέπει θαρρῶ, νά νομίζετε, σεῖς πού γνωρίζετε νά κρίνετε ὀρθά, ὅτι κατ' ἄλλο τρόπο εἶναι δυνατό νά σκέφτομαι ἤ μιλῶ ἀπό ὅ,τι μπορῶ νά σκέφτομαι καί νά μιλῶ κι ἀπό ὅ,τι μοῦ παραχωρεῖ ἡ θεία χάρη σύμφωνα μέ τή δύναμη, πού κατά πρόνοια μοῦ ἀναλογεῖ, ἀκόμα κι ἄν ἐκεῖνος πού μοῦ παράδωσε τά μυστικά αὐτά κι ἔγινε δάσκαλός μου φτάνει σέ ὕψος ἀφάνταστο. Τό νά ζητεῖς ἴσα ἀποτελέσματα ἀπό ἐκείνους πού δέν εἶναι

οὐ πόρρω μοι δοκεῖ τυγχάνειν τῶν δείξειν πειρωμένων τῷ ἡλίῳ, κατὰ τὸ ἴσον τὴν σελήνην φωτίζουσαν· καὶ τὰ μὴ πάντῃ ταῦτα συμβαίνειν ἀλλήλοις κατὰ πάντα δύνασθαι βιαζομένων, ὅπερ ἀμήχανον καὶ ἀδύνατον.

5 Ἡγείσθω δὲ ὁ Θεὸς τῶν λεγομένων τε καὶ νοουμένων, ὁ μόνος νοῦς τῶν νοούντων καὶ νοουμένων, καὶ λόγος τῶν λεγόντων καὶ λεγομένων, καὶ ζωὴ τῶν ζώντων καὶ ζωουμένων, καὶ πᾶσι πάντα καὶ ὢν καὶ γινόμενος, δι' αὐτὰ τὰ ὄντα καὶ γινόμενα· δι' ἑαυτὸν δὲ οὐδὲν κατ' οὐδένα τρόπον οὐδαμῶς οὔτε ὢν οὔτε γινόμενος, τῶν ἅ τι τῶν ὄντων ἐστὶ καὶ γινομένων, οἷα μηδενὶ τὸ παράπαν τῶν ὄντων φυσικῶς συντασσόμενος· καὶ διὰ τοῦτο, τὸ μὴ εἶναι μᾶλλον, διὰ τὸ ὑπερεῖναι, ὡς οἰκειότερον ἐπ' αὐτοῦ λεγόμενον προσιέμενος.

6 Δεῖ γὰρ, εἴπερ ὡς ἀληθῶς τὸ γνῶναι διαφορὰν Θεοῦ καὶ κτισμάτων ἐστὶν ἀναγκαῖον ἡμῖν, θέσιν εἶναι τοῦ ὑπερόντος τὴν τῶν ὄντων ἀφαίρεσιν· καὶ τὴν τῶν ὄντων θέσιν, εἶναι τοῦ ὑπερόντος ἀφαίρεσιν· καὶ ἄμφω περὶ τὸν αὐτὸν κυρίως θεωρεῖσθαι τὰς προσηγορίας, καὶ μηδεμίαν κυρίως δύνασθαι· τὸ εἶναί φημι, καὶ μὴ εἶναι. Ἄμφω μὲν κυρίως, ὡς τῆς μὲν τοῦ εἶναι τοῦ Θεοῦ κατ' αἰτίαν τῶν ὄντων θετικῆς, τῆς δὲ καθ' ὑπεροχὴν αἰτίας τοῦ εἶναι πάσης τῶν ὄντων ἀφαιρετικῆς· καὶ μηδὲ μίαν κυρίως πάλιν, ὡς οὐδεμιᾶς τὴν κατ' οὐσίαν αὐτὴν καὶ φύσιν τοῦ τί εἶναι τοῦ ζητουμένου θέσιν παριστώσης. Ὧι γὰρ μηδὲν τὸ σύνολον φυσικῶς κατ' αἰτίαν συνέζευκται, ἢ ὂν ἢ μὴ ὄν· τούτῳ οὐδὲν τῶν ὄντων καὶ λεγομένων, οὐδὲ τῶν μὴ ὄντων καὶ μὴ λεγομέ-

ἴσοι στήν ἀρετή καί τή γνώση, δέν εἶναι μακριά νομίζω ἀπό τήν προσπάθεια μερικῶν νά δείξουν, ὅτι ἡ σελήνη φωτίζει ἴδια μέ τόν ἥλιο καί πού βιάζουν ὅσα δέν εἶναι ἴδια σέ ὅλα, νά συμφωνήσουν μεταξύ τους σέ ὅλα· πράγμα ἀδύνατο κι ἀκατόρθωτο.

5 Ἄς προηγεῖται ὁ Θεός σέ ὅσα λέμε καί σκεφτόμαστε, ὁ μοναδικός νοῦς ὅσων νοοῦν καί ὅσων νοοῦνται, ὁ λόγος ὅσων λέγουν καί ὅσων λέγονται, ἡ ζωή ὅσων ζοῦνε κι ὅσων βιώνονται, πού εἶναι καί γίνεται τά πάντα γιά τά πάντα, γι' αὐτά τά ἴδια πού εἶναι καί γίνονται καί πού γιά τόν ἑαυτό του μέ κανένα τρόπο δέν εἶναι καί δέ γίνεται τίποτα ἀπ' ὅσα ἀναφέρονται σέ κάποιο ἀπ' αὐτά πού εἶναι καί γίνονται, ἀφοῦ δέν ἀνήκει καθόλου κατά τή φύση στήν ἴδια τάξη μέ κανένα ἀπό τά ὄντα. Γι' αὐτό δέχεται πιό πολύ ν' ἀποδίδεται σ' ἐκεῖνον, σάν συγγενικότερο πρός τή φύση του, τό μή εἶναι, ἐπειδή αὐτός ὑπερβαίνει τό εἶναι.

6 Ἄν εἶναι ἀπαραίτητο γιά μᾶς νά γνωρίσομε τή διαφορά τοῦ Θεοῦ καί τῶν δημιουργημάτων, εἶναι ἀνάγκη ν' ἀποτελεῖ θέση γιά τόν πέρ' ἀπό τά ὄντα ὅ,τι εἶναι ἄρνηση γιά τά ὄντα· κι ἀντίθετα, ὅ,τι ἀποτελεῖ θέση γιά τά ὄντα, εἶναι ἄρνηση γιά τά πέρ' ἀπό αὐτά· καί νά θεωρεῖται ὅτι ἀληθεύουν γι' αὐτόν καί οἱ δύο χαρακτηρισμοί· καί πάλι ὅτι κανένας ἀπό τούς δύο δέν ἀληθεύει γι' αὐτόν, τό εἶναι καί τό μή εἶναι θέλω νά πῶ. Ἀληθεύουν καί οἱ δύο, ἐπειδή ὁ ἕνας καταφάσκει τήν ὕπαρξη τοῦ Θεοῦ ὡς αἰτίας τῶν ὄντων, κι ὁ ἄλλος ἀποτελεῖ ἄρνηση τοῦ εἶναι τοῦ Θεοῦ ὡς ὑπέρβασης τῆς αἰτίας τῶν ὄντων. Καί δέν ἀληθεύει πάλι κανένας γι' αὐτόν, γιατί κανένας δέν παριστάνει ἐκεῖνον πού ζητοῦμε τί εἶναι σύμφωνα μέ τήν οὐσία καί τή φύση του. Εἶναι δηλαδή φυσικό κανένα ἀπό τά ὄντα καί λεγόμενα κι ἀπό τά μή ὄντα καί μή λεγόμε-

*νων, εἰκότως ἐστὶν ἐγγύς. Ἁπλῆν γὰρ καὶ ἄγνωστον καὶ πᾶσιν ἄβατον ἔχει τὴν ὕπαρξιν, καὶ παντελῶς ἀνερμήνευτον, καὶ πάσης καταφάσεώς τε καὶ ἀποφάσεως οὖσαν ἐπέκεινα. Καὶ ταῦτα μὲν περὶ τούτων· ἐπὶ δὲ τὴν προκειμένην τοῦ λόγου ὑπόθεσιν ἔλθωμεν.*

να νά μήν εἶναι παραπλήσιο μ' ἐκεῖνο μέ τό όποῖο – εἴτε ὡς ὄν εἴτε ὡς μή ὄν – δέν ἔχει κατά τή φύση στό σύνολό του αἰτιακό σύνδεσμό. Γιατί εἶναι ἁπλή κι ἄγνωστη κι ἀπρόσιτη σ' ὅλους ἡ ὕπαρξή του καί ἀνερμήνευτη ὁλότελα καί πέρα ἀπό κάθε βεβαίωση κι ἄρνηση. Αὐτά γιά τό σημεῖο τοῦτο. Ἀλλά ἄς προχωρήσουμε στό προκείμενο θέμα τοῦ λόγου μας.

## *Α*

## ***Πῶς τε καὶ ποίῳ τρόπῳ εἰκών ἐστι καὶ τύπος Θεοῦ ἡ ἁγία Ἐκκλησία***

1 *Τὴν τοίνυν ἁγίαν Ἐκκλησίαν κατὰ πρώτην θεωρίας ἐπιβολήν, τύπον καὶ εἰκόνα Θεοῦ φέρειν, ἔλεγεν ὁ μακάριος γέρων, ὡς τὴν αὐτὴν αὐτῷ κατὰ μίμησιν καὶ τύπον ἐνέργειαν ἔχουσαν.*

2 *Ὥσπερ γὰρ ὁ Θεὸς πάντα τῇ ἀπείρῳ δυνάμει ποιήσας καὶ εἰς τὸ εἶναι παραγαγών, συνέχει καὶ συνάγει καὶ περιγράφει, καὶ ἀλλήλοις καὶ ἑαυτῷ προνοητικῶς ἐνδιασφίγγει, τά τε νοητὰ καὶ τὰ αἰσθητά, καὶ περὶ ἑαυτὸν ὡς αἰτίαν καὶ ἀρχὴν καὶ τέλος πάντα περικρατῶν, τὰ κατὰ τὴν φύσιν ἀλλήλων διεστηκότα, κατὰ μίαν τὴν πρὸς αὐτὸν ὡς ἀρχὴν σχέσεως δύναμιν ἀλλήλοις συννενευκότα ποιεῖ· καθ' ἣν εἰς ταυτότητα κινήσεώς τε καὶ ὑπάρξεως ἀδιάφθορον καὶ ἀσύγχυτον ἄγεται τὰ πάντα, πρὸς οὐδὲν οὐδενὸς τῶν ὄντων προηγουμένως κατὰ φύσεως διαφορὰν ἢ κινήσεως στασιάζοντός τε καὶ διαιρουμένου· πάντων πᾶσι κατὰ τὴν μίαν τῆς μόνης ἀρχῆς καὶ αἰτίας ἀδιάλυτον σχέσιν τε καὶ φρουρὰν ἀφύρτως συμπεφυκότων· τὴν πάσας τε καὶ ἐπὶ πᾶσι κατὰ*

# Α΄

## Πῶς καί μέ ποιό τρόπο ἡ ἁγία Ἐκκλησία εἶναι εἰκόνα καί τύπος τοῦ Θεοῦ

1 Ἔλεγε λοιπόν ὁ μακάριος ἐκεῖνος γέροντας μ' ἕνα πρῶτο συμβολισμό τῆς θεωρίας του, ὅτι ἡ ἁγία Ἐκκλησία εἶναι τύπος κι εἰκόνα τοῦ Θεοῦ, ἐπειδή μιμεῖται τήν ἴδια τήν ἐνέργεια ἐκείνου καί δανείζεται τόν τύπο της.

2 Ὁ Θεός δηλαδή δημιούργησε τά πάντα μέ τήν ἄπειρη δύναμή του καί τά ἔφερε στήν ὕπαρξή, τά συγκρατεῖ, τά συνενώνει καί χαράζει τά ὅριά τους. Συνδέει μέ τήν πρόνοιά του τό ἕνα μέ τό ἄλλο καί μέ τόν ἑαυτό του, καί τά νοητά καί τά αἰσθητά. Καί ὡς αἰτία τους κι ἀρχή καί τέλος κρατώντας γύρω ἀπό τόν ἑαυτό του μαζί τά πάντα, ἐνῶ κατά τή φύση βρίσκονται σέ διάσταση, τά κάνει νά συγκατανεύουν τό ἕνα στό ἄλλο σύμφωνα μέ τήν τάση τους πρός αὐτόν, ὡς ἀρχή τῆς σχέσης. Σύμφωνα μ' αὐτήν ὁδηγοῦνται ὅλα σέ μία ταυτότητα κίνησης καί ὕπαρξης ἀκατάλυτης κι ἀσύγχυτης καί κανένα ἀπό τά ὄντα δέ στασιάζει προτρέχοντας ἐναντίον κάποιου ἄλλου, οὔτε ἀποσπᾶται ἀπ' αὐτό σύμφωνα μέ τή διαφορά πού χαρακτηρίζει τή φύση καί τήν κίνησή του. Συμφύονται ὅλα μαζί μέ ὅλα, χωρίς νά συγχέωνται, σύμφωνα μέ τήν ἀδιάσπαστη σχέση ὡς φύλαξη τῆς μοναδικῆς ἀρχῆς κι

*τὴν ἑκάστου τῶν ὄντων φύσιν θεωρουμένας ἰδικὰς σχέσεις, καταργοῦσαν τε καὶ ἐπικαλύπτουσαν· οὐ τῷ φθείρειν αὐτὰς καὶ ἀναιρεῖν καὶ μὴ εἶναι ποιεῖν, ἀλλὰ τῷ νικᾶν καὶ ὑπερφαίνεσθαι, ὥσπερ ὁλότης μερῶν ἢ καὶ αὐτῆς αἰτία τῆς ὁλότητος ἐπιφαινομένη, καθ' ἣν ἥ τε ὁλότης αὐτὴ καὶ τὰ τῆς ὁλότητος μέρη φαίνεσθαί τε καὶ εἶναι πέφυκεν, ὡς ὅλην ἔχοντα τὴν αἰτίαν ἑαυτῶν ὑπερλάμπουσαν· καὶ ὥσπερ ἥλιος ὑπερφανεὶς ἀστέρων καὶ φύσιν καὶ δύναμιν, οὕτω τὴν αὐτῶν ὡς αἰτιατῶν αἰτίαν καλύπτουσαν ὕπαρξιν. Πέφυκε γὰρ ὥσπερ ἐκ τῆς ὁλότητος τὰ μέρη, οὕτω δὲ κἀκ τῆς αἰτίας τὰ αἰτιατὰ καὶ εἶναι κυρίως, καὶ γνωρίζεσθαι καὶ τὴν ἑαυτῶν σχολάζουσαν ἔχειν ἰδιότητα, ἡνίκα τῆς πρὸς τὴν αἰτίαν ἀναφορᾶς περιληφθέντα, ποιωθῇ δι' ὅλου κατὰ μίαν, ὡς εἴρηται, τῆς πρὸς αὐτὴν σχέσεως δύναμιν. Πάντα γὰρ ἐν πᾶσιν ὤν, ὁ ἀπείροις μέτροις ὑπὲρ πάντα Θεός, μονώτατος τοῖς καθαροῖς τὴν διάνοιαν ὁραθήσεται· ἡνίκα ὁ νοῦς τοὺς τῶν ὄντων θεωρητικῶς ἀναλεγόμενος λόγους, εἰς αὐτὸν καταλήξει τὸν Θεόν, ὡς αἰτίαν καὶ ἀρχὴν καὶ τέλος τῆς τῶν ὅλων παραγωγῆς καὶ γενέσεως, καὶ πυθμένα τῆς πάντων περιοχῆς ἀδιάστατον.*

3 *Κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τὰ αὐτὰ τῷ Θεῷ περὶ ἡμᾶς ὡς ἀρχετύπῳ εἰκὼν ἐνεργοῦσα δειχθήσεται. Πολλῶν γὰρ ὄντων καὶ ἀπείρων ἀριθμῷ σχεδόν, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων, γένει καὶ εἴδει, καὶ ἔθνεσι καὶ γλώσσαις, καὶ βίοις καὶ ἡλικίαις καὶ γνώμαις καὶ τέχναις καὶ*

αἰτίας, πού καταργεῖ κι ἐπισκιάζει ὅλη τή σχέση, πού θεωροῦνται ὅτι προσιδιάζουν σέ ὅλα τά ὄντα ἀνάλογα μέ τή φύση καθενός. Ὄχι μέ τό νά τίς καταστρέφει καί νά τίς ἀναιρεῖ καί νά τίς κάνει νά μήν ὑπάρχουν, ἀλλά μέ τό νά τίς νικᾶ καί νά λάμπει ἀπάνωθέ τους, ὅπως ἀκριβῶς ἡ ὁλότητα πάνω ἀπό τά μέρη της ἤ μέ τό νά παρουσιάζεται σάν αἰτία τῆς ὁλότητας αὐτῆς, σύμφωνα μέ τήν ὁποία καί ἡ ἴδια ἡ ὁλότητα καί τά μέρη τῆς ὁλότητας εἶναι φυσικό νά φαίνονται καί νά ὑπάρχουν· γιατί ἔχουν ὁλάκερη τήν αἰτία τους νά λάμπει ἀπάνωθέ τους. Κι ὅπως ὁ ἥλιος λάμποντας ἀπό ψηλά ξεπερνᾶ τή φύση καί τή δύναμη τῶν ἄστρων, ἔτσι κι ἡ ὁλότητα ὡς αἰτία τους καλύπτει καί τήν ὕπαρξη τῶν μερῶν αὐτῶν. Γιατί, ὅπως τά μέρη ἐξαρτῶνται ἀπό τό ὅλο, ἔτσι εἶναι φυσικό καί τά αἰτιατά ν' ἀντλοῦν τήν ἰσχύ τους ἀπό τήν αἰτία καί νά χαρακτιρίζονται ἀπ' αὐτή ἀφήνοντας ν' ἀδρανεῖ τό ἀτομικό τους γνώρισμα, ὅταν, πιασμένα μέσα στήν ἀναφορά τους πρός τήν αἰτία, λάβουν ἐξολοκλήρου τήν ποιότητα ἐκείνης, σύμφωνα μέ τήν ἀδιάσπαστη, ὅπως εἴπαμε, δύναμη πού ἔχει ἡ σχέση τους μ' αὐτήν. Ἀφοῦ τά πάντα μέσα στά πάντα εἶναι ὁ Θεός, πού μέ ἀπέραντο μέτρο ὑπερβαίνει τά πάντα, θά γίνει ὁρατός ὁλομόναχος σέ ὅσους ἔχουν καθαρή σκέψη. Τοῦτο θά γίνει, ὅταν ὁ νοῦς, καθώς ἀναλογίζεται θεωρητικά τούς λόγους τῶν ὄντων, σταματήσει στόν ἴδιο τό Θεό, σάν αἰτία κι ἀρχή, καί τέλος τῆς δημιουργίας καί τῆς γένεσης ὅλων, ἕνα βυθό ἀδιάστατο πού περιέχει τά πάντα.

3 **Μέ τόν ἴδιο τρόπο καί ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ θά φανεῖ ὅτι ἐνεργεῖ ἀνάμεσά μας, ὅπως ὁ Θεός, ἀρχέτυπο ἐκεῖνος κι ἐκείνη εἰκόνα του. Εἶναι βέβαια πολλοί κι ἀμέτρητοι σχεδόν στόν ἀριθμό οἱ ἄνδρες κι οἱ γυναίκες καί τά παιδιά πού διαφέρουν καί κατά τό φύλο καί κατά τή μορφή, τήν ἐθνικότητα καί τίς γλῶσσες, τίς περιπέτειες τῆς ζωῆς, τίς ἡλικίες,**

*τρόποις καὶ ἤθεσι καὶ ἐπιτηδεύμασιν· ἐπιστήμαις τε αὖ καὶ ἀξιώμασι, καὶ τύχαις καὶ χαρακτῆρσι καὶ ἕξεσιν, ἀλλήλων διῃρημένων τε καὶ πλεῖστον διαφερόντων τῶν εἰς αὐτὴν γιγνομένων, καὶ ὑπ' αὐτῆς ἀναγεννωμένων τε καὶ ἀναδημιουργουμένων τῷ πνεύματι· μίαν πᾶσι κατὰ τὸ ἴσον δίδωσι καὶ χαρίζεται θείαν μορφὴν καὶ προσηγορίαν, τό, ἀπὸ Χριστοῦ καὶ εἶναι καὶ ὀνομάζεσθαι· καὶ μίαν τὴν κατὰ πίστιν ἁπλῆν τε καὶ ἀμερῆ καὶ ἀδιαίρετον σχέσιν, τὴν τὰς πολλὰς καὶ ἀμυθήτους περὶ ἕκαστον οὔσας διαφοράς, οὐδ' ὅτι κἄν εἰσι συγχωροῦσαν γνωρίζεσθαι, διὰ τὴν τῶν πάντων εἰς αὐτὴν καθολικὴν ἀναφορὰν καὶ συνέλευσιν· καθ' ἣν οὐδεὶς τὸ παράπαν οὐδὲν ἑαυτῷ τοῦ κοινοῦ διωρισμένος ἐστί· πάντων συμπεφυκότων ἀλλήλοις καὶ συνημμένων, κατὰ τὴν μίαν ἁπλῆν τε καὶ ἀδιαίρετον τῆς πίστεως χάριν καὶ δύναμιν. «Ἦν γὰρ πάντων», φησίν, «ἡ καρδία καὶ ἡ ψυχὴ μία»· ὡς ἐκ διαφόρων μελῶν, σῶμα ἓν καὶ εἶναι καὶ ὁρᾶσθαι, καὶ αὐτοῦ Χριστοῦ τῆς ἀληθινῆς ἡμῶν κεφαλῆς ὄντως ἄξιον.*

4 *«Ἐν ᾧ», φησὶν ὁ Ἀπόστολος, «οὐκ ἔστιν ἄρρεν οὐδὲ θῆλυ, οὔτε Ἰουδαῖος οὔτε Ἕλλην, οὔτε περιτομὴ οὔτε ἀκροβυστία, οὔτε βάρβαρος οὔτε Σκύθης, οὔτε δοῦλος οὔτε ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσιν αὐτός», ὁ πάντα κατὰ μίαν ἁπλῆν τῆς ἀγαθότητος ἀπειρόσοφον δύναμιν ἑαυτῷ περικλείων, ὥσπερ κέντρον εὐθειῶν τινων ἐξημμένων αὐτοῦ, κατὰ μίαν ἁπλῆν καὶ ἑνιαίαν αἰτίαν καὶ δύναμιν, τὰς ἀρχὰς τῶν ὄντων τοῖς πέρασιν οὐκ ἐῶν συναφίστασθαι, κύκλῳ περιγράφων αὐτῶν τὰς ἐκστάσεις, καὶ πρὸς ἑαυτὸν ἄγων τοὺς τῶν ὄντων καὶ ὑπ' αὐτοῦ γενο-*

7. Πραξ. 4,32.

8. Γαλ. 3,28. Κολ. 3,11.

τίς γνῶμες, τήν τύχη, τούς τρόπους, τίς συνήθειες, τά ἐπαγγέλματα. Καί στίς ἐπιστῆμες πάλι καί στ' ἀξιώματα, στίς τύχες, στούς χαρακτῆρες, στίς διάθέσεις διακρίνονται μεταξύ τους καί διαφέρουν πολύ ὅσοι ἔρχονται σ' αὐτή καί δέχονται ἀπ' αὐτή τήν ἀναγέννησή τους καί τήν ἀναδημιουργία τους μέ τή δύναμη τοῦ Πνεύματος. Δίνει ὅμως σ' ὅλους αὐτούς καί χαρίζει μία κατά ἴσο μέτρο θεϊκή μορφή καί θεῖο ὄνομα, δηλαδή καί νά προέρχονται καί νά ὀνομάζονται ἀπό τό Χριστό. Τούς δίνει ἀκόμα τή μία ἀπλή καί ἀσύνθετη κι ἀδιαίρετη σχέση τῆς πίστης, πού τίς πολλές κι εὐαρίθμητες διαφορές σχετικά μέ τόν καθένα μήτε κάν ὅτι ὑπάρχουν δέν ἐπιτρέπει νά γίνει γνωστό, ἐπειδή ὅλα γενικά σ' αὐτήν κατευθύνονται καί συναντιοῦνται. Μέσα σ' αὐτήν κανένας δέν ξεχωρίζει σέ τίποτα ἐντελῶς ἀπό τό κοινό γιά χάρη δική του. Ὅλοι συμφύονται ὁ ἕνας μέ τούς ἄλλους καί συνδέονται μέσα στή μία ἀπλή κι ἀδιαίρετη χαρά καί δύναμη τῆς πίστεως. Ἤτανε, λέει, «ὅλων ἡ καρδιά καί ἡ ψυχή μία»[7], ὥστε ἀπό διάφορα μέλη νά εἶναι ὡστόσο καί νά φαίνεται ἕνα σῶμα ἄξιο ἀληθινά τοῦ ἴδιου τοῦ Χριστοῦ, τῆς ἀληθινῆς κεφαλῆς μας.

4 Στό σῶμα αὐτό, λέει ὁ θεῖος Ἀπόστολος, «δέν ὑπάρχει ἄνδρας καί γυναίκα, οὔτε Ἰουδαῖος καί Ἕλληνας, οὔτε περιτομή κι ἀκροβυστία, οὔτε βάρβαρος οὔτε Σκύθης, οὔτε δοῦλος οὔτε ἐλεύθερος. Ἀλλά τά πάντα καί μέσα στά πάντα εἶναι»[8] Αὐτός πού μέ τή μία κι ἀπλή πάνσοφη δύναμη τῆς καλοσύνης του περικλείει τά πάντα μέσα του, σάν ἕνα κέντρο πού κάποιες εὐθεῖες ξεκινοῦν ἀπό αὐτό ἀκτινωτά μέ τήν ἴδια ἀπλή κι ἑνιαία αἰτία καί δύναμη. Δέν ἀφήνει τίς ἀρχές τῶν ὄντων ν' ἀπομακρυνθοῦν μαζί μέ τά τέλη τους, περιορίζοντας κυκλικά τίς προεκτάσεις τους καί ὁδηγεῖ πρός τόν ἑαυτό του τίς διακρίσεις τῶν ὄντων, πού ὁ ἴδιος ἐδημιούργησε.

*μένων διορισμούς, ἵνα μὴ ἀλλήλων παντάπασιν ἀλλότρια ᾖ καὶ ἐχθρὰ τὰ τοῦ ἑνὸς Θεοῦ κτίσματα καὶ ποιήματα, οὐκ ἔχοντα περὶ τί καὶ ὅποι τὸ φίλον τε καὶ εἰρηνικὸν καὶ ταὐτὸν πρὸς ἄλληλα δείξωσι, καὶ κινδυνεύσῃ αὐτοῖς καὶ αὐτὸ τὸ εἶναι εἰς τὸ μὴ ὂν μεταπεσεῖν, τοῦ Θεοῦ χωριζόμενον.*

5 *Εἰκὼν μὲν οὖν ἐστι τοῦ Θεοῦ, καθὼς εἴρηται, ἡ ἁγία Ἐκκλησία, ὡς τὴν αὐτὴν τῷ Θεῷ περὶ τοὺς πιστοὺς ἐνεργοῦσα ἕνωσιν, κἂν διάφοροι τοῖς ἰδιώμασι καὶ ἐκ διαφόρων καὶ τόπων καὶ τρόπων, οἱ κατ' αὐτὴν διὰ τῆς πίστεως ἑνοποιούμενοι τύχωσιν ὄντες, ἣν περὶ τὰς οὐσίας τῶν ὄντων ἀσυγχύτως αὐτὸς ἐνεργεῖν πέφυκεν ὁ Θεός, τὸ περὶ αὐτὰς διάφορον, ὡς δέδεικται, τῇ πρὸς ἑαυτὸν ὡς αἰτίαν καὶ ἀρχὴν καὶ τέλος, ἀναφορᾷ τε καὶ ἑνώσει παραμυθούμενός τε καὶ ταυτοποιούμενος.*



Δέ θέλει ν' ἀποξενωθοῦν ὁλότελα μεταξύ τους καί νά γίνουν ἐχθρικά τά πλάσματα καί τά δημιουργήματα τοῦ ἑνός Θεοῦ καί νά μήν ἔχουν σχετικά μέ τί καί ποῦ νά παρουσιάσουν τή φιλία καί τήν εἰρήνη καί τήν ταυτότητα μεταξύ τους, ὁπότε θά κινδυνέψει, μέ τό χωρισμό τους ἀπό τό Θεό, νά μεταπέσει τό εἶναι τους στό μή εἶναι.

5 Εἶναι λοιπόν εἰκόνα τοῦ Θεοῦ, καθώς εἴπαμε, ἡ ἁγία Ἐκκλησία, γιατί πραγματοποιεῖ τήν ἴδια ἕνωση ἀνάμεσα στούς πιστούς πού κάνει κι ὁ Θεός, ἀκόμα κι ἄν τυχαίνει νά εἶναι διαφορετικοί στά ἰδιώματα κι ἀπό διαφορετικούς καί τόπους καί τρόπους ἐκεῖνοι, πού μέσα σ' αὐτήν γίνονται μέ τήν πίστη ἕνα σῶμα. Τήν ἕνωση αὐτή, εἶναι φυσικό νά τήν πραγματοποιεῖ ὁ Θεός, χωρίς νά προκαλεῖται σύγχυση στήν οὐσία τῶν ὄντων. Τή διαφορά μεταξύ τους, ὅπως ἔχει δειχθεῖ, τήν ἀμβλύνει καί τήν ὁδηγεῖ στήν ταυτότητα μέ τήν ἀναφορά καί τήν ἕνωση μέ τόν ἑαυτό του, σάν αἰτία κι ἀρχή καί τέλος.

## *Β'*

### *Περὶ τοῦ πῶς καὶ τίνα τρόπον εἰκὼν ἐστι τοῦ ἐξ ὁρατῶν καὶ ἀοράτων οὐσιῶν ὑφεστῶτος κόσμου ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία*

*Κατὰ δευτέραν δὲ θεωρίας ἐπιβολήν, τοῦ σύμπαντος κόσμου τοῦ ἐξ ὁρατῶν καὶ ἀοράτων οὐσιῶν ὑφεστῶτος, εἶναι τύπον καὶ εἰκόνα τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν ἔφασκεν, ὡς τὴν αὐτὴν αὐτῷ καὶ ἕνωσιν καὶ διάκρισιν ἐπιδεχομένην.*

2 *Ὥσπερ γὰρ αὕτη κατὰ τὴν οἰκοδομὴν εἷς οἶκος ὑπάρχουσα, τὴν κατὰ θέσιν τοῦ σχήματος ποιᾷ ἰδιότητι, δέξεται διαφοράν, διαιρουμένη εἴς τε τὸν μόνοις ἱερεῦσί τε καὶ λειτουργοῖς ἀπόκληρον τόπον, ὃν καλοῦμεν ἱερατεῖον, καὶ τὸν πᾶσι τοῖς πιστοῖς λαοῖς πρὸς ἐπίβασιν ἄνετον, ὃν καλοῦμεν ναόν. Πάλιν μία ἐστὶ κατὰ τὴν ὑπόστασιν, οὐ συνδιαιρουμένη τοῖς ἑαυτοῖς μέρεσι, διὰ τὴν ἑαυτῶν πρὸς ἄλληλα τῶν μερῶν διαφοράν. Ἀλλὰ καὶ αὐτὰ τῇ πρὸς τὸ ἓν ἑαυτῆς ἀναφορᾷ τὰ μέρη, τῆς ἐν τῇ κλήσει διαφορᾶς ἀπολύουσα, καὶ ταὐτὸν ἀλλήλοις ἄμφω δεικνύουσα· καὶ θάτερον θατέρῳ κατ' ἐπαλλαγὴν ὑπάρχον, ὅπερ ἑκάτερον ἑαυτῷ καθέστηκεν ὂν ἀποφαίνουσα· ἱερατεῖον μὲν τὸν ναὸν κατὰ τὴν*

## Β'

## Σχετικά μέ τό πῶς καί μέ ποιό τρόπο ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ εἶναι εἰκόνα τοῦ κόσμου τοῦ συγκροτημένου ἀπό ὁρατές καί ἀόρατες ὀντότητες

1 Μ' ἕνα δεύτερο συμβολισμό τῆς θεωρίας του, ἔλεγε ὅτι ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ εἶναι τύπος καί εἰκόνα ὁλόκληρου τοῦ κόσμου, πού εἶναι συγκροτημένος ἀπό ὁρατές καί ἀόρατες ὀντότητες. Γιατί ἐπιδέχεται τήν ἴδια μ' ἐκεῖνον καί ἕνωση καί διάκριση.

2 Ἐκείνη δηλαδή στήν κατασκευή της ἀποτελεῖ ἑνιαῖο οἰκοδόμημα, θά δεχθεῖ ὡστόσο τό διαφορισμό μέ βάση κάποιο γνώρισμα σύμφωνα μέ τή θέση μέσα στό σχῆμα καί θά διαφοροποιηθεῖ στό χῶρο πού εἶναι προορισμένος γιά τούς ἱερεῖς καί τούς λειτουργούς μόνο, πού τόν λέμε ἱερό βῆμα (ἱερατεῖο), καί στό χῶρο πού εἶναι ἀνοιχτός γιά νά εἰσερχονται ὅλα τά πιστά πλήθη καί πού τόν λέμε ναό. Παραμένει ὡστόσο κατά τήν ὕπαρξη μία. Δέν ἀκολουθεῖ τή διαίρεση τῶν μερῶν τους, πού ὀφείλεται στή διαφορά πού τά μέρη ἔχουν μεταξύ τους. Ἀλλά καί τά ἴδια τά μέρη, μέ τήν ἀναφορά τους πρός τή δική τους ἑνότητα, τ' ἀπαλλάσσει ἀπό τή διαφορά τους στό ὄνομα καί δείχνει τήν ταυτότητα μεταξύ τῶν δύο. Κι ἐνῶ ὑπάρχουν ἀμοιβαῖα τό ἕνα γιά τό ἄλλο, ἡ Ἐκκλησία φανερώνει τί ἀποτελεῖ τό καθένα ἀπό τά δύο γιά τόν ἑαυτό του· δείχνει τό ναό ἱερό βῆμα κατά τήν δύναμη,

*δύναμιν, τῇ πρὸς τὸ πέρας ἀναφορᾷ τῆς μυσταγωγίας ἱερουργούμενον, καὶ ἔμπαλιν ναὸν τὸ ἱερατεῖον, κατὰ τὴν ἐνέργειαν τῆς ἰδίας αὐτὸν ἔχον μυσταγωγίας ἀρχήν, μία δι' ἀμφοῖν καὶ ἡ αὐτὴ διαμένει.*

3 *Οὕτω καὶ ὁ ἐκ Θεοῦ κατὰ γένεσιν παρηγμένος σύμπας τῶν ὄντων κόσμος, διαιρούμενος εἴς τε τὸν νοητὸν κόσμον, τὸν ἐκ νοερῶν καὶ ἀσωμάτων οὐσιῶν συμπληρούμενον, καὶ τὸν αἰσθητὸν τοῦτον καὶ σωματικὸν καὶ ἐκ πολλῶν μεγαλοφυῶς συνυφασμένον εἰδῶν τε καὶ φύσεων, ἄλλη πως ὑπάρχων ἀχειροποίητος Ἐκκλησία, διὰ ταύτης τῆς χειροποιήτου σοφῶς ὑποφαίνεται· καὶ ἱερατεῖον μὲν ὥσπερ ἔχων τὸν ἄνω κόσμον καὶ ταῖς ἄνω προσνενεμημένον δυνάμεσι, ναὸν δέ, τὸν κάτω καὶ τοῖς δι' αἰσθήσεως ζῆν λαχοῦσι προσκεχωρημένον.*

4 *Πάλιν εἷς ἐστι κόσμος τοῖς ἑαυτοῦ μὴ συνδιαιρουμένοις μέρεσι· τοὐναντίον δέ, καὶ αὐτῶν τῶν μερῶν τὴν ἐξ ἰδιότητος φυσικῆς διαφοράν, τῇ πρὸς τὸ ἓν ἑαυτοῦ καὶ ἀδιαίρετον ἀναφορᾷ περιγράφων· καὶ ταὐτὸν ἑαυτῷ τε καὶ ἀλλήλοις ἀσυγχύτως ἐναλλὰξ ὄντας, καὶ θατέρῳ θάτερον ὅλον ὅλῳ δεικνὺς ἐμβεβηκότα, καὶ ἄμφω ὅλον αὐτὸν ὡς μέρη ἕνα συμπληροῦντας, καὶ κατ' αὐτὸν ὡς ὅλον μέρη ἑνοειδῶς τε καὶ ὁλικῶς συμπληρουμένους. Ὅλος γὰρ ὁ νοητὸς κόσμος ὅλῳ τῷ αἰσθητῷ μυστικῶς τοῖς συμβολικοῖς εἴδεσι τυπούμενος φαίνεται τοῖς ὁρᾶν δυναμέ-*

πού ἀποκτᾶ τήν ἱερότητα μέ τήν ἀναφορά τῆς μυσταγωγίας πρός τό ἱερό τέλος της. Καί πάλι κατ' ἀντιστροφή δείχνει τό ἱερό βῆμα ναό, ἐπειδή κατά τήν διεξαγωγή τῆς μυσταγωγικῆς του δράσης ἔχει τό ναό ὡς ἀρχή του. Ἔτσι ἡ Ἐκκλησία μέσα στά δύο μένει μία καί ἡ ἴδια.

3 Ὅμοια κι ὁ κόσμος ὁλόκληρος τῶν ὄντων, πού προῆλθε μέ δημιουργία ἀπό τό Θεό, μοιράζεται στό νοητό κόσμο πού τόν ἀπαρτίζουν οἱ νοερές κι ἀσώματες ὀντότητες, καί σέ τοῦτον ἐδῶ τόν αἰσθητό καί σωματικό κόσμο, πού ἔχει μέ τρόπο μεγαλοφυή συνυφανθεῖ ἀπό πολλά εἴδη καί φύσεις. Κι ὅλος αὐτός ὁ κόσμος ὑποδηλώνεται μέ σοφία μ' αὐτή τή χειροποίητη, πώς εἶναι κατ' ἄλλο τρόπο μιά ἀχειροποίητη Ἐκκλησία. Εἶναι ἱερό βῆμα, ἐπειδή περιέχει τόν ἄνω κόσμο, πού ἔχει ἀπονεμηθεῖ στίς ἄνω δυνάμεις· κι εἶναι ναός, ἐπειδή περιέχει τόν κάτω, πού ἔχει παραχωρηθεῖ σ' ἐκείνους, πού τούς ἔλαχε ἡ ζωή τῶν αἰσθήσεων.

4 Κι εἶναι πάλι ἕνας ἑνιαῖος κόσμος, πού δέ συνδιαιρεῖται μαζί μέ τά μέρη του, ἀλλ' ἀντίθετα καί τῶν ἴδιων τῶν μερῶν τή διαφορά, σύμφωνα μέ τήν ἀτομική τους φύση, τήν περιορίζει μέ τήν ἀναφορά τους πρός τήν ἴδια του τήν ἑνότητα καί τήν ἄρνηση τῆς διαιρετότητάς του. Μᾶς δείχνει ὅτι ταυτίζονται ἀμοιβαῖα μεταξύ τους καί μ' αὐτόν χωρίς σύγχυση κι ὅτι εἰσέρχονται ὁλόκληρο τό ἕνα μέσα σέ ὁλόκληρο τό ἄλλο μέρος. Καί σάν μέρη καί τά δύο μαζί ὁλοκληρώνουν τό σύνολο τοῦ κόσμου καί σύμφωνα μέ τόν κόσμο αὐτόν ὡς σύνολο ὁλοκληρώνονται τό καθένα ἀπό τά δύο ὡς μέρη κατά ἑνότητα καί ὁλικότητα. Ὁλόκληρος δηλαδή ὁ νοητός κόσμος φαίνεται ὅτι ἀποτυπώνεται μέσα σέ ὁλόκληρο τόν αἰσθητό κατά τρόπο μυστικό μέ συμβολικές μορφές, γιά ὅσους ἔχουν τή δύναμη νά βλέπουν. Καί ὁλόκληρος ὁ αἰσθητός κό-

*νοις, καὶ ὅλος ὅλῳ τῷ νοητῷ ὁ αἰσθητὸς γνωστικῶς κατὰ νοῦν τοῖς λόγοις ἁπλούμενος ἐνυπάρχων ἐστίν. Ἐν ἐκείνῳ γὰρ οὗτος τοῖς λόγοις ἐστί, κἀκεῖνος ἐν τούτῳ, τοῖς τύποις, καὶ τὸ ἔργον αὐτῶν ἕν, καθὼς ἂν εἴη «τροχὸς ἐν τῷ τροχῷ», φησὶν ὁ θαυμαστὸς τῶν μεγάλων θεατὴς Ἰεζεκιήλ, περὶ τῶν δύο κόσμων, οἶμαι, λέγων. Καὶ πάλιν· «τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται», φησὶν ὁ θεῖος Ἀπόστολος. Καὶ εἰ καθορᾶται διὰ τῶν φαινομένων τὰ μὴ φαινόμενα, καθὼς γέγραπται, πολλῷ δὴ καὶ διὰ τῶν μὴ φαινομένων τοῖς θεωρίᾳ πνευματικῇ προσανέχουσι τὰ φαινόμενα νοηθήσεται. Τῶν γὰρ νοητῶν ἡ διὰ τῶν ὁρατῶν συμβολικὴ θεωρία, τῶν ὁρωμένων ἐστὶ διὰ τῶν ἀοράτων πνευματικὴ ἐπιστήμη καὶ νόησις. Δεῖ γὰρ τὰ ἀλλήλων ὄντα δηλωτικά, πάντως ἀληθεῖς καὶ ἀριδήλους τὰς ἀλλήλων ἔχειν ἐμφάσεις καὶ τὴν ἐπ᾽ αὐταῖς σχέσιν ἀλώβητον.*

σμος βρίσκεται μέσα σέ ὁλόκληρο τό νοητό ἁπλοποιημένος σέ λόγους σύμφωνα μέ τή γνωστική ἐνέργεια τοῦ νοῦ. Ὁ αἰσθητός βρίσκεται μέσα στό νοητό μέ τούς λόγους κι ὁ νοητός μέσα στόν αἰσθητό μέ τούς τύπους. Καί εἶναι τό ἔργο τους ἕνα, σά νά ἤτανε ἕνας τροχός μέσα σέ ἄλλον τροχό[9], λέγει ὁ θαυμάσιος τῶν μεγάλων ὁραματιστῆς Ἰεζεκιήλ μιλώντας, νομίζω, γιά τούς δύο κόσμους. Ἀλλά κι ὁ θεῖος Ἀπόστολος λέγει σχετικά· «οἱ ἀόρατες ἐνέργειες τοῦ Θεοῦ ἀπό τήν ἀρχή τῆς δημιουργίας τοῦ κόσμου γίνονται ὁρατές, ὅταν νοηθοῦν μέ βάση τά δημιουργήματα»[10]. Κι ἄν γίνονται ὁρατά ὅσα δέ φαίνονται μέ τή δύναμη ἐκείνων πού φαίνονται, ὅπως ἔχει γραφεῖ, πολύ περισσότερο μέ ὅσα δέ φαίνονται θά γίνουν νοητά ὅσα φαίνονται ἀπό ἐκείνους πού ὑψώνουν τό πνεῦμα τους στήν πνευματική θεωρία. Γιατί ἡ συμβολική θεώρηση τῶν νοητῶν μέ βάση τά ἀόρατα εἶναι ἡ πνευματική γνώση καί νόηση τῶν ὁρατῶν μέ βάση τά ὁρατά. Ἐπειδή πρέπει ὅσα ἀλληλοδηλώνονται μεταξύ τους νά ἔχουν ἀληθινές ὁπωσδήποτε καί ὁλοφάνερες τίς μεταξύ τους δηλώσεις καί ἄθικτη ὅποια σχέση θεμελιώνεται ἐπάνω τους.

---

9. Ἰεζ. 1,16.
10. Ρωμ. 1,20.

## Γ'

### *Ὅτι καὶ μόνου τοῦ αἰσθητοῦ κόσμου ἐστὶν εἰκὼν ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία*

1 *Καὶ αὖθις μόνου τοῦ αἰσθητοῦ κόσμου καθ' ἑαυτὴν τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν εἶναι σύμβολον, ἔφασκεν· ὡς οὐρανὸν μὲν τὸ θεῖον ἱερατεῖον ἔχουσαν, γῆν δὲ τὴν εὐπρέπειαν τοῦ ναοῦ κεκτημένην. Ὡσαύτως δὲ καὶ τὸν κόσμον ὑπάρχειν Ἐκκλησίαν· ἱερατείῳ μὲν ἐοικότα τὸν οὐρανὸν ἔχοντα, ναῷ δὲ τὴν κατὰ γῆν διακόσμησιν.*

# Γ'

## Ὅτι ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ εἶναι εἰκόνα καί μόνο τοῦ αἰσθητοῦ κόσμου

1 Ἔλεγε πάλι, ἡ ἁγία Ἐκκλησία εἶναι σύμβολο τοῦ αἰσθητοῦ μόνο κόσμου καθ' ἑαυτόν. Σάν οὐρανό της ἔχει τό θεῖο καί ἱερό βῆμα καί σάν γή διαθέτει τήν ὡραιότητα τοῦ ναοῦ. Ὅμοια καί ὁ κόσμος εἶναι Ἐκκλησία· ὁ οὐρανός μοιάζει μέ τό ἱερό βῆμα καί μέ τό ναό ἡ διακοσμημένη γῆ.

## *Δ'*

## ***Πῶς καὶ ποίῳ τρόπῳ συμβολικῶς εἰκονίζει τὸν ἄνθρωπον ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία, καὶ αὐτὴ ὡς ἄνθρωπος ὑπ' αὐτοῦ εἰκονίζεται***

1 *Καὶ πάλιν κατ' ἄλλον τρόπον θεωρίας, ἄνθρωπον τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν ἔλεγε· ψυχὴν μὲν ἔχουσαν τὸ ἱερατεῖον, καὶ νοῦν τὸ θεῖον θυσιαστήριον· καὶ σῶμα τὸν ναόν, ὡς εἰκόνα καὶ ὁμοίωσιν ὑπάρχουσαν τοῦ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν γενομένου ἀνθρώπου· καὶ διὰ μὲν τοῦ ναοῦ, ὡς διὰ σώματος, τὴν ἠθικὴν φιλοσοφίαν προβαλλομένην, διὰ δὲ τοῦ ἱερατείου, ὡς διὰ ψυχῆς, τὴν φυσικὴν θεωρίαν πνευματικῶς ἐξηγουμένην, καὶ ὡς διὰ νοὸς τοῦ θείου θυσιαστηρίου, τὴν μυστικὴν θεολογίαν ἐμφαίνουσαν.*

2 *Καὶ ἔμπαλιν, Ἐκκλησίαν μυστικὴν τὸν ἄνθρωπον, ὡς διὰ ναοῦ μὲν τοῦ σώματος, τὸ πρακτικὸν τῆς ψυχῆς ταῖς τῶν ἐντολῶν ἐνεργείαις κατὰ τὴν ἠθικὴν φιλοσοφίαν ἐναρέτως φαιδρύνοντα, ὡς δι' ἱερατείου δὲ τῆς ψυχῆς τοὺς κατ' αἴσθησιν λόγους, καθαρῶς ἐν πνεύματι τῆς ὕλης περιτμηθέντας, κατὰ τὴν φυσικὴν θεωρίαν διὰ λόγου τῷ Θεῷ προσκομίζοντα· καὶ ὡς διὰ θυσιαστηρίου τοῦ νοός, τὴν ἐν ἀδύτοις πολυύμνητον τῆς ἀφανοῦς καὶ ἀγνώστου μεγαλοφωνίας σιγὴν τῆς θεότητος, δι' ἄλλης λάλου τε καὶ πολυφθόγγου σιγῆς προσκαλούμενον· καὶ ὡς ἐφικτὸν ἀνθρώπῳ, κατὰ μυστικὴν θεολογίαν αὐτῇ συγγινόμενον, καὶ τοιοῦτον γινόμενον, οἷον εἰκὸς εἶναι δεῖ τὸν ἐπιδημίας ἀξιωθέντα Θεοῦ, καὶ ταῖς αὐτοῦ παμφαέσιν αἴγλαις ἐνσημανθέντα.*

## Δ'

### Πῶς καί μέ ποιό τρόπο γίνεται ἡ συμβολική ἀπεικόνιση τοῦ ἀνθρώπου ἀπό τήν Ἐκκλησία τοῦ Θεοῦ καί ὁ ἐκκλησιασμός τῆς Ἐκκλησίας σάν ἀνθρώπων ἀπό αὐτόν

1 Καί πάλι μέ ἄλλο τρόπο τῆς θεωρίας ἔλεγε ὅτι ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ εἶναι ὁ ἄνθρωπος· σάν ψυχή ἔχει τό ἱερό βῆμα, νοῦ της τό ἱερό θυσιαστήριο, καί σῶμα τό ναό. Γιατί εἶναι εἰκόνα καί ὁμοίωση τοῦ ἀνθρώπου, γινωμένου κατά τήν εἰκόνα καί τήν ὁμοίωση τοῦ Θεοῦ. Ἔτσι μέ τό ναό, ὅπως μέ σῶμα, προβάλλει τήν ἠθική φιλοσοφία· μέ τό ἱερό βῆμα, ὅπως μέ ψυχή, ἀναπτύσσει πνευματικά τή φυσική θεωρία· μέ τό ἱερό θυσιαστήριο, ὅπως μέ τό νοῦ, φανερώνει τή μυστική θεολογία.

2 Ἔλεγε ἀκόμα ὅτι ὁ ἄνθρωπος εἶναι Ἐκκλησία μυστική, πού μέ τό σῶμα του, ὅπως μέ τό ναό, λαμπρύνει τήν πρακτική ἱκανότητα τῆς ψυχῆς μέ τήν ἐνάρετη ἄσκηση τῶν ἐντολῶν σύμφωνα μέ τήν ἠθική φιλοσοφία· μέ τήν ψυχή του, ὅπως μέ ἱερό βῆμα, προσφέρει μέ τό λόγο στό Θεό τούς ἀπό τίς αἰσθήσεις προερχόμενους λόγους κατά τήν ἄσκηση τῆς φυσικῆς θεωρίας, ἀφοῦ δεχτοῦν τήν καθαρή πνευματική περιτομή τῆς ὕλης· καί μέ τό νοῦ, ὅπως μέ θυσιαστήριο, μέ μιάν ἄλλη πολύλογη καί πολύφθογγη σιγή προσκαλεῖ τήν πολυύμνητη μέσα ἀπό τά ἄδυτα τῆς σκοτεινῆς κι ἀκατανόητης μεγαλοφωνίας σιγή τῆς θεότητας. Καί πού τήν οἰκειώνεται, ὅσο γίνεται στόν ἄνθρωπο, μέ τή μυστική θεολογία καί γίνεται τέτοιος πού πρέπει νά εἶναι αὐτός, πού ἀξιώθηκε νά τόν ἐπισκεφθεῖ ὁ Θεός καί πού σφραγίστηκε μέ τίς ὁλόφωτες λάμψεις του.

## Ε'

## *Πῶς καὶ ποίῳ τρόπῳ πάλιν τῆς ψυχῆς καθ' ἑαυτὴν νοουμένης εἰκών τε καὶ τύπος ἐστὶν ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία*

1 *Καὶ οὐχ ὅλου μὲν τοῦ ἀνθρώπου, τοῦ ἐκ ψυχῆς καὶ σώματος κατὰ σύνθεσίν φημι συνεστῶτος, εἰκόνα μόνον εἶναι δύνασθαι τὴν ἁγίαν Ἐκκλησίαν ἐδίδασκεν, ἀλλὰ καὶ αὐτῆς τῆς ψυχῆς καθ' ἑαυτὴν τῷ λόγῳ θεωρουμένης.*

2 *Ἐπειδὴ γὰρ ἐκ νοερᾶς καὶ ζωτικῆς δυνάμεως καθολικῶς συνίστασθαι τὴν ψυχὴν ἔφασκε· καὶ τῆς μὲν νοερᾶς ἐξουσιαστικῶς κατὰ βούλησιν κινουμένης, τῆς δὲ ζωτικῆς κατὰ φύσιν ἀπροαιρέτως, ὡς ἔχει, μενούσης. Καὶ πάλιν, τῆς μὲν νοερᾶς εἶναι τό τε θεωρητικὸν καὶ τὸ πρακτικόν· καὶ τὸ μὲν θεωρητικὸν καλεῖσθαι νοῦν ἔλεγε, τὸ δὲ πρακτικὸν λόγον· καὶ τῆς μὲν νοερᾶς δυνάμεως κινητικὸν εἶναι τὸν νοῦν, τῆς δὲ ζωτικῆς προνοητικὸν ὑπάρχειν τὸν λόγον· καὶ τὸν μὲν εἶναι τε καὶ καλεῖσθαι σοφίαν, φημὶ δὲ τὸν νοῦν, ὅταν παντάπασιν ἀτρέπτους ἑαυτοῦ διαφυλάττῃ τὰς πρὸς τὸν Θεὸν κινήσεις, τὸν δὲ λόγον ὡσαύτως φρόνησιν καὶ εἶναι καὶ καλεῖσθαι, ὅταν σωφρόνως τὴν ὑπ' αὐτοῦ κατὰ πρόνοιαν διοικουμένην ζωτικὴν δύναμιν ταῖς ἐνεργείαις συνάψας τῷ νῷ, δείξειεν ἀδιάφορον· τὴν αὐτὴν αὐτῷ καὶ*

# Ε'

## Πῶς καί μέ ποιό τρόπο πάλι ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ εἶναι εἰκόνα καί τύπος τῆς ψυχῆς νοουμένης καθεαυτή

1 Δίδασκε ἀκόμα ὅτι ἡ ἁγία Ἐκκλησία δέν ἔχει μόνο τή δύναμη νά εἶναι εἰκόνα τοῦ ἀνθρώπου ὁλόκληρου, πού ἀποτελεῖται κατά τή σύνθεσή του ἀπό σῶμα καί ψυχή. Εἶναι ἐπίσης εἰκόνα καί τῆς ψυχῆς τῆς ἴδιας, ὅταν τή θεωρήσομε καθ' ἑαυτή μέ τό λόγο.

2 Ἔλεγε ὅτι ἡ ψυχή γενικά ἀποτελεῖται ἀπό νοερή καί μυστική δύναμη καί ὅτι ἡ νοερή δύναμη κινεῖται μέ αὐτεξούσια θέληση, ἐνῶ ἡ ζωτική μένει ἀκίνητη μέσα στή φύση της, χωρίς τή δύναμη τῆς ἐκλογῆς. Συνεχίζοντας, ἔλεγε, ὅτι στό νοερό μέρος ἀνήκουν ἡ θεωρητική μαζί καί ἡ πρακτική δύναμη· ὅτι ἡ θεωρητική δύναμη λέγεται νοῦς, ἐνῶ ἡ πρακτική λόγος. Ὁ νοῦς εἶναι πού κινεῖ τή νοερή δύναμη· γιά τή ζωτική ἀσκεῖ πρόνοια ὁ λόγος. Ὁ ἕνας εἶναι καί καλεῖται σοφία, κι ἐννοῶ τό νοῦ, ὅταν φυλάει ὁλότελα ἀπαράτρεπτες τίς κινήσεις του πρός τό Θεό. Ὅμοια καί ὁ λόγος εἶναι καί λέγεται φρόνηση, ὅταν στίς πράξεις ἑνώνοντας φρόνιμα μέ τό νοῦ τή ζωτική δύναμη, πού κατευθύνει προνοητικά, τήν παρουσιάζει σύμφωνη μαζί του, ἀφοῦ ἔχει τήν ἴδια μ' αὐτόν κι

*ὁμοίαν δι᾽ ἀρετῆς ἔμφασιν τοῦ Θείου φέρουσαν, ἣν καὶ ἐπιμερίζεσθαι τῷ τε νῷ καὶ τῷ λόγῳ φυσικῶς ἔλεγεν, ὡς εἶναι μᾶλλον καὶ συνισταμένην δείκνυσθαι προηγουμένως τὴν ψυχήν, ἐκ τοῦ νοῦ καὶ τοῦ λόγου, ὡς νοεράν τε καὶ λογικήν· τῆς ζωτικῆς ἐπ᾽ ἀμφοῖν κατὰ τὸ ἴσον δηλονότι, νοῦ τε καὶ λόγου φημί, θεωρουμένης δυνάμεως· οὐδ᾽ ὁπότερον γὰρ τούτων ζωῆς ἄμοιρον εἶναι θέμις ἐννοεῖν, καὶ ὑπ᾽ ἀμφοῖν διειλημμένης, δι᾽ ἧς ὁ μὲν νοῦς, ὃν καὶ σοφίαν ἔφαμεν καλεῖσθαι, τῇ θεωρητικῇ ἕξει κατ᾽ ἄρρητον σιγήν τε καὶ γνῶσιν ἐξαπλούμενος πρὸς τὴν ἀλήθειαν δι᾽ ἀλήστου τε καὶ ἀκαταλήκτου γνώσεως ἄγεται, ὁ δὲ λόγος, ὃν ἐκαλέσαμεν φρόνησιν, τῇ πρακτικῇ ἕξει σωματικῶς κατ᾽ ἀρετὴν εἰς τὸ ἀγαθὸν διὰ πίστεως καταλήγει, ἐξ ὧν ἀμφοτέρων ἡ ἀληθὴς τῶν τε θείων καὶ τῶν ἀνθρωπίνων ἐπιστήμη συνέστηκε πραγμάτων, ἡ ὄντως ἄπταιστος γνῶσις καὶ πάσης τῆς κατὰ Χριστιανοὺς θειοτάτης φολοσοφίας πέρας.*

3 *Καὶ σαφέστερον περὶ τούτων εἰπεῖν· τῆς ψυχῆς, τὸ μὲν ἔλεγε εἶναι θεωρητικόν, καθὼς εἴρηται, τὸ δέ, πρακτικόν· καὶ τὸ μὲν θεωρητικὸν ἐκάλει νοῦν, τὸ δὲ πρακτικόν, λόγον, ὡς πρώτας δηλαδὴ δυνάμεις τῆς ψυχῆς· καὶ πάλιν τὸ νοῦν, σοφίαν, τὸν δὲ λόγον, φρόνησιν, ὡς πρώτας ἐνεργείας. Διεξοδικῶς δὲ πάλιν, τῆς ψυχῆς ἔφασκεν εἶναι, κατὰ μὲν τὸ νοερόν, τὸν νοῦν, τὴν σοφίαν, τὴν θεωρίαν, τὴν γνῶσιν, τὴν ἄληστον γνῶσιν· τούτων δὲ τέλος εἶναι τὴν ἀλήθειαν· κατὰ δὲ τὸ λογικόν, τὸν λόγον, τὴν φρόνησιν, τὴν πρᾶξιν, τὴν ἀρετήν, τὴν πίστιν· τούτων δὲ τέλος εἶναι τὸ ἀγαθόν.*

4 *Τὴν ἀλήθειαν δὲ καὶ τὸ ἀγαθόν, τὸν Θεὸν ἔλεγε δηλοῦν· ἀλλὰ τὴν μὲν ἀλήθειαν, ὅταν ἐκ τῆς οὐσίας τὸ Θεῖον σημαίνε-*

ὅμοια σφραγίδα τοῦ Θεοῦ κερδισμένη μέ τήν ἀρετή. Ἔλεγε ὅτι αὐτή μοιράζεται φυσικά καί τό νοῦ καί τό λόγο, ὥστε νά εἶναι μᾶλλον καί νά φαίνεται ἀπό τήν ἀρχή ἡ ψυχή ὅτι ἀποτελεῖται ἀπό τό νοῦ καί τό λόγο, ἐπειδή εἶναι νοερή καί λογική. Εἶναι φανερό ὅτι ἡ ζωτική δύναμη θεωρεῖται δύναμη καί τῶν δύο – τοῦ νοῦ ἐννοῶ καί τοῦ λόγου – κατά ἰσότητα. Δέν εἶναι ὀρθό νά ἐννοήσουμε, ὅτι ἕνα ἀπό αὐτά εἶναι ἄμοιρο ἀπό τή ζωή, ἀλλ' ὅτι αὐτή μοιράζεται καί στά δύο. Χάρη στή ζωή ὁ νοῦς, πού εἴπαμε ὅτι λέγεται καί σοφία, προχωρώντας στήν ἁπλότητα μέ τή θεωρητική ἐνέργεια μέσα σέ ἀπόρρητη σιωπή καί γνώση ὁδηγεῖται στήν ἀλήθεια μέ τήν ἀλησμόνητη καί ἀδιάκοπη γνώση. Καί ὁ λόγος, πού τόν καλέσαμε φρόνηση, μέ τή σύμφωνη μέ τήν ἀρετή πρακτική ἐνέργεια τοῦ σώματος, καταλήγει, περνώντας ἀπό τήν πίστη, στό ἀγαθό. Ἀπό τά δύο αὐτά ἀπαρτίζεται ἡ ἀληθινή ἐπιστήμη τῶν θείων καί ἀνθρώπινων πραγμάτων, ἡ ἀληθινά ἀσφαλής γνώση, ὅλης τῆς θεϊκότατης χριστιανικῆς φιλοσοφίας ἡ κατάληξη.

3 Εἶναι ἀνάγκη νά μιλήσομε γι' αὐτά καθαρότερα. Ἡ ψυχή, ἔλεγε, ἔχει δύο δυνάμεις, μία τή θεωρητική, ὅπως ἔχει εἰπωθεῖ, καί μία τήν πρακτική. Τή θεωρητική τήν ἔλεγε νοῦ, τήν πρακτική λόγο. Καί τήν ἔλεγε ἔτσι, σάν βασικές δυνάμεις τῆς ψυχῆς. Καί πάλι, ἔλεγε, τό νοῦ σοφία καί τό λόγο φρόνηση, σάν βασικές ἐνέργειες. Κι ἔλεγε πάλι λεπτομερέστερα, ὅτι στήν ψυχή ἀνήκουν, κατά τή νοερή φύση της, ὁ νοῦς, ἡ θεωρία, ἡ γνώση, ἡ ἀλησμόνητη γνώση· κατάληξή τους εἶναι ἡ ἀλήθεια. Κατά τή λογική φύση τους εἶναι λόγος, φρόνηση, πράξη, ἀρετή, πίστη· κατάληξη τούτων εἶναι τό ἀγαθό.

4 Ἡ ἀλήθεια καί τό ἀγαθό, ἔλεγε, δηλώνουν τό Θεό· ἀλλά ἡ ἀλήθεια τόν δηλώνει, ὅταν εἶναι νά δηλωθεῖ τό θεῖο κατά

*σθαι δοκῇ· ἁπλοῦν γάρ, καὶ μόνον, καὶ ἕν, καὶ ταυτόν, καὶ ἀμερές, καὶ ἄτρεπτον, καὶ ἀπαθὲς πρᾶγμα ἡ ἀλήθεια καὶ ἀλάθητον, καὶ παντελῶς ἀδιάστατον· τὸ δὲ ἀγαθόν, ὅταν ἐκ τῆς ἐνεργείας· εὐεργετικὸν γὰρ τὸ ἀγαθόν, καὶ προνοητικὸν τῶν ἐξ αὐτοῦ πάντων, καὶ φρουρητικόν· ἀπὸ τοῦ ἄγαν εἶναι, ἢ τεθεῖσθαι, ἢ θέειν, κατὰ τὴν τῶν ἐτυμολογούντων δόξαν, πᾶσι τοῖς οὖσι τοῦ εἶναι καὶ διαμένειν καὶ κινεῖσθαι χαριστικόν.*

5 *Τὰς οὖν περὶ τὴν ψυχὴν νοουμένας πέντε συζυγίας περὶ τὴν μίαν τὴν τοῦ Θεοῦ σημαντικὴν συζυγίαν ἔλεγε καταγίγνεσθαι. Συζυγίαν δέ φημι νῦν τὸν νοῦν καὶ τὸν λόγον, τὴν σοφίαν καὶ τὴν φρόνησιν, τὴν θεωρίαν καὶ τὴν πρᾶξιν, τὴν γνῶσιν καὶ τὴν ἀρετήν, τὴν ἄληστον γνῶσιν καὶ τὴν πίστιν. Τὴν δὲ τοῦ θείου σημαντικήν, τὴν ἀλήθειαν καὶ τὸ ἀγαθόν, αἷς κατὰ πρόοδον ἡ ψυχὴ κινουμένη, τῷ Θεῷ τῶν ὅλων ἑνοῦται, μιμουμένη αὐτοῦ τῆς οὐσίας καὶ τῆς ἐνεργείας τὸ ἄτρεπτον καὶ εὐεργετικόν, διὰ τῆς ἐν τῷ καλῷ παγίας καὶ ἀμεταθέτου κατὰ τὴν προαίρεσιν ἕξεως.*

6 *Καί, ἵνα τούτων μικρόν τι μίξω θεώρημα πρόσφορον, τάχα αὕτη ἐστὶν ἡ θεία δεκὰς τῶν χορδῶν τοῦ κατὰ ψυχὴν νοητοῦ ψαλτηρίου· ἡ τὸν λόγον ὑπηχοῦντα τῷ πνεύματι, διὰ τῆς ἄλλης τῶν ἐντολῶν μακαρίας δεκάδος ἔχουσα, καὶ τοὺς ἐντελεῖς τε καὶ ἁρμονίους, τοὺς ἐμμελεῖς νοητῶς ἀποτελοῦσα φθόγγους, δι' ὧν ὑμνεῖται ὁ Θεός· ἵν' ἐγὼ μάθω, τίς ὁ τῆς ᾀδούσης καὶ τῆς ᾀδομένης δεκάδος ὁ λόγος, καὶ πῶς δεκάδι δεκὰς μυστικῶς ἑνουμένη τε καὶ συναπτομένη, Ἰησοῦν μὲν τὸν ἐμὸν Θεὸν καὶ*

11. Ἀπό τά ρήματα τίθημι καί θέω.

12. Βλ. Ψαλμ. 143,9.

τήν οὐσία του, γιατί ἡ ἀλήθεια εἶναι πράγμα ἁπλό, μόνο, ἕνα, ἴδιο, ἀσύνθετο, ἀμετάβλητο, ἀνεπίδεκτο πάθους, ἀλάθητο, ἐντελῶς χωρίς διάσταση. Καί τό ἀγαθό τόν δηλώνει, ὅταν τό θεῖο σημαίνεται ἀπό τήν ἐνέργειά του· γιατί τό ἀγαθό εἶναι τέτοιο, ὥστε νά εὐεργετεῖ, νά προνοεῖ γιά ὅσα προέρχονται ἀπ' αὐτό καί νά τά παρακολουθεῖ σάν φρουρός. Κατά τήν γνώμη τῶν γραμματικῶν, τό ἀγαθό προέρχεται ἀπό τό «ἄγαν» καί «εἶναι» ἤ «τεθεῖσθαι»[11] ἤ «θέειν»[11] καί χαρίζει σ' ὅλα τά ὄντα τήν ὕπαρξη, τή διατήρηση καί τήν κίνηση.

5 Οἱ πέντε λοιπόν συζυγίες πού στοχαζόμαστε σχετικά μέ τήν ψυχή, ἔλεγε, ὅτι στρέφονται γύρω ἀπό τή μία συζυγία, πού φανερώνει τό Θεό. Μέ τή λέξη τώρα συζυγία ἐννοῶ τό νοῦ καί τό λόγο, τή σοφία καί τή φρόνηση, τή θεωρία καί τή πράξη, τή γνώση καί τήν ἀρετή, τήν ἀλησμόνητη γνώση καί τήν πίστη. Ἡ συζυγία πού φανερώνει τό Θεό, εἶναι ἡ ἀλήθεια καί τό ἀγαθό. Μέ τή βοήθειά τους, ἡ ψυχή κινεῖται προοδευτικά καί ἑνώνεται μέ τό Θεό τῶν ὅλων κι ἐπιτυχαίνει νά μιμηθεῖ τή σταθερότητα κι εὐεργετικότητα τῆς οὐσίας καί τῆς ἐνέργειάς του μέ τή σταθερή κι ἀμετακίνητη κατά τήν προαίρεση ἕξη της πρός τό καλό.

6 Ἄς ἀναμείξω ἐδῶ μία μικρή ἀλλά πρόσφορη ἀπεικόνιση τούτων. Ἴσως αὐτή ἐδῶ νά εἶναι ἡ θεϊκή δεκάδα τῶν χορδῶν στό πνευματικό ψαλτήριο τῆς ψυχῆς[12]. Ἡ δεκάδα πού ὁ λόγος τῆς δίνει ἦχο μέ τήν κρούση τοῦ πνεύματος διά μέσου τῆς ἄλλης μακάριας δεκάδας τῶν ἐντολῶν κι ἀπεργάζεται τούς τέλειους κι ἁρμονικούς φθόγγους μέ τή νοητή μελωδία, μέ τούς ὁποίους ὑμνοῦμε τό Θεό. Τοῦτο γιά νά μάθω ἐγώ, πρῶτο, ποιός ὁ λόγος τῆς δεκάδας πού ψάλλει καί τῆς δεκάδας πού ψάλλεται, καί δεύτερο, πῶς ἡ μία δεκάδα μυστικά ἑνωμένη μέ τήν ἄλλη δεκάδα κι ἁρμοσμένη ἐπαναφέρει τόν Ἰησοῦ, τό δικό μου Θεό καί Σωτήρα συμπληρωμένο ἀπό

*Σωτῆρα συμπληρωθέντα δι' ἐμοῦ σωζομένου, πρὸς ἑαυτὸν ἐπανάγει τὸν ἀεὶ πληρέστατον καὶ μηδέποτε ἑαυτοῦ ἐκστῆναι δυνάμενον· ἐμὲ δὲ τὸν ἄνθρωπον θαυμαστῶς ἐμαυτῷ ἀποκαθίστησι· μᾶλλον δὲ Θεῷ, παρ' οὗ τὸ εἶναι λαβὼν ἔχω, καὶ πρὸς ὃν ἐπείγομαι, πόρρωθεν τὸ εὖ εἶναι προσλαβεῖν ἐφιέμενος.*

7 *Ὅπερ ὁ γνῶναι δυνηθεὶς ἐκ τοῦ παθεῖν τὰ λεγόμενα, εἴσεται πάντως γνωρίσας ἤδη κατὰ τὴν πεῖραν ἐναργῶς τὸ οἰκεῖον ἀξίωμα· πῶς ἀποδίδοται τῇ εἰκόνι τὸ κατ' εἰκόνα· πῶς τιμᾶται τὸ ἀρχέτυπον· τίς τοῦ μυστηρίου τῆς ἡμῶν σωτηρίας ἡ δύναμις, καὶ ὑπὲρ τίνος Χριστὸς ἀπέθανε· πῶς τε πάλιν ἐν αὐτῷ «μεῖναι» δυνάμεθα, καὶ αὐτὸς «ἐν ἡμῖν», καθὼς εἶπε· καὶ πῶς «ἐστὶν εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει». Ἀλλ' ἐπανάγωμεν πρὸς τὸν εἱρμὸν τοῦ λόγου τὸν λόγον, τούτοις περὶ τούτων ἀρκεσθέντες.*

8 *Τὸν γὰρ νοῦν διὰ τῆς σοφίας ἔφασκε κινούμενον εἰς θεωρίαν ἰέναι, διὰ δὲ τῆς θεωρίας εἰς γνῶσιν, διὰ δὲ τῆς γνώσεως εἰς τὴν ἄληστον γνῶσιν, διὰ δὲ τῆς ἀλήστου γνώσεως εἰς τὴν ἀλήθειαν, περὶ ἣν ὁ νοῦς ὅρον τῆς κινήσεως δέχεται, περιγραφομένης αὐτῷ τῆς τε οὐσίας καὶ τῆς δυνάμεως καὶ τῆς ἕξεως καὶ τῆς ἐνεργείας.*

9 *Νοῦ γὰρ ἔλεγε δύναμιν εἶναι τὴν σοφίαν, καὶ αὐτὸν εἶναι τὸν νοῦν δυνάμει σοφίαν· τὴν δὲ θεωρίαν, ἕξιν· τὴν δὲ γνῶσιν, ἐνέργειαν· τὴν δὲ ἄληστον γνῶσιν, σοφίας τε καὶ θεωρίας καὶ γνώσεως, ἤγουν δυνάμεως καὶ ἕξεως καὶ ἐνεργείας, τὴν περὶ τὸ*

---

13. Ἰω. 15,4.

14. Ψαλμ. 32,4.

μένα, πού σώζομαι άπ' αὐτόν, τόν ἐπαναφέρει στόν ἑαυτό του, πού εἶναι πάντα σέ τέλεια πληρότητα καί δέν μπορεῖ ποτέ νά σταθεῖ ἔξω ἀπό τόν ἑαυτό του. Καί πού ἀπ' τ' ἄλλο μέρος ἀποκαθιστᾶ μέ τόν ἑαυτό μου ἐμένα τόν ἄνθρωπο, κατά θαυμαστό τρόπο, καί πιό πολύ μ' ἑνώνει μέ τό Θεό, ἀπό τόν ὁποῖο ἔλαβα κι ἔχω τό εἶναι καί πρός τόν ὁποῖο κατευθύνομαι βιαστικά, ποθώντας ἀπό μακριά νά προσλάβω τό μακάριο εἶναι.

7 Τοῦτο ὅποιος μπόρεσε νά ἐννοήσει, ἐπειδή ἔζησε ὅσα λέμε, θά καταλάβει ὁπωσδήποτε τό ἀξίωμά του, ἀφοῦ τό γνώρισε ἤδη μ' ἐνέργεια στή ζωή του, πῶς δηλαδή μπορεῖ ν' ἀποδοθεῖ στήν εἰκόνα τό κατ' εἰκόνα, πῶς μπορεῖ νά τιμηθεῖ τό ἀρχέτυπο, ποιά δύναμη κρύβει τό μυστήριο τῆς σωτηρίας μας, καί γιά ποιοῦ χάρη πέθανε ὁ Χριστός. Θά καταλάβει ἀκόμα πῶς μποροῦμε νά «μείνομε ἐμεῖς σ' ἐκεῖνον κι ἐκεῖνος μέσα σ' ἐμᾶς»[13], ὅπως εἶπα, καί πῶς εἶναι «ἴσιος ὁ λόγος τοῦ Θεοῦ καί ἀληθινά ὅλα τά ἔργα του[14]. Ἄς ἐπαναφέρομε ὅμως τό λόγο στήν σειρά τῶν σκέψεών μας καί ἄς περιοριστοῦμε σχετικά μ' αὐτά στά λίγα πού εἴπαμε.

8 Δίδασκε λοιπόν, ὅτι ὁ νοῦς περνώντας ἀπό τή σοφία ἔρχεται στή θεωρία, ἀπό τή θεωρία στή γνώση, ἀπό τή γνώση στήν ἀλησμόνητη γνώση κι ἀπό τήν ἀλησμόνητη γνώση στήν ἀλήθεια. Γύρω ἀπό τήν ἀλήθεια βρίσκει ὁ νοῦς τό ὅριο τῆς πορείας του καί προσδιορίζονται ἡ οὐσία, ἡ δύναμη, ἡ ἕξη καί ἡ ἐνέργειά του.

9 Ἔλεγε ὅτι ἡ δύναμη τοῦ νοῦ εἶναι σοφία κι ὅτι αὐτός εἶναι σοφία δυνάμει· ἡ θεωρία ὅτι εἶναι ἕξη καί ἡ γνώση ἐνέργεια· ἡ ἀλησμόνητη γνώση ὅτι εἶναι τῆς σοφίας, τῆς θεωρίας καί τῆς γνώσης – δηλαδή τῆς δύναμης, τῆς ἕξης καί τῆς ἐνέργειας – ἡ ἀσταμάτητη καί σύμφωνη μέ τήν ἕξη ἀεικινη-

*γνωστὸν τὸ ὑπὲρ πᾶσαν τὴν γνῶσιν ἀκατάληκτον καὶ ἐκτικὴν ἀεικινησίαν, ἧς πέρας ἐστίν, ὡς ἀλάθητον γνωστόν, ἡ ἀλήθεια· ὃ καὶ θαυμάζειν ἄξιον· πῶς τὸ ἄληστον λήγει περιγραφόμενον, ἢ δηλονότι ὡς Θεῷ τῇ ἀληθείᾳ περατούμενον; Θεὸς γὰρ ἡ ἀλήθεια, περὶ ὃν ἀκαταλήκτως τε καὶ ἀλήστως κινούμενος ὁ νοῦς, λήγειν οὐκ ἔχει ποτὲ τῆς κινήσεως, μὴ εὑρίσκων πέρας ἔνθα μὴ ἔστι διάστημα. Τὸ γὰρ θαυμαστὸν μέγεθος τῆς θείας ἀπειρίας ἄποσόν τί ἐστι καὶ ἀμερὲς καὶ παντελῶς ἀδιάστατον· καὶ τὴν οἱανοῦν πρὸς τὸ γνωσθῆναι, ὅ τί ποτέ ἐστι κατ' οὐσίαν, φθάνουσαν αὐτὸν οὐκ ἔχον κατάληψιν. Τὸ δὲ μὴ ἔχον διάστημα ἢ κατάληψιν καθ' ὁτιοῦν, οὐκ ἔστι τινὶ περατόν.*

10 *Τὸν δὲ λόγον ὡσαύτως διὰ τῆς φρονήσεως κινούμενον, εἰς τὴν πρᾶξιν ἰέναι· διὰ δὲ τῆς πράξεως, εἰς ἀρετήν· διὰ δὲ τῆς ἀρετῆς εἰς τὴν πίστιν, τὴν ὄντως βεβαίαν καὶ ἄπτωτον τῶν θείων πληροφορίαν, ἣν πρώτην ἔχων δυνάμει κατὰ τὴν φρόνησιν ὁ λόγος, ὕστερον ἐνεργείᾳ κατὰ τὴν ἀρετὴν ἐπιδείκνυται, διὰ τὴν ἐπ' ἔργων φανέρωσιν. Ἡ γὰρ «χωρὶς ἔργων πίστις νεκρόν τι», καθὼς γέγραπται, πᾶν δὲ νεκρὸν καὶ ἀνενέργητον, οὐκ ἂν ποτέ τις εὖ φρονῶν τοῖς καλοῖς εἶναι θαρσήσειεν εἰπεῖν ἐνάριθμον. Διὰ δὲ τῆς πίστεως εἰς τὸ ἀγαθόν, περὶ ὃ δέχεται τέλος, παυόμενος τῶν οἰκείων ἐνεργειῶν ὁ λόγος, περιγραφομένης αὐτοῦ τῆς τε δυνάμεως καὶ τῆς ἕξεως καὶ τῆς ἐνεργείας.*

11 *Λόγου γὰρ ἔφασκεν εἶναι δύναμιν τὴν φρόνησιν· καὶ αὐτὸν εἶναι δυνάμει τὸν λόγον, φρόνησιν· ἕξιν δὲ τὴν πρᾶξιν· ἐνέργειαν δὲ τὴν ἀρετήν· τὴν δὲ πίστιν φρονήσεώς τε καὶ πράξεως καὶ*

15. Πρβλ. Ἰακ. 2,20.

σία γύρω άπό τό ἄξιο νά γίνει γνωστό καί πού ὑπερβαίνει κάθε γνώση. Τέλος τῆς ἀεικινησίας εἶναι ἡ ἀλήθεια, ἐπειδή εἶναι κάτι πού γνωρίζεται άλησμόνητα. Καί τοῦτο εἶναι ἄξιο γιά θαυμασμό, πῶς δηλαδή τό ἀλησμόνητο παύει, ἀφοῦ όριοθετηθεῖ ἤ ἀφοῦ περατώσει τήν κίνησή του στήν ἀλήθεια, ἐπειδή αὐτή εἶναι ὁ Θεός. Εἶναι πραγματικά ἡ ἀλήθεια ὁ Θεός καί γύρω του ἀδιάκοπα καί ἀλησμόνητα κινεῖται ὁ νοῦς, χωρίς νά μπορεῖ νά σταματήσει ποτέ, ἀφοῦ δέν βρίσκει τέλος στήν κίνησή του ἐκεῖ, ὅπου δέν ὑπάρχει καθόλου διάσταση. Γιατί τό ἐκπληκτικό μέγεθος τῆς θείας ἀπεραντοσύνης εἶναι κάτι πού δέν ἔχει ποσό, δέν ἔχει ὕψος, εἶναι ὁλότελα χωρίς διάσταση καί δέν ἔχει ὁποιαδήποτε ἀντίστοιχη κατανόηση πού φτάνει τό Θεό, γιά νά γνωρίσομε ὅ,τι κι ἄν εἶναι αὐτός στήν οὐσία του. Κι ὅ,τι δέν ἔχει διαστάσεις καί δέ γίνεται κατανοητό μέ κάποιο τρόπο, κανένας δέν μπορεῖ νά τό προσπελάσει.

10 Ὅμοια ἔλεγε κι ὁ λόγος περνώντας ἀπό τή φρόνηση φτάνει στήν πράξη κι ἀπό τήν πράξη στήν ἀρετή κι ἀπό τήν ἀρετῆ στήν πίστη, τήν ἀληθινά σταθερή κι ἀσκόνταφτη πληροφορία τῶν θείων. Αὐτήν τήν ἔχει πρῶτα δυνάμει ὁ λόγος χάρη στή φρόνηση καί τή φανερώνει ἔπειτα μέ τήν ἀρετή ἐνεργητικά, μέ τήν ἐκδήλωση πάνω στά ἔργα. Γιατί «ἡ πίστη χωρίς ἔργα εἶναι κάτι νεκρό»[15], ὅπως ἔχει γραφεῖ, καί κάθε νεκρό κι ἄπρακτο ποτέ κανένας φρόνιμος δέ θά τολμήσει νά πεῖ πώς συγκαταλέγεται μέ τά καλά. Κι ἀπό τήν πίστη φτάνει στό ἀγαθό, ὅπου τελειώνει τήν πορεία του ὁ λόγος. Μπαίνει ἔτσι τέλος στίς ἀνάλογες μέ τή φύση του ἐνέργειες, γιατί προσδιορίζεται ἡ δύναμη, ἡ ἕξη καί ἡ ἐνέργεια.

11 Ἔλεγε, δηλαδή, δύναμη τοῦ λόγου εἶναι ἡ φρόνηση κι ὁ ἴδιος ὁ λόγος εἶναι φρόνηση δυνάμει. Ἔλεγε ὅτι ἡ πράξη εἶναι ἕξη κι ἡ ἀρετή ἐνέργεια. Κι ἡ πίστη ὅτι εἶναι τῆς φρόνη-

ἀρετῆς, ἤγουν δυνάμεως, ἕξεώς τε καὶ ἐνεργείας ἐνδιάθετον πῆξιν καὶ ἀναλλοίωτον, ἧς πέρας ἔσχατόν ἐστι τὸ ἀγαθόν, περὶ ὃ καταλήγων τῆς κινήσεως ὁ λόγος παύεται. Θεὸς γάρ ἐστι τὸ ἀγαθόν, ᾧ πέφυκε πᾶσα καὶ παντὸς λόγου περατοῦσθαι δύναμις.

12 Πῶς δὲ καὶ τίνα τρόπον τούτων ἕκαστον κατορθοῦται καὶ εἰς ἐνέργειαν ἄγεται, καὶ τίνα τούτων ἑκάστῳ ἠναντίωται ἢ προσῳκείωται, καὶ ἐπὶ πόσον διαιρεῖν τε καὶ λέγειν, οὐ τῆς παρούσης ἐστὶν ὑποθέσεως.

13 Πλὴν τοῦ, ὅσον γιγνώσκειν, ὅτι πᾶσα ψυχὴ ἡνίκα διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος καὶ τῆς οἰκείας φιλοπονίας καὶ σπουδῆς ἀλλήλοις ταῦτα συνάψαι τε καὶ ἱστουργῆσαι δυνηθῇ, τὸν λόγον φημὶ τῷ νῷ, καὶ τῇ σοφίᾳ τὴν φρόνησιν, καὶ τῇ θεωρίᾳ τὴν πρᾶξιν, καὶ τῇ γνώσει τὴν ἀρετήν, καὶ τῇ ἀλήστῳ γνώσει τὴν πίστιν, οὐδενὸς ἐλαττουμένου πρὸς τὸ ἕτερον ἢ πλεονάζοντος, πάσης αὐτοῖς περικοπείσης ὑπερβολῆς καὶ ἐλλείψεως· καί, ἵνα συνελὼν εἴπω, μονάδα τὴν ἑαυτῆς δεκάδα ποιῆσαι· τηνικαῦτα καὶ αὐτὴ τῷ Θεῷ ἀληθινῷ τε καὶ ἀγαθῷ, καὶ ἑνὶ καὶ μόνῳ ἑνωθήσεται· καλή τε καὶ μεγαλοπρεπής, καὶ αὐτῷ κατὰ τὸ ἐφικτὸν ἐμφερὴς γενομένη, τῇ συμπληρώσει τῶν τεσσάρων γενικῶν ἀρετῶν· τῶν δηλωτικῶν μὲν τῆς κατὰ ψυχὴν θείας δεκάδος, περιεκτικῶν δὲ τῆς ἄλλης τῶν ἐντολῶν μακαρίας δεκάδος.

14 Δεκὰς γὰρ δυνάμει ἐστὶν ἡ τετράς, ἀπὸ τῆς μονάδος εἱρμῷ κατὰ πρόοδον συντιθεμένη. Καὶ πάλιν μονὰς ἡ αὐτή, κατὰ σύνοδον τὸ ἀγαθὸν μοναδικῶς περιέχουσα καὶ τὸ ἁπλοῦν καὶ ἀμερὲς τῆς θείας ἐνεργείας, ἐφ᾽ ἑαυτῆς ἀτμήτως μεμερισμένον δει-

σης καί τῆς πράξης καί τῆς ἀρετῆς, δηλαδή τῆς δύναμης, τῆς ἕξης καί τῆς ἐνέργειας, μιά ἐσωτερική κι ἀναλλοίωτη σταθερότητα. Αὐτῆς τό ἔσχατο ὅριο εἶναι τό ἀγαθό, ὅπου ὁ λόγος βάζει τέλος στήν κίνησή του καί σταματᾶ. Γιατί τό ἀγαθό εἶναι ὁ Θεός κι εἶναι φυσικό νά περατώνεται σ' αὐτόν κάθε δύναμη ὁποιουδήποτε λόγου.

12 Πῶς τώρα καί μέ ποιό τρόπο κατορθώνεται καί πραγματοποιεῖται καθένα ἀπ' αὐτά καί ποιές δυνάμεις ἐναντιώνονται σέ καθένα ἀπό αὐτά ἤ ἐναρμονίζονται μαζί τους καί γιά πόσο χρόνο, τόσο ὁ προσδιορισμός ὅσο καί ἡ ἔκθεσή τους, δέν εἶναι θέμα τῆς ἀνάλυσης αὐτῆς.

13 Κατά τή γνώμη μου σχετικό μ' αὐτή εἶναι τοῦτο μόνο. Κάθε ψυχή, ὅταν μέ τή χάρη τοῦ ἁγίου Πνεύματος καί τή δική της φιλοπονία καί προθυμία μπορέσει νά τά ἑνώσει καί νά τά συνάξει αὐτά μεταξύ τους – τό λόγο δηλαδή μέ τό νοῦ, τή φρόνηση μέ τή σοφία, τήν πράξη μέ τή θεωρία, τήν ἀρετή μέ τή γνώση καί τήν πίστη μέ τήν ἀλησμόνητη γνώση – χωρίς νά μειώνεται ἤ νά πλεονεκτεῖ κανένα ἔναντι τοῦ ἄλλου, ἀλλά μᾶλλον ν' ἀποκλείεται κάθε ὑπερβολή καί κάθε μείωση, καί μ' ἕνα λόγο, ὅταν ἡ ψυχή μπορέσει νά μεταβάλει σέ μονάδα τή δεκάδα της, τότε κι αὐτή θά ἑνωθεῖ μέ τόν ἀγαθό καί ἀληθινό Θεό, τόν ἕνα καί μόνο. Θά ἔχει γίνει ὡραία καί μεγαλόπρεπη καί παρόμοια μ' Ἐκεῖνον κατά τό δυνατό μέ τήν ὁλοκλήρωση τῶν τεσσάρων γενικῶν ἀρετῶν, πού δηλώνουν τήν πνευματική θεία δεκάδα καί περιέχουν καί τήν ἄλλη μακάρια δεκάδα τῶν ἐντολῶν.

14 Γιατί ἡ τετράδα εἶναι δυνάμει δεκάδα, ἐπειδή ἀπαρτίζεται προοδευτικά μέ σειρά ἀπό τή μονάδα. Καί ἡ ἴδια εἶναι πάλι μονάδα, γιατί περιέχει τό ἀγαθό σέ συνολική ἑνότητα καί δείχνει ἐπάνω στόν ἑαυτό της ἀχώριστα μοιρασμένη τήν

*κνύουσα· αἷς, τὸ μὲν οἰκεῖον εὐτόνως ἀπερεγχείρητον ἡ ψυχὴ διετήρησεν, τὸ δὲ ἀλλότριον ἀνδρικῶς ὡς πονηρὸν ἀπερράπισεν· ὡς νοῦν εὔλογον ἔχουσα, καὶ σοφίαν ἔμφρονα, καὶ θεωρίαν ἔμπρακτον, καὶ γνῶσιν ἐνάρετον, καὶ τὴν ἐπ' αὐταῖς ἄληστον γνῶσιν, πιστοτάτην ὁμοῦ καὶ ἀμετάπτωτον· καὶ ὡς τοῖς αἰτίοις τὰ αἰτιατά, καὶ ταῖς δυνάμεσι τὰς ἐνεργείας σωφρόνως συνημμένας, Θεῷ προσκομίσασα· καὶ ἀντιλαβοῦσα τούτων τὴν ποιητικὴν τῆς ἁπλότητος θέωσιν.*

15 *Ἐνέργεια γάρ ἐστι καὶ φανέρωσις· τοῦ μὲν νοῦ, ὁ λόγος, ὡς αἰτίαν αἰτιατόν, καὶ τῆς σοφίας ἡ φρόνησις, καὶ τῆς θεωρίας ἡ πρᾶξις, καὶ τῆς γνώσεως ἡ ἀρετή, καὶ τῆς ἀλήστου γνώσεως ἡ πίστις, ἐξ ὧν ἡ ἐνδιάθετος πρός τε τὴν ἀλήθειαν καὶ τὸ ἀγαθόν, φημὶ δὲ τὸ Θεόν, σχέσις δημιουργεῖται, ἣν ἔφασκεν εἶναι θείαν ἐπιστήμην, καὶ γνῶσιν ἄπταιστον, καὶ ἀγάπην καὶ εἰρήνην, ἐν αἷς καὶ δι' ὧν ἡ θέωσις· τὴν μὲν ἐπιστήμην ὡς συμπλήρωσιν πάσης τῆς ἐφικτῆς ἀνθρώποις περὶ Θεοῦ καὶ τῶν θείων γνώσεως, καὶ τῶν ἀρετῶν περιοχὴν ἄπταιστον· τὴν δὲ γνῶσιν, ὡς ἐπιβᾶσαν γνησίως τῇ ἀληθείᾳ, καὶ πεῖραν τοῦ θείου διαρκῆ παρεχομένην· τὴν δὲ ἀγάπην ὡς ὅλης τοῦ Θεοῦ κατὰ διάθεσιν, ὅλην μετέχουσαν τῆς τερπνότητος· τὴν δὲ εἰρήνην, ὡς τὰ αὐτὰ τῷ Θεῷ πάσχουσαν καὶ πάσχειν τοὺς κατ' αὐτὴν ἀξιωθέντας γενέσθαι παρασκευάζουσαν.*

16 *Εἰ γὰρ τὸ θεῖον παντελῶς ἀκίνητον, ὡς τὸ διοχλοῦν καθ' ὁτιοῦν οὐκ ἔχον (τί γὰρ καὶ τὸ φθάνον ἐστὶ τὴν ἐκείνου περιωπήν;), ἡ δὲ εἰρήνη, σταθερότης ἐστὶν ἀκλόνητός τε καὶ ἀκίνητος, πρὸς δέ, καὶ ἀνενόχλητος εὐφροσύνη, ἆρα τὰ θεῖα οὐ πάσχει καὶ πᾶσα ψυχή, ἡ τὴν θείαν καταξιωθεῖσα κομίσασθαι εἰρήνην; ὡς*

ἁπλή καί ἀσύνθετη θεία ἐνέργεια. Μέ τίς ἀρετές αὐτές ἡ ψυχή κράτησε σταθερά ἀπαραβίαστο ὅ,τι ἦταν δικό της, πέταξε ὅμως ἀνδρικά τό ξένο σάν πονηρό. Γιατί ἔχει νοῦ στοχαστικό, σοφία γνωστική, θεωρία ἔμπρακτη κι ἐνάρετη γνώση καί τή γνώση τήν ἀλησμόνητη πού τίς ἀκολουθεῖ, ἀσφαλισμένη μαζί καί ἀμετάβλητη καί γιατί ἔκαμε προσφορά στό Θεό, ταιριασμένα μέ φρόνηση, τά αἴτια μέ τά αἰτιατά, τίς ἐνέργειες μέ τίς δυνάμεις. Ἀντιδωρήθηκε γι' αὐτό μέ τή θέωση, πού προξενεῖ τήν ἁπλότητα.

15 Ἡ ἐνέργεια εἶναι καί ἐκδήλωση. Τοῦ νοῦ ἐκδήλωση εἶναι ὁ λόγος σάν ἀποτέλεσμα αἰτίας, τῆς σοφίας ἡ φρόνηση, τῆς θεωρίας ἡ πράξη, τῆς γνώσης ἡ ἀρετή, τῆς ἀλησμόνητης γνώσης ἡ πίστη. Ἀπό αὐτά δημιουργεῖται ἡ ἐνδιάθετη σχέση μέ τήν ἀλήθεια καί τό ἀγαθό, δηλαδή τό Θεό. Τή σχέση αὐτή τήν ὀνόμαζε θεϊκή ἐπιστήμη κι ἄσφαλτη γνώση, ἀγάπη καί εἰρήνη. Σ' αὐτές βρίσκεται καί μ' αὐτές ἐπιτυχαίνεται ἡ θέωση. Εἶναι ἐπιστήμη, ἐπειδή ἀποτελεῖ ὁλοκλήρωση τῆς γνώσης γιά τό Θεό καί τά θεῖα, ὅση μπορεῖ νά πραγματοποιήσει ὁ ἄνθρωπος, κι ἀπόρθητο περιτείχισμα τῶν ἀρετῶν. Εἶναι γνώση, ἐπειδή ἔχει ἐπιτύχει γνήσια τήν ἀλήθεια καί μᾶς δίνει ἀδιάκοπη ἐμπειρία γιά τή θεότητα. Ἀγάπη, γιατί ὁλόκληρη ἀπό διάθεση μετέχει στήν εὐφροσύνη, πού προέρχεται ἀπό τό Θεό. Εἰρήνη τέλος, ἐπειδή κατέχει τά ἴδια συναισθήματα μέ τό Θεό καί προετοιμάζει σ' αὐτά ὅποιους ἀξιώθηκαν νά τή δεχθοῦν.

16 Ἄν δηλαδή τό θεῖο εἶναι ὁλότελα ἀκίνητο, ἀφοῦ δέν ἔχει τίποτε ἀπό πουθενά γιά νά ἐνοχλήσει – ποιό εἶναι πού θά φτάσει τό δικό του ὕψος; – κι ἄν ἡ εἰρήνη εἶναι ἀκλόνητη κι ἀμετακίνητη σταθερότητα καί, κοντά σ' αὐτή καί ἀδιατάραχτη χαρά, δέ συμμερίζεται τάχα τή θεϊκή κατάσταση καί κάθε ψυχή, πού ἀξιώθηκε νά δοκιμάσει τή θεϊκή εἰρήνη;

*μὴ μόνον κακίας καὶ ἀγνωσίας, ψεύδους τε καὶ πονηρίας, τῶν τῇ ἀρετῇ καὶ γνώσει, τῇ τε ἀληθείᾳ καὶ τῷ ἀγαθῷ ἀντικειμένων κακιῶν, αἳ ταῖς παρὰ φύσιν τῆς ψυχῆς κινήσεσι παρυφίστανται· ἀλλ' ἤδη καὶ ἀρετῆς αὐτῆς καὶ γνώσεως, ἀληθείας τε αὖ καὶ ἀγαθότητος τῶν ἡμῖν διεγνωσμένων τοὺς ὅρους, εἰ θέμις εἰπεῖν, ὑπερβᾶσα, καὶ τῇ ὑπεραληθεστάτῃ καὶ ὑπεραγάθῳ κοίτῃ τοῦ Θεοῦ, κατὰ τὴν ἀψευδεστάτην αὐτοῦ ἐπαγγελίαν, ἀρρήτως τε καὶ ἀγνώστως ἑαυτὴν κατευνάσασα· ὡς μηδὲν τῶν διοχλεῖν αὐτῇ πεφυκότων λοιπὸν ἔχουσα φθάνον αὐτῆς τὴν ἐν Θεῷ κρυφιότητα, καθ' ἣν μακαρίαν καὶ παναγίαν κοίτην, τὸ φρικτὸν ἐκεῖνο τῆς ὑπὲρ νοῦν καὶ λόγον ἑνότητος μυστήριον ἐπιτελεῖται· δι' οὗ μία σάρξ καὶ ἓν πνεῦμα, ὅ τε Θεὸς πρὸς τὴν Ἐκκλησίαν, τὴν ψυχήν, καὶ ἡ ψυχὴ πρὸς τὸν Θεὸν γενήσεται· ὢ πῶς σε, Χριστέ, θαυμάσω τῆς ἀγαθότητος, οὐ γὰρ ἀνυμνῆσαι φάναι τολμήσω, ὁ μήτε πρὸς τὸ θαυμάζειν ἀξίως ἀρκοῦσαν ἔχων τὴν δύναμιν· «ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν· τὸ δὲ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν», φησὶν ὁ θεῖος Ἀπόστολος. Καὶ πάλιν· «ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι».*

17 *Οὕτω γοῦν ἑνοειδῆ γενομένην ψυχήν, καὶ πρὸς ἑαυτὴν καὶ τὸν Θεὸν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλὰ κατ' ἐπίνοιαν αὐτὴν ἔτι διαιρῶν λόγος, τῷ πρώτῳ καὶ μόνῳ καὶ ἑνὶ Λόγῳ τε καὶ Θεῷ κατεστεμμένην τὴν κεφαλήν· ἐν ᾧ κατὰ μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἑνοειδῶς καὶ εἰσὶ καὶ ὑφεστήκασιν, ὡς δημιουργῷ τῶν ὄντων καὶ ποιητῇ· ᾧ ἐνα-*

16. Ἐφ. 5,31–32.
17. Α' Κορ. 6,17.

Γιατί δέν ἔχει ξεπεράσει τά μειονεκτήματα μόνο τῆς κακιας καί τῆς ἀγνωσίας, τῆς ψευτιᾶς καί τῆς πονηρίας, πού εἶναι ἀντίθετες στήν ἀρετή καί τή γνῶση, στήν ἀλήθεια καί τό ἀγαθό, κακίες πού παρακολουθοῦν τίς κινήσεις τῆς ψυχῆς τίς ἀντίθετες μέ τή φύση της. Ξεπερνᾶ τῶρα – ἄν μπορῶ νά πῶ – τά ὅρια τῆς ἴδιας τῆς ἀρετῆς καί τῆς γνώσης, τῆς ἀλήθειας καί τῆς άγαθότητας, πού ἐμεῖς διακρίνομε, καί άναπάυεται, μέ τρόπο ἀνείπωτο καί ἄγνωστο, στήν παραπάνω άπό ἀληθινή καί παραπάνω άπό άγαθή κλίνη τοῦ Θεοῦ, κατά τήν ἀδιάψευστη ὑπόσχεσή του. Γιατί κανένα, ἀπό ὅσα εἶναι στή φύση τους νά τήν ἐνοχλοῦν, δέν μπορεῖ νά τή φτάσει στό κρυφό καταφύγιό της κοντά στό Θεό. Σ' αὐτή τή μακάρια καί πανάγια κλίνη πραγματοποιεῖται τό φρικτό ἐκεῖνο, πάνω ἀπό νοῦ καί λόγο, μυστήριο τῆς ἑνότητας, τό μυστήριο μέ τό ὁποῖο θά γίνει μία σάρκα κι ἕνα πνεῦμα ὁ Θεός μέ τήν Ἐκκλησία, δηλαδή τήν ψυχή, κι ἡ ψυχή μέ τό Θεό. Πῶς νά ἐκδηλώσω τό θαυμασμό μου γιά τήν ἀγαθότητά σου! Δέ θά τολμήσω νά πῶ κάν ὅτι θά ὑμνήσω αὐτό, πού μοῦ λείπει ἡ ἀπαραίτητη δύναμη ἀκόμα καί νά τό θαυμάσω σιωπηλά. «Θά γίνουν οἱ δύο μία σάρκα. Καί τό μυστήριο τοῦτο εἶναι μεγάλο, ἐννοῶ σχετικά μέ τό Χριστό καί τήν Ἐκκλησία»[16], λέγει ὁ θεῖος Ἀπόστολος. Κι ἀλλοῦ λέγει· «ὅποιος προσκολλᾶται στόν Κύριο, ἀποτελεῖ ἕνα πνεῦμα μαζί του»[17].

17 Ἀφοῦ ἀποκτήσει, λοιπόν, ἡ ψυχή τῆν ἑνότητά της καί ἀφοῦ συναχθεῖ στόν ἑαυτό της καί στό Θεό, δέ θά ἔχει θέση πιά ὁ λόγος, πού τή χωρίζει σέ πολλά μέ τούς συλλογισμούς, ἀφοῦ ἔχει σάν στέμμα στήν κεφαλή τόν πρῶτο καί μοναδικό κι ἕνα Λόγο καί Θεό. Ἐκεῖνον πού μέσα του, ἀφοῦ εἶναι δημιουργός καί ποιητής τους, ζοῦνε κι ὑπάρχουν κατά μία ἀφάνταστη ἁπλότητα, ὅλοι οἱ λόγοι τῶν ὄντων σέ ἑνότητα. Ἐκείνη ἀτενίζοντας αὐτόν, πού δέν εἶναι ὡστόσο ἔξω ἀπ' αὐτήν ἀλλά εἶναι ὁλόκληρος μέσα της, μ' ἕνα ἁπλό μονάχα

*τενίζουσα, οὐκ ἐκτὸς αὐτῆς ὄντι, ἀλλ' ἐν ὅλῃ ὅλῳ, κατὰ ἁπλῆν προσβολὴν εἴσεται καὶ αὐτὴ τοὺς τῶν ὄντων λόγους καὶ τὰς αἰτίας, δι' οὓς τυχὸν πρὶν νυμφευθῆναι τῷ Λόγῳ καὶ Θεῷ ταῖς διαιρετικαῖς ὑπήγετο μεθόδοις· σωστικῶς τε δι' αὐτῶν καὶ ἐναρμονίως πρὸς αὐτὸν φερομένη, τὸν παντὸς λόγου καὶ πάσης αἰτίας περιεκτικόν τε καὶ ποιητήν.*

*18* *Ἐπειδὴ ταῦτα τοίνυν τῆς ψυχῆς εἰσιν, ὡς ἔφαμεν, κατὰ νοῦν μὲν ἐχούσης δυνάμει τὴν σοφίαν, ἐκ δὲ τῆς σοφίας τὴν θεωρίαν, ἐκ δὲ ταύτης τὴν γνῶσιν· ἐκ δὲ τῆς γνώσεως τὴν ἄληστον γνῶσιν, δι' ἧς πρὸς τὴν ἀλήθειαν ὡς πέρας καὶ τέλος οὖσαν τῶν κατὰ νοῦν ἀγαθῶν ἄγεται· κατὰ δὲ τὸν λόγον ἐχούσης τὴν φρόνησιν, ἐκ δὲ ταύτης τὴν πρᾶξιν, ἐκ δὲ τῆς πράξεως τὴν ἀρετήν, ἐκ δὲ ταύτης τὴν πίστιν, καθ' ἣν εἰς τὸ ἀγαθὸν ὡς τέλος μακάριον τῶν λογικῶν ἐνεργειῶν καταλήγει, δι' ὧν ἡ τῶν θείων ἐπιστήμη, κατὰ σύνοδον τῆς πρὸς ἄλληλα τούτων ἑνώσεως, συλλέγεται.*

*19* *Πρὸς ταῦτα πάντα σαφῶς ἁρμόζεται, κατὰ τὴν θεωρίαν εἰκαζομένη τῇ ψυχῇ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία· τὰ μὲν κατὰ νοῦν πάντα καὶ ἐκ τοῦ νοῦ κατὰ πρόοδον εἶναι δειχθέντα, διὰ τοῦ ἱερατείου σημαίνουσα· τὰ δὲ κατὰ τὸν λόγον καὶ ἐκ τοῦ λόγου κατὰ διαστολὴν εἶναι δηλωθέντα, διὰ τοῦ ναοῦ σαφηνίζουσα· καὶ πάντα συνάγουσα πρὸς τὸ τελούμενον ἐπὶ τοῦ θείου θυσιαστηρίου μυστήριον· ὅπερ διὰ τῶν κατὰ τὴν Ἐκκλησίαν ἐπιτελουμένων ὁ δυνηθεὶς ἐμφρόνως καὶ σοφῶς μυηθῆναι, Ἐκκλησίαν ὄντως Θεοῦ καὶ θείαν τὴν ἑαυτοῦ ψυχὴν κατεστήσατο, δι' ἣν ἴσως, καὶ ἧς ἡ χειροποίητος Ἐκκλησία σοφῶς διὰ τῆς ἐν αὐτῇ τῶν θείων ποικιλίας κατὰ σύμβολον οὖσα παράδειγμα, πρὸς ὁδηγίαν τοῦ κρείττονος ἡμῖν παρεδόθη.*

ἀντίκρυσμα θά μάθει κι αὐτή τούς λόγους καί τίς αἰτίες τῶν ὄντων. Προτοῦ νυμφευθεῖ τό Λόγο καί Θεό ἀκολουθοῦν γιά τήν κατανόησή τους τό δρόμο τῆς διαιρετικῆς μεθόδου κι ὁδηγήθηκε μέ τή βοήθεια της κατά τρόπο σωτήριο καί χωρίς ἀντιφάσεις κοντά σ' ἐκείνους πού περιέχει καί δημιουργεῖ κάθε λόγο καί κάθε αἰτία.

18 Αὐτά, ὅπως εἴπαμε, συμβαίνουν στήν ψυχή. Μέσα στό νοῦ δηλαδή κλείνει δυνάμει τή σοφία καί ἀπό τή σοφία ἔχει τή θεωρία, ἀπό τή θεωρία τή γνώση, ἀπό τή γνώση τήν ἀλησμόνητη γνώση, πού μέ τή δύναμή της ὁδηγεῖται πρός τήν ἀλήθεια, κορυφή καί τέλος τῶν ἀγαθῶν ὅσα σχετίζονται μέ τό νοῦ. Ἐξαιτίας πάλι τοῦ λόγου ἔχει τή φρόνηση, κι ἀπό τή φρόνηση τήν πράξη, κι ἀπό τήν πρᾶξη τήν ἀρετή, κι ἀπό αὐτήν ἔχει τήν πίστη, πού μέ τή βοήθειά της καταλήγει στό ἀγαθό, ὅπως σέ μακάριο τέρμα τῶν λογικῶν ἐνεργειῶν. Αὐτές γίνονται τό μέσο ν' ἀπαρτισθεῖ ἡ ἐπιστήμη τῶν θείων ἀπό τήν ἐπίτευξη τῆς ἑνότητας μεταξύ τους.

19 Συμφωνεῖ τέλεια μέ ὅλ' αὐτά νά παρομοιάζεται ἀπό τό θεωρητικό λόγο ἡ ἁγία Ἐκκλησία τοῦ Θεοῦ μέ τήν ψυχή. Μέ τό ἱερό βῆμα σημαίνει ὅσα δείξαμε παραπάνω ὅτι πραγματοποιοῦνται μέσα στό νοῦ καί προέρχονται προοδευτικά ἀπό αὐτόν. Ὅσα πάλι φανερώσαμε ὅτι ἀνήκουν στήν περιοχή τοῦ λόγου καί προέρχονται ἀπό αὐτόν μέ τή διαίρεση, τά ὁρίζει καθαρά μέ τό ναό. Τά συναιρεῖ ὅλα σέ ἕνα μέ τό μυστήριο αὐτό, πού τελεῖται ἐπάνω στό θεῖο θυσιαστήριο. Στό μυστήριο αὐτό, ὅποιος μπόρεσε νά εἰσέλθει μέ φρόνηση καί σοφία σάν μύστης, ἔκαμε ἀληθινά Ἐκκλησία Θεοῦ καί θεϊκή τήν ψυχή του. Γιά χάρη της ἴσως κι ἀποτελώντας δικό της σύμβολο καί παράδειγμα μέ τή μέσα σ' αὐτήν ποικιλία τῶν θείων ἀκολουθιῶν, μᾶς δόθηκε – χειραγωγία σοφή πρός τό καλύτερο – αὐτή ἡ ἀνθρωπόχτιστη Ἐκκλησία.

## ΣΤ'

## Πῶς καὶ ποίῳ τρόπῳ ἄνθρωπος λέγεται καὶ ἡ ἁγία Γραφὴ

1 Ὥσπερ δὲ τῇ κατὰ ἀναγωγὴν θεωρίᾳ τὴν Ἐκκλησίαν ἔλεγεν ἄνθρωπον εἶναι πνευματικόν, μυστικὴν δὲ Ἐκκλησίαν τὸν ἄνθρωπον, οὕτω δὴ καὶ τὴν ἁγίαν πᾶσαν κατὰ συναίρεσιν Γραφὴν ἄνθρωπον ἔφασκεν εἶναι· τὴν μὲν Παλαιὰν Διαθήκην ἔχουσαν σῶμα, ψυχὴν δὲ καὶ πνεῦμα καὶ νοῦν τὴν Καινήν. Καὶ πάλιν, ὅλης τῆς ἁγίας Γραφῆς, Παλαιᾶς τέ φημι καὶ Νέας, τὸ καθ' ἱστορίαν γράμμα, σῶμα, τὸν δὲ νοῦν τῶν γεγραμμένων καὶ τὸν σκοπόν, πρὸς ὃν ὁ νοῦς ἀποτέτακται, ψυχήν.

2 Ὅπερ ἀκούσας ἐγώ, μάλιστα τῆς εἰκασίας ἠγάσθην τὸ ἀκριβὲς καὶ τὸν κατ' ἀξίαν ἑκάστῳ διανέμοντα χαρίσματα, δεόντως ἀνύμνησα κατὰ δύναμιν. Ὡς γὰρ θνητὸς ὁ καθ' ἡμᾶς ἄνθρωπος, κατὰ τὸ φαινόμενον, κατὰ δὲ τὸ μὴ φαινόμενον, ἀθάνατος, οὕτω καὶ ἡ ἁγία Γραφή, τὸ μὲν φαινόμενον γράμμα, παρερχόμενον ἔχουσα, τὸ δὲ κρυπτόμενον τῷ γράμματι πνεῦμα, μηδέποτε τοῦ εἶναι παυόμενον, ἀληθῆ τὸν λόγον τῆς θεωρίας συνίστησι. Καὶ ὥσπερ οὗτος ὁ καθ' ἡμᾶς ἄνθρωπος, φιλοσοφίᾳ κρατῶν τῆς ἐμπαθοῦς ὀρέξεώς τε καὶ ὁρμῆς, μαραίνει τὴν σάρκα, οὕτω καὶ ἡ ἁγία Γραφὴ νοουμένη πνευματικῶς, τὸ γράμμα

# ΣΤ'

## Πῶς καί μέ ποιό τρόπο λέγεται ἄνθρωπος καί ἡ ἁγία Γραφή

1 Κι ὅπως, κατά τήν ἀναγωγική θεωρία, ἔλεγε ὅτι ἡ Ἐκκλησία εἶναι ἄνθρωπος πνευματικός κι ὁ ἄνθρωπος μυστική Ἐκκλησία, ἔτσι κι ὅλη ἡ ἁγία Γραφή σ' ἑνιαῖο σύνολο ἔλεγε ὅτι εἶναι ἄνθρωπος· σῶμα της ἔλεγε ὅτι εἶναι ἡ Παλαιά Διαθήκη, ψυχή της καί πνεῦμα καί νοῦς ἡ Καινή. Ὁλόκληρης πάλι τῆς ἁγίας Γραφῆς, τῆς Παλαιᾶς καί τῆς Νέας, σῶμα ἦταν ἡ παράσταση μέ γράμματα, ἐνῶ ἡ σημασία τῶν συμβόλων κι ὁ σκοπός, στόν ὁποῖο ἀποβλέπει ἡ σημασία, ἔλεγε ὅτι εἶναι ἡ ψυχή.

2 Ὅταν τό ἄκουσα αὐτό, θαύμασα ὑπερβολικά τήν ἀκρίβεια τοῦ εἰκονισμοῦ. Κι ὅπως πρέπει, μ' ὅλη μου τήν δύναμη, ὕμνησα αὐτόν πού μοιράζει χαρίσματα στό καθένα κατά τήν ἀξία του. Ὅπως δηλαδή ὁ πλασμένος ἀπό ἀνθρώπινη ὕλη εἶναι θνητός κατά τό φαινόμενο καί κατά τό μή φαινόμενο ἀθάνατος, ὅμοια κι ἡ ἁγία Γραφή μέ τό νά ἔχει παροδικά τά φαινόμενα γραπτά σημεῖα – ἐνῶ τό πνεῦμα πού κρύβουν τά γράμματα δέν ἔχει καμιά διακοπή στή ζωή του – παρουσιάζει ἀληθινό τό λόγο τῆς θεωρίας. Κι ὅπως αὐτός ὁ ὅμοιός μας ἄνθρωπος συγκρατεῖ μέ τή φιλοσοφία τήν ἐπιθυμία καί τό ἔνστικτο τῆς ἡδονῆς καί μαραίνει τή σάρκα, ἔτσι κι ἡ Γραφή στό πνευματι-

*ἑαυτῆς περιτέμνει. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος· «ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ». Τοῦτο νοείσθω καὶ λεγέσθω καὶ ἐπὶ τῆς ἁγίας Γραφῆς, ἀνθρώπου τροπικῶς νοουμένης. Ὅσον γὰρ αὐτῆς τὸ γράμμα ὑποχωρεῖ, τοσοῦτον τὸ πνεῦμα πλεονεκτεῖ· καὶ ὅσον αἱ σκιαὶ τῆς προσκαίρου λατρείας παρατρέχουσι, τοσοῦτον ἡ ἀλήθεια τῆς πίστεως ἡ παμφαὴς τε καὶ ὁλολαμπὴς καὶ ἄσκιος ἐπεισέρχεται, καθ' ἣν καὶ δι' ἣν προηγουμένως καὶ ἔστι καὶ γέγραπται καὶ Γραφὴ λέγεται, τῷ νῷ διὰ χάριτος πνευματικῆς ἐγχαραττομένη· ὥσπερ καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος, διὰ τὴν ψυχὴν τὴν λογικήν τε καὶ νοεράν, προηγουμένως ἄνθρωπος μάλιστα καὶ ἔστι καὶ λέγεται, καθ' ἣν καὶ δι' ἣν εἰκών τε καὶ ὁμοίωσίς ἐστι Θεοῦ, τοῦ ποιήσαντος αὐτόν· καὶ τῶν λοιπῶν ζώων φυσικῶς ἀποδιώρισται, μηδεμίαν πρὸς αὐτὰ σχετικῆς δυνάμεως τὴν οἱανοῦν ἔμφασιν ἔχων.*

κό της νόημα ἐνεργεῖ περιτομή στά γραπτά σημεῖα της. Μᾶς λέγει ὁ θεῖος Ἀπόστολος· «ὅσο ὁ ἐξωτερικός ἄνθρωπος φθείρεται, τόσο ὁ ἐσωτερικός ξαναγίνεται νέος μέρα μέ τή μέρα»[18]. Τό ἴδιο νά σκεφτόμαστε καί νά λέμε καί γιά τήν ἁγία Γραφή, ἐκλαμβάνοντάς την σάν ἄνθρωπο. Ὅσο δηλαδή ὑποχωρεῖ τό γράμμα της, τόσο ὑπερισχύει τό πνεῦμα της. Κι ὅσο περνοῦν οἱ σκιές τῆς πρόσκαιρης λατρείας, τόσο παίρνει τή θέση της ἡ ἀλήθεια τῆς πίστης ἡ ὁλοφώτεινη κι ὁλόλαμπρη κι ἀνήσκιωτη. Σύμφωνα μ' αὐτήν κι ἐξαιτίας της γιά λόγο ὑπεροχῆς ὑπάρχει καί ἔχει γραφεῖ καί λέγεται Γραφή, γραμμένη στό νοῦ μέ τή χάρη τοῦ Πνεύματος. Ὅπως ἀκριβῶς καί ὁ ἄνθρωπος, ὅπως εἴμαστε ἐμεῖς, γιά τήν ὑπεροχή του ἐξαιτίας τῆς λογικῆς καί νοερῆς ψυχῆς, εἶναι καί λέγεται πρώτιστα ἄνθρωπος. Σύμφωνα μ' αὐτήν κι ἐξαιτίας της εἶναι εἰκόνα κι ὁμοίωση τοῦ Θεοῦ πού τόν ἔπλασε. Κατά φυσικό λόγο ἔχει ἀποχωριστεῖ ἀπό τά ἄλλα γενικά ὄντα καί δέν ἔχει ὁποιοδήποτε σημάδι συγγενικῆς μ' αὐτά λειτουργίας.

---

18. Β' Κορ. 4,16.

## Ζ'

## *Πῶς ὁ κόσμος ἄνθρωπος λέγεται καὶ ποίῳ τρόπῳ καὶ ὁ ἄνθρωπος, κόσμος*

1 *Κατὰ ταύτην δὲ πάλιν εὐμιμήτως τὴν εἰκόνα, καὶ τὸν κόσμον ὅλον τὸν ἐξ ὁρατῶν καὶ ἀοράτων συνιστάμενον, ἄνθρωπον ὑπέβαλλεν εἶναι· καὶ κόσμον αὖθις, τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· ψυχῆς γὰρ λόγον ἐπέχειν ἔλεγε τὰ νοητά· ὥσπερ καὶ ἡ ψυχή, τῶν νοητῶν· καὶ σώματος τύπον ἐπέχειν τὰ αἰσθητά· ὥσπερ καὶ τῶν αἰσθητῶν τὸ σῶμα. Καὶ ψυχὴν μὲν εἶναι τῶν αἰσθητῶν, τὰ νοητά, σῶμα δὲ τῶν νοητῶν, τὰ αἰσθητά. Καὶ ὡς ψυχὴν ἑνοῦσαν σώματι, τῷ αἰσθητῷ κόσμῳ τὸν νοητὸν εἶναι· καὶ τῷ νοητῷ τὸν αἰσθητόν, ὡς σῶμα τῇ ψυχῇ συγκροτούμενον· καὶ ἕνα ἐξ ἀμφοῖν εἶναι κόσμον, ὥσπερ καὶ ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον ἕνα, μηδ' ἑτέρου τούτων, τῶν ἀλλήλοις καθ' ἕνωσιν συμπεφυκότων, θάτερον ἀρνουμένου καὶ ἀποπέμποντος, διὰ τὸν τοῦ συνδήσαντος νόμον· καθ' ὃν τῆς ἑνοποιοῦ δυνάμεως ὁ λόγος ἐνέσπαρται, μη συγχωρῶν τὴν καθ' ὑπόστασιν ἐπὶ τῇ ἑνώσει ταυτότητα τούτων ἀγνοηθῆναι, διὰ τὴν φυσικὴν ἑτερότητα· μηδ' εἶναι δυνατωτέραν πρὸς διάστασίν τε καὶ μερισμὸν τὴν ἕκαστον τούτων ἑαυτῷ περιγράφουσαν ἰδιότητα,*

## Ζ'

## Πῶς ὁ κόσμος λέγεται ἄνθρωπος καί πῶς ὁ ἄνθρωπος κόσμος

1 Σύμφωνα πάλι μέ τήν εἰκόνα αὐτή, μ' ἐπιτυχημένη ἀπομίμηση, ὁλόκληρος ὁ κόσμος πού ἀποτελεῖται ἀπό ὁρατά καί ἀόρατα, πρόσθετε ὅτι εἶναι ἄνθρωπος. Καί πάλι, ὅτι ὁ ἄνθρωπος εἶναι κόσμος πού ἀποτελεῖται ἀπό ψυχή καί σῶμα. Ἔλεγε ὅτι τά νοητά ἀναλογοῦν πρός τήν ψυχή, ὅπως ἀκριβῶς καί τό σῶμα ἀντιστοιχεῖ πρός τά αἰσθητά. Κι ὅτι ψυχή τῶν αἰσθητῶν εἶναι τά νοητά καί τῶν νοητῶν σῶμα εἶναι τά αἰσθητά. Κι ὅπως ἡ ψυχή ζεῖ μέσα στό σῶμα, ἔτσι κι ὁ νοητός κόσμος βρίσκεται μέσα στόν αἰσθητό. Καί ὁ αἰσθητός κόσμος ὅτι ὁλοκληρώνεται μέ τό νοητό, ὅπως ἀκριβῶς τό σῶμα μέ τήν ψυχή. Καί γίνεται ἕνας κόσμος ἀπό τούς δύο, ὅπως ἕνας ἄνθρωπος ἀπό τό σῶμα καί τήν ψυχή μαζί, χωρίς τό καθένα ἀπό τά δύο αὐτά, πού εἶναι δεμένα μ' ἕνωση μεταξύ τους, ν' ἀποκρούει τό ἄλλο καί νά τό ἀποδιώχνει, χάρη στό νόμο πού ἔβαλε ἐκεῖνος πού τά ἔδεσε μαζί. Κι ἀπό τό νόμο αὐτόν σπάρθηκε μέσα τους ὁ λόγος τῆς ἑνοποιητικῆς δύναμης, πού δέν ἐπιτρέπει ν' ἀγνοηθεῖ ἐξαιτίας τῆς φυσικῆς τους διαφορᾶς, ἡ ὑποστατική ταυτότητά τους, πού δημιουργήθηκε ἀπό τήν ἕνωσή τους. Μήτε νά γίνει δυνατό νά φανεῖ ἰσχυρότερη στό χωρισμό καί στή διαίρεση ἡ ἰδιαιτερότητά τους, πού καθορίζει τή φύση τοῦ

*τῆς μυστικῶς καθ' ἕνωσιν αὐτοῖς ἐντεθείσης φιλικῆς συγγενείας, ἀποφανθῆναι· καθ' ἣν, ὁ καθ' ὅλου καὶ εἷς τρόπος τῆς ἐν ὅλοις ἀφανοῦς καὶ ἀγνώστου παρουσίας τῆς τῶν ὄντων συνεκτικῆς αἰτίας ποικίλως πᾶσιν ἐνυπάρχων, καὶ καθ' ἑαυτὰ καὶ ἐν ἀλλήλοις τὰ ὅλα συνίστησιν ἄφυρτα καὶ ἀδιαίρετα· καὶ ἀλλήλων μᾶλλον, ἢ ἑαυτῶν κατὰ τὴν ἑνοποιὸν σχέσιν, ὄντα, παρίστησι· μέχρις οὗ λῦσαι παραστῇ τῷ συνδήσαντι, μείζονος ἕνεκα καὶ μυστικωτέρας οἰκονομίας, κατὰ τὸν καιρὸν τῆς ἐλπιζομένης καθολικῆς συντελείας· καθ' ἣν καὶ ὁ κόσμος, ὡς ἄνθρωπος, τῶν φαινομένων τεθνήξεται, καὶ πάλιν ἀναστήσεται νέος ἐκ γεγηρακότος, κατὰ τὴν παραυτίκα προσδοκωμένην ἀνάστασιν· ἡνίκα καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος, ὡς μέρος τῷ ὅλῳ καὶ μικρὸς τῷ μεγάλῳ, συναναστήσεται κόσμῳ, τὴν πρὸς τὸ μηκέτι δύνασθαι φθείρεσθαι κομισάμενος δύναμιν· ὅταν ἐμφερῇ τῇ τε ψυχῇ τὸ σῶμα, καὶ τοῖς νοητοῖς τὰ αἰσθητά, κατ' εὐπρέπειαν καὶ δόξαν γενήσεται, μιᾶς ὅλοις κατ' ἐναργῆ τε καὶ ἐνεργὸν παρουσίαν, ἀναλόγως ἑκάστῳ θείας ἐπιφαινομένης δυνάμεως, καὶ δι' ἑαυτῆς τὸν τῆς ἑνώσεως ἄλυτον εἰς τοὺς ἀπείρους αἰῶνας συντηρούσης δεσμόν.*

2 *Εἴ τις οὖν βούλεται καὶ βίον καὶ λόγον θεοφιλῆ καὶ θεάρεστον ἔχειν, τῶν τριῶν τούτων ἀνθρώπων, τοῦ κόσμου τέ φημι, καὶ τῆς ἁγίας Γραφῆς, καὶ τοῦ καθ' ἡμᾶς, τὰ κρείττω περὶ πολλοῦ ποιείτω καὶ τιμιώτερα. Ψυχῆς μέν, ὅση δύναμις, ἐπιμελείσθω τῆς ἀθανάτου καὶ θείας καὶ θεοποιηθησομένης ἐξ ἀρετῶν·*

καθενός ἀπό τή συγγένεια πού τά σπρώχνει στή φιλία καί πού ρίχτηκε μυστικά μέσα τους κατά τήν ἕνωσή τους. Καί κατά τή συγγένεια αὐτή, μέ διαφορετική μορφή σέ κάθε ὄν, ὁ καθολικός καί μόνος τρόπος τῆς ἀόρατης καί ἀδιανόητης παρουσίας τῆς αἰτίας πού συγκρατεῖ τά πάντα μέσα στά πάντα, τά διατηρεῖ καί μόνα τους καί μεταξύ τους ἀσύγχυτα κι ἀδιαίρετα καί δείχνει ὅτι ἀνήκουν, κατά τόν ἑνοποιητικό σύνδεσμό τους, πιό πολύ τό ἕνα στό ἄλλο παρά στόν ἑαυτό του. Ὥσπου νά σκεφτεῖ νά τά διαλύσει Ἐκεῖνος, πού τά ἔδεσε μαζί γιά χάρη κάποιας ἀνώτερης κι ἀπόκρυφης οἰκονομίας, κατά τήν ὥρα τῆς συντέλειας τῶν ὅλων πού περιμένομε. Τότε καί ὁ κόσμος τῶν φαινομένων, ὅπως ὁ ἄνθρωπος, θά πεθάνει καί πάλι θ' ἀναστηθεῖ νέος ἀπό τό γερασμένο, κατά τήν ἀνάσταση πού προσδοκοῦμε σύντομα. Τότε κι ὁ ἄνθρωπος, πού εἴμαστ' ἐμεῖς, μέρος μαζί μέ τό ὅλο καί μικρός μαζί μέ τό μεγάλο κόσμο, θά συναναστηθεῖ, ἀφοῦ λάβει τή δύναμη ν' ἀποφύγει πιά τή μοίρα τῆς φθορᾶς. Καί τοῦτο ὅταν τό σῶμα πλησιάσει τήν ψυχή καί τά αἰσθητά πλησιάσουν τά νοητά κατά τήν ὀμορφιά καί τή λάμψη, ἐνῶ μέσα σέ ὅλα μέ ἰδιαίτερη ἀναλογία θά ἐκδηλώνεται ἡ ἴδια θεϊκή δύναμη, σάν παρουσία λαμπρή κι ἐνεργετική, πού συντηρεῖ μόνη της ἀδιάλυτο στούς ἄπειρους αἰῶνες τό σύνδεσμο τῆς ἑνότητας.

2 Ἄν θέλει κάποιος, λοιπόν, νά ἔχει καί βίο καί λόγο θεάρεστο, ἄς προσέξει πολύ τά ἀνώτερα καί πολυτιμότερα στοιχεῖα αὐτῶν τῶν τριῶν ἀνθρώπων, ἐννοῶ τόν κόσμο, τήν ἁγία Γραφή κι ἐμᾶς. Ἄς φροντίζει μ' ὅλη τή δύναμή του γιά τήν ψυχή, τήν ἀθάνατη καί θεία, πού θά θεωθεῖ μέ τίς ἀρετές. Ἄς περιφρονεῖ ὅμως τή σάρκα, πού τήν ἐξουσιάζει ἡ φθορά κι ὁ θάνα-

*καὶ σαρκὸς καταφρονείτω τῆς ὑποκειμένης φθορᾷ καὶ θανάτῳ καὶ τὸ τῆς ψυχῆς ἀμελούμενον ρυπῶσαι δυναμένης ἀξίωμα. «Φθαρτὸν γὰρ σῶμα», φησί, «βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα». Καὶ πάλιν, «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· τὸ δὲ πνεῦμα, κατὰ τῆς σαρκός». Καὶ αὖθις, «ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν». Πρὸς δὲ τὰς ἀσωμάτους καὶ νοερὰς δυνάμεις κατὰ νοῦν διὰ νοήσεως κινησάτω τὴν ἅμιλλαν, ἀφεὶς τὰ παρόντα καὶ βλεπόμενα· «τὰ γὰρ βλεπόμενα πρόσκαιρα», φησί, «τὰ δὲ μὴ βλεπόμενα, αἰώνια», αἷς διὰ τὸ πλῆθος τῆς κατ' εἰρήνην ἕξεως ὁ Θεὸς ἐναναπαύεται. Καὶ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, δι' ἔμφρονος μελέτης τῆς ἁγίας Γραφῆς, ὑπερβὰς τὸ γράμμα, σωφρόνως ἀναφερέσθω, ἐν ᾧ τὸ πλήρωμα ὑπάρχει τῶν ἀγαθῶν, καὶ «οἱ θησαυροὶ τῆς γνώσεως καὶ τῆς σοφίας ἀπόκρυφοι», ὧν εἴ τις ἐντὸς ἄξιος γενέσθαι φανήσεται, τὸν Θεὸν αὐτὸν εὑρήσει ταῖς πλαξὶ τῆς καρδίας ἐγγεγραμμένον διὰ τῆς ἐν Πνεύματι χάριτος, «ἀνακεκαλυμμένῳ προσώπῳ», τὴν τοῦ Θεοῦ δόξαν ἐνοπτριζόμενος τῇ περιαιρέσει τοῦ κατὰ γράμμα καλύμματος.*

---

19. Σοφ. Σολ. 9,15.
20. Γαλ. 5,17.
21. Γαλ. 6,8.

τος καί πού μπορεῖ νά σπιλώσει τήν ἀξία τῆς ψυχῆς, ἄν ἀδιαφορήσομε γι' αὐτή. Μᾶς λέγει· «Βαραίνει τήν ψυχή τό φθαρτό σῶμα καί τό χωματένιο σκήνωμα συνθλίβει τό νοῦ τόν μπλεγμένο σέ πολλές φροντίδες»[19]. Καί μᾶς λέγει ξανά· «ἡ σάρκα ἐπιθυμεῖ κατά τοῦ πνεύματος καί τό πνεῦμα κατά τῆς σάρκας»[20]. Καί πάλι· «ὅποιος ρίχνει τούς σπόρους τῆς προκοπῆς του στή σάρκα του, θά θερίσει ἀπό τή σάρκα φθορά»[21]. Ἄς στρέφει τήν ἅμιλλά του μέ ἔλλογη νοητική ἐνέργεια πρός τίς ἀσώματες καί νοερές δυνάμεις κι ἄς ἀφήσει τά τωρινά καί ορατά· «τά ὁρατά εἶναι πρόσκαιρα», μᾶς λεγει, «τά ἀόρατα αἰώνια»[22]. Στίς δυνάμεις αὐτές βρίσκει ἀνάπαυση ὁ Θεός πού εἶναι συνηθισμένος σέ μακρά εἰρήνη. Ἄς ἀναφέρεται ἀκόμα μέ φρόνηση στό ἅγιο Πνεῦμα, ξεπερνώντας τό γράμμα μέ τή στοχαστική μελέτη τῆς ἁγίας Γραφῆς. Σ' αὐτό ὑπάρχει τό πλήρωμα τῶν ἀγαθῶν «κι οἱ θησαυροί τῆς γνώσης καί τῆς σοφίας κρυμμένοι»[23]. Κι ἄν κάποιος φανεῖ ἄξιος στή διαχείρηση τῶν θησαυρῶν αὐτῶν, θά βρεῖ τόν ἴδιο τό Θεό χαραγμένο στίς πλάκες τῆς καρδιᾶς του μέ τή χάρη τοῦ Πνεύματος· «μέ ἀκάλυπτο πρόσωπο»[24] θά δεῖ, ὅπως σέ καθρέφτη, τή δόξα τοῦ Θεοῦ, ἀφοῦ ἀφαιρέσει τό κάλυμμα τῶν γραμμάτων.

---

22. Β' Κορ. 4,18.
23. Κολ. 2,3.
24. Β' Κορ. 3,18.

## *Η΄*

### *Τίνων εἰσὶ σύμβολα ἥ τε πρώτη τῆς ἁγίας συνάξεως εἴσοδος καὶ τὰ μετ' αὐτὴν τελούμενα*

1 *Ἥκει δὲ λοιπὸν ὁ λόγος ἡμῖν, μετὰ τὴν σύντομον ἔκθεσιν τῶν εἰρημένων περὶ τῆς ἁγίας Ἐκκλησίας θεωριῶν παρὰ τοῦ μακαρίου γέροντος, συντομωτέραν καὶ τὴν περὶ τῆς ἁγίας τῆς Ἐκκλησίας συνάξεως διήγησιν, ὡς οἷόν τε, ποιησόμενος. Τὴν μὲν οὖν πρώτην εἰς τὴν ἁγίαν Ἐκκλησίαν τοῦ ἀρχιερέως κατὰ τὴν ἱερὰν σύναξιν εἴσοδον, τῆς πρώτης τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Χριστοῦ διὰ σαρκὸς εἰς τὸν κόσμον τοῦτον παρουσίας τύπον καὶ εἰκόνα φέρειν, ἐδίδασκε, δι' ἧς τὴν δουλωθεῖσαν τῇ φθορᾷ καὶ παθοῦσαν ὑφ' ἑαυτῆς τῷ θανάτῳ διὰ τῆς ἁμαρτίας, καὶ βασιλευομένην τυραννικῶς ὑπὸ τοῦ διαβόλου τῶν ἀνθρώπων φύσιν ἐλευθερώσας τε καὶ λυτρωσάμενος· πᾶσαν τὴν ὑπὲρ αὐτῆς ὀφειλήν, ὡς ὑπεύθυνος ἀποδοὺς ὁ ἀνεύθυνος καὶ ἀναμάρτητος, πάλιν πρὸς τὴν ἐξ ἀρχῆς ἐπανήγαγε τῆς βασιλείας χάριν, ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν δοὺς καὶ ἀντάλλαγμα· καὶ τῶν ἡμετέρων φθοροποιῶν παθημάτων τὸ ζωοποιὸν αὐτοῦ πάθος ἀντιδούς, παιώνιον ἄκος καὶ παντὸς τοῦ κόσμου σωτήριον· μεθ' ἣν παρουσίαν, ἡ εἰς οὐρανοὺς αὐτοῦ καὶ τὸν ὑπερουράνιον θρόνον ἀνάβασίς τε καὶ ἀποκατάστασις συμβολικῶς τυποῦται, διὰ τῆς ἐν τῷ ἱερατείῳ τοῦ ἀρχιερέως εἰσόδου, καὶ τῆς εἰς τὸν θρόνον τὸν ἱερατικὸν ἀναβάσεως.*

## Η'

## Τί συμβολίζει ἡ πρώτη εἴσοδος τῆς ἁγίας σύναξης καί τί ὅσα τελοῦνται ἔπειτα ἀπό αὐτή

1 Ἔπειτα ἀπό τή σύντομη ἔκθεση πού κάναμε τῶν ἀπόψεων πού διατυπώθηκαν γιά τήν ἁγία Ἐκκλησία ἀπό τό μακάριο γέροντα, ἔρχεται πιά ὁ λόγος νά κάνει ἀκόμα πιό σύντομη, ὅσο γίνεται, τήν ἔκθεση γιά τήν ἁγία σύναξη τῆς Ἐκκλησίας. Ἡ πρώτη λοιπόν κατά τήν ἱερή σύναξη εἴσοδος στήν ἁγία Ἐκκλησία τοῦ ἀρχιερέα, δίδασκε ὅτι εἶναι εἰκόνα καί τύπος τῆς πρώτης μέσα ἀπό τή σάρκα παρουσίας στόν κόσμο τοῦτο, τοῦ Υἱοῦ τοῦ Θεοῦ καί Σωτήρα μας Χριστοῦ. Μέ τήν παρουσία του αὐτή ἐλευθέρωσε καί λύτρωσε τή φύση τῶν ἀνθρώπων, πού εἶχε ὑποδουλωθεῖ στή φθορά καί παραδοθεῖ ἀπό μόνη της στό θάνατο μέ τήν ἁμαρτία της καί πού ὁ διάβολος κυβερνᾶ τυραννικά. Πλήρωσε τό χρέος γι' αὐτήν, σάν ὑπεύθυνος, αὐτός ὁ ἀνεύθυνος καί ἀναμάρτητος, καί τήν ξανάφερε στή χάρη τῆς ἀρχικῆς βασιλείας, ἀφοῦ ἔδωσε τόν ἑαυτό του γιά μᾶς ἀντάλλαγμα καί λύτρο. Πρόσφερε σάν ἀντίδοτο στά δικά μας θανάσιμα πάθη τό ζωοποιό πάθος του, φάρμακο θεραπευτικό καί σωτήριο ὁ ἀποκατάστασή του στόν ὑπερουράνιο θρόνο συμβολίζεται μέ τήν εἴσοδο τοῦ ἀρχιερέα στό ἱερό βῆμα καί τήν ἀνάβασή του στόν ἱερατικό θρόνο.

## *Θ΄*

## *Τίνος ἔχει δήλωσιν καὶ ἡ τοῦ λαοῦ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν εἴσοδος*

1 *Τὴν δὲ τοῦ λαοῦ σὺν τῷ ἱεράρχῃ γενομένην εἰς τὴν Ἐκκλησίαν εἴσοδον, τὴν ἐξ ἀγνοίας καὶ πλάνης εἰς ἐπίγνωσιν Θεοῦ ἐπιστροφὴν τῶν ἀπίστων καὶ τὴν ἀπὸ κακίας καὶ ἀγνωσίας εἰς ἀρετὴν καὶ γνῶσιν μετάθεσιν τῶν πιστῶν σημαίνειν, ὁ μακάριος ἔλεγε γέρων. Οὐ γὰρ μόνον τὴν ἐπὶ τὸν ἀληθινὸν Θεὸν ἐπιστροφὴν τῶν ἀπίστων ἡ εἰς τὴν Ἐκκλησίαν εἴσοδος παραδηλοῖ, ἀλλὰ καὶ ἑκάστου ἡμῶν τῶν πιστευόντων μέν, ἀθετούντων δὲ τὰς ἐντολὰς τοῦ Κυρίου δι' ἀγωγῆς ἀκολάστου καὶ ἀσχήμονος βίου, τὴν διὰ μετανοίας διόρθωσιν. Πᾶς γὰρ ἄνθρωπος, εἴτε φονεύς, εἴτε μοιχός, εἴτε κλέπτης, εἴτε ὑπερήφανος, εἴτε ἀλαζών, ἢ ὑβριστής, ἢ πλεονέκτης, ἢ φιλάργυρος, ἢ κατάλαλος, ἢ μνησίκακος, ἢ πρὸς θυμὸν καὶ ὀργὴν εὐάγωγος, ἢ λοίδορος, ἢ συκοφάντης, ἢ ψίθυρος, ἢ φθόνῳ εὐχείρωτος, ἢ μέθυσος, καὶ ἁπλῶς, ἵνα μὴ πάντα τὰ τῆς κακίας εἴδη ἀπαριθμούμενος μηκύνω τὸν λόγον, ὅστις ὑφ' οἱασδήποτε κακίας ἐνεχόμενος, ἐπὸν τοῦ ἑκουσίως κατ' ἐπιτήδευσιν ἐνέχεσθαι καὶ ἐνεργεῖν κατὰ πρόθεσιν παύσοιτο, καὶ μεταβαλοῖ τὸν βίον ἐπὶ τὸ κρεῖττον, τῆς κακίας τὴν ἀρετὴν ἀνθαιρούμενος· ὁ τοιοῦτος κυρίως τε καὶ ἀληθῶς Χριστῷ τῷ Θεῷ καὶ ἀρχιερεῖ νοείσθω τε καὶ λεγέσθω συνεισιέναι εἰς τὴν ἀρετήν, Ἐκκλησίαν τροπικῶς νοουμένην.*

# Θ΄

## Τί φανερώνει καί ἡ εἴσοδος τοῦ λαοῦ μέσα στήν ἁγία Ἐκκλησία τοῦ Θεοῦ

1 Καί ἡ εἴσοδος τοῦ λαοῦ, πού γίνεται μαζί μέ τόν ἱεράρχη μέσα στήν Ἐκκλησία, ἔλεγε ὁ μακαριστός γέροντας, ὅτι φανερώνει τήν ἐπιστροφή τῶν ἀπίστων ἀπό τήν ἄγνοια καί τήν πλάνη τους στήν ἐπίγνωση τοῦ Θεοῦ, καθώς καί τή μετατόπιση τῶν πιστῶν ἀπό τήν κακία καί τήν ἀγνωσία στήν ἀρετή καί τή γνώση. Ἡ εἴσοδος στήν Ἐκκλησία δέ φανερώνει μόνο τήν ἐπιστροφή τῶν ἀπίστων στόν ἀληθινό Θεό. Ὑποδηλώνει καί τοῦ καθενός ἀπό μᾶς, πού πιστεύομε ἀλλά παραβαίνομε τίς ἐντολές τοῦ Κυρίου μέ τήν ἀκόλαστη διαγωγή καί τόν αἰσχρό βίο μας, τή διόρθωση μέ τή μετάνοια. Κάθε ἄνθρωπος δηλαδή, φονιάς, μοιχός, κλέφτης, ὑπερήφανος, φαντασμένος, ἀναίσχυντος, πλεονέκτης, φιλάργυρος, φιλοκατήγορος, μνησίκακος πού ρίπτει στό θυμό καί τήν ὀργή, περιγελαστής, συκοφάντης, ψιθυριστής, τοῦ φθόνου θήραμα, μέθυσος, καί μέ μιά λέξη – γιά νά μή μακρύνω τό λόγο μου ἀπαριθμώντας ὅλα τά εἴδη τῆς κακίας – ὅποιος κατέχεται ἀπό ὁποιαδήποτε κακία, ἀφοῦ παύσει θεληματικά κι εὐσυνείδητα νά κατέχεται ἀπό αὐτήν καί νά ἐνεργεῖ κατά πρόθεση κι ἀφοῦ μεταβάλει τή ζωή του πρός τό καλύτερο προτιμώντας ἀπό τήν κακία τήν ἀρετή, αὐτόν τόν ἄνθρωπο κατεξοχήν κι ἀληθινά πρέπει νά θεωροῦμε καί νά λέμε ὅτι μπαίνει μαζί μέ τό Χριστό τό Θεό στό χῶρο τῆς ἀρετῆς, μέ τήν ὁποία νοοῦμε συμβολικά τήν Ἐκκλησία.

## *Ι'*

### *Τίνων εἰσὶ σύμβολον τὰ θεῖα ἀναγνώσματα*

1 *Τὰς δὲ θείας τῶν πανιέρων βίβλων ἀναγνώσεις, τὰς θείας καὶ μακαρίας τοῦ παναγίου Θεοῦ βουλήσεις τε καὶ βουλὰς ὑπεμφαίνειν, ἔλεγεν ὁ διδάσκαλος, δι' ὧν τὰς ὑποθήκας τῶν πρακτέων, ἀναλόγως ἕκαστος ἡμῶν, κατὰ τὴν ὑποῦσαν αὐτῷ δύναμιν, λαμβάνομεν, καὶ τοὺς τῶν θείων καὶ μακαρίων ἀγώνων νόμους μανθάνομεν, καθ' οὓς νομίμως ἀθλοῦντες, τῶν ἀξιονίκων τῆς Χριστοῦ βασιλείας ἀξιούμεθα στεφάνων.*

# Ι'

## Τί συμβολίζουν τά θεῖα ἀναγνώσματα

1 Οἱ θεῖες ἀναγνώσεις τῶν πανίερων βιβλίων, ἔλεγε ὁ δάσκαλος, ὅτι ὑποδηλώνουν τίς θεῖες καί μακάριες θελήσεις καί βουλές τοῦ πανάγιου Θεοῦ. Αὐτές μᾶς δίνουν τά θεμέλια τῆς πράξης μας, ἀνάλογα στόν καθένα μας πρός τή δύναμή του, καί μᾶς μαθαίνουν τούς κανόνες τῶν θείων καί μακάριων ἀγώνων μας. Καί στούς ἀγῶνες αὐτούς μέ τή νόμιμη ἄθλησή μας ἀξιωνόμαστε τά ποθητά στεφάνια τῆς βασιλείας τοῦ Χριστοῦ.

## *ΙΑ΄*

### ***Τίνος ἐστὶ σύμβολον τὰ θεῖα ᾄσματα***

1 *Τὴν δὲ πνευματικὴν τῶν θείων ᾀσμάτων τερπνότητα, τὴν ἐμφαντικὴν δηλοῦν, ἔφασκε, τῶν θείων ἡδονὴν ἀγαθῶν· τὴν τὰς ψυχὰς πρὸς μὲν τὸν ἀκήρατον τοῦ Θεοῦ καὶ μακάριον ἀνακινοῦσαν ἔρωτα· πρὸς δὲ τὸ μῖσος τῆς ἁμαρτίας πλέον ἐγείρουσαν.*



# ΙΑ΄

## Τί συμβολίζουν τά θεῖα ψάλματα

1 Ἡ πνευματική πάλι χάρη τῶν θείων ψαλμάτων ἔλεγε ὅτι φανερώνει τή γλυκύτητα τῶν θείων ἀγαθῶν. Αὐτήν πού φτερώνει τή ψυχή πρός τόν τέλειο κι εὐτυχισμένο ἔρωτα τοῦ Θεοῦ καί τήν ἐρεθίζει ἀκόμα περισσότερο νά μισεῖ τήν ἁμαρτία.

## *ΙΒ'*

### *Τί σημαίνουσιν αἱ τῆς εἰρήνης προσφωνήσεις*

*Διὰ δὲ τῶν γινομένων ἔνδοθεν ἐκ τοῦ ἱερατείου κελεύσει τοῦ ἀρχιερέως, ἐφ' ἑκάστῳ ἀναγνώσματι τῆς εἰρήνης ὑποφωνήσεων, τὰς διὰ τῶν ἁγίων ἀγγέλων διακομιζομένας θείας ἀποδοχὰς δηλοῦσθαι, ὁ σοφὸς διωρίζετο, δι' ὧν ὁ Θεὸς ὁρίζει τῶν νομίμως ὑπὲρ τῆς ἀληθείας πρὸς τὰς ἀντικειμένας δυνάμεις ἀθλούντων τοὺς ἀγῶνας, τὰς ἀοράτους συμπλοκὰς διαλύων, καὶ εἰρήνην διδοὺς «ἐν τῇ καταργήσει τοῦ σώματος τῆς ἁμαρτίας», καὶ τῶν ὑπὲρ ἀρετῆς πόνων τῆς ἀπαθείας τὴν χάριν τοῖς ἁγίοις ἀντιδιδούς· ἵνα τοῦ πολεμεῖν ἀφέμενοι, πρὸς γεωργίαν πνευματικήν, εἴτουν ἀρετῶν ἐργασίαν, τὰς τῆς ψυχῆς μετασκευάσωσι δυνάμεις· δι' ὧν τὰ στίφη τῶν πονηρῶν πνευμάτων διέλυσαν, στρατηγοῦντος αὐτοῖς τοῦ Θεοῦ καὶ Λόγου, καὶ τὰ πικρὰ τοῦ διαβόλου καὶ δύσφυκτα μηχανήματα διασκεδάζοντος.*

## ΙΒ'

### Ποιά σημασία ἔχουν οἱ ἀντιφωνήσεις πρός τήν εἰρήνη

1 Μέ τίς ἀντιφωνήσεις πρός τήν εἰρήνη, πού γίνονται μέσα ἀπό τό ἱερό Βῆμα μέ τόν ὁρισμό τοῦ ἀρχιερέα ἔπειτ' ἀπό κάθε ἀνάγνωσμα καθόριζε ὁ σοφός γέροντας ὅτι φανερώνονται οἱ θεϊκές εὐαρεστήσεις, πού μεταφέρουν οἱ ἅγιοι ἄγγελοι. Μ' αὐτές ὁρίζει ὁ Θεός τ' ἀγωνίσματα ἐκείνων, πού ἀντιμετωπίζουν μέ μόνιμη ἄθληση γιά χάρη τῆς ἀλήθειας τίς ἀντίθετες δυνάμεις καί διαλύει τίς ἀόρατες συμπλοκές, παρέχοντας εἰρήνη «μέ τήν κατάργηση τοῦ σώματος τῆς ἁμαρτίας»[25]. Κι ἀντιπροσφέροντας στούς ἁγίους ἐξαιτίας τῶν ἀγώνων τους γιά τήν ἀρετή τή χάρη τῆς ἀπαλλαγῆς ἀπό τά πάθη. Ἔτσι, ἐλεύθεροι ἀπό τό βάρος τοῦ πολέμου αὐτοῦ, νά κατευθύνουν τίς δυνάμεις τῆς ψυχῆς τους στήν πνευματική καλλιέργεια, στήν ἄσκηση δηλαδή τῶν ἀρετῶν. Μ' αὐτές σκόρπισαν τίς ὀρδές τῶν πονηρῶν πνευμάτων κι εἶχαν ἀρχηγό τό Θεό καί Λόγο, πού ἀχρήστεψε τά ὀδυνηρά καί δυσαπόκρουστα τεχνάσματα τοῦ διαβόλου.

25. Πρβλ. Ρωμ. 6,6.

## *ΙΓ'*

### *Τίνος ἰδικῶς ἐπὶ τοῦ καθ' ἕκαστον σύμβολόν ἐστιν ἡ ἀνάγνωσις τοῦ ἁγίου Εὐαγγελίου, καὶ τὰ μετ' αὐτὴν μυστικά*

1 *Ὅθεν εὐθὺς μετὰ ταύτας, τὴν θείαν τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσιν ἡ τῆς ἁγίας Ἐκκλησίας ἱερὰ διάταξις ἐνομοθέτησε γίγνεσθαι· ἰδικῶς μὲν τὴν ὑπὲρ τοῦ λόγου τοῖς σπουδαίοις κακοπάθειαν εἰσηγουμένην, μεθ' ἣν ὁ τῆς γνωστικῆς θεωρίας ὥσπερ Ἀρχιερεὺς οὐρανόθεν ἐπιδημῶν αὐτοῖς Λόγος, τῆς σαρκὸς αὐτοῖς ὥσπερ τινὰ κόσμον αἰσθητὸν συστέλλει τὸ φρόνημα.*

2 *Τοὺς ἔτι πρὸς γῆν κατανεύοντας λογισμοὺς ἀπωθούμενος καὶ πρὸς τὴν τῶν νοητῶν ἐποψίαν ἐντεῦθεν διὰ τῆς τῶν θυρῶν κλείσεως καὶ τῆς εἰσόδου τῶν ἁγίων μυστηρίων αὐτοὺς ἀγαγών, λόγων τε καὶ πραγμάτων, μύσαντας ἤδη τὰς αἰσθήσεις· καὶ ἔξω σαρκὸς καὶ κόσμου γεγενημένους, τὰ ἀπόρρητα διδάσκει, συναχθέντας ἤδη διὰ τοῦ ἀσπασμοῦ πρὸς ἑαυτούς τε καὶ αὐτόν, καὶ μόνην ἀντεισάγοντας αὐτῷ τῆς περὶ αὐτοὺς πολλῆς εὐεργεσίας, εὐγνωμόνως, τὴν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας εὐχα-*

# ΙΓ'

## Τίνος καθενός χωριστά εἶναι σύμβολο ἡ ἀνάγνωση τοῦ ἁγίου Εὐαγγελίου καί οἱ μυστικές εὐχές ἔπειτ' ἀπό αὐτή

1 Γι' αὐτό, ἔπειτ' ἀπό τίς ἀναφωνήσεις αὐτές, θέσπισε ἡ ἱερή διάταξη τῆς Ἐκκλησίας νά γίνεται ἀμέσως ἡ ἀνάγνωση τοῦ ἱεροῦ Εὐαγγελίου. Σκοπός της ειδικός εἶναι νά προβάλει στούς φιλόπονους τήν ταλαιπωρία γιά χάρη τοῦ θείου λόγου, πού ἔπειτ' ἀπό αὐτήν ὁ Λόγος τῆς γνωστικῆς θεωρίας φτάνοντας σ' αὐτούς, σάν Μέγας Ἀρχιερέας, ἀπό τόν οὐρανό περιορίζει τό σαρκικό φρόνημα, σάν μέρος τοῦ αἰσθητοῦ κόσμου πού εἶναι.

2 Τούς λογισμούς πού σκύβουν ἀκόμα στή γῆ τούς παραμερίζει καί τούς φέρνει ἀπό ἐδῶ στή θέαση τῶν νοητῶν λόγων καί πραγμάτων μέ τό κλείσιμο τῶν θυρῶν καί τήν εἴσοδο τῶν ἁγίων μυστηρίων, καθώς ἔχουν σφαλίσει πιά τίς πύλες τῶν αἰσθήσεων. Κι ἀφοῦ τούς ἔχει ἀπομακρύνει ἀπό τή σάρκα καί τόν κόσμο τούς μαθαίνει τά ἄρρητα, ἐνῶ ἔχουν μέ τόν ἀσπασμό συνδεθεῖ μεταξύ τους καί μαζί του καί τοῦ ἀντιπροσφέρουν μονάχα μ' εὐγνωμοσύνη μπροστά στήν ἀπέραντη πρός αὐτούς εὐεργεσία του τήν εὐχαριστήρια ὁμολογία γιά

*ριστήριον ὁμολογίαν, ἣν τὸ θεῖον τῆς πίστεως αἰνίττεται σύμβολον.*

3 *Εἶτα τοῖς ἀγγέλοις ἐναριθμίους αὐτοὺς καταστήσας διὰ τοῦ Τρισαγίου, καὶ τὴν αὐτὴν ἐκείνοις ἐπιστήμην τῆς ἁγιαστικῆς θεολογίας αὐτοῖς χαρισάμενος, τῷ Θεῷ καὶ Πατρὶ προσάγει, υἱοθετηθέντας τῷ Πνεύματι διὰ τῆς προσευχῆς, δι' ἧς Πατέρα καλεῖν τὸν Θεὸν ἠξιώθησαν. Κἀντεῦθεν πάλιν ὥσπερ ἐπιστημόνως ἤδη τοὺς ἐν τοῖς οὖσι πάντας λόγους περάσαντας, πρὸς τὴν ἄγνωστον ἀγνώστως διὰ τοῦ, «Εἷς ἅγιος», καὶ τῶν ἑξῆς, ἄγει μονάδα, τῇ χάριτι ἑνωθέντας, καὶ κατὰ μέθεξιν πρὸς αὐτὴν ὁμοιωθέντας τῇ κατὰ δύναμιν ἀδιαιρέτῳ ταυτότητι.*



τή σωτηρία τους. Αὐτῆς ὑπαινιγμό ἀποτελεῖ τό θεῖο σύμβολο τῆς πίστεως.

3 Ἀφοῦ ἔπειτα μέ τό Τρισάγιο τούς κάνει νά συναριθμοῦνται μέ τούς ἀγγέλους καί τούς χαρίσει τήν ἴδια μ' αὐτούς γνώση τῆς ἐξαγιαστικῆς Θεολογίας, τούς ὁδηγεῖ κοντά στό Θεό καί Πατέρα, γινωμένους γιούς του χάρη στό Πνεῦμα μέ τήν προσευχή, πού μ' αὐτήν ἀξιώθηκαν νά καλοῦν Πατέρα τό Θεό. Κι ἀπό δῶ πάλι, καθώς ἔχουν πιά περάσει μέ ἐπιστήμη ἀπό ὅλους τούς λόγους τῶν ὄντων, τούς φέρνει μ' ἀκατανόητο τρόπο στήν ἀκατανόητη Μονάδα μέ τό «Εἷς Ἅγιος...» καί τά παρακάτω. Ἔχουν ἑνωθεῖ μαζί Της μέ τή χάρη κι ἔχουν γίνει ὅμοιοί Της ἐπικοινωνώντας μ' Αὐτή σέ μία ὅσο μπορεῖ νά γίνει ἀδιαίρετη ταυτότητα.



## *ΙΔ'*

### ***Τίνος ἐστὶ σύμβολον καὶ τὸ γενικῶς σημαινόμενον ἡ θεία τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσις***

1 *Γενικῶς δὲ τὴν τοῦ κόσμου τούτου συντέλειαν ὑποσημαίνουσαν. Μετὰ γὰρ τὴν θείαν τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσιν ὅ τε ὅ τε ἀρχιερεὺς κάτεισι τοῦ θρόνου, καὶ ἡ τῶν κατηχουμένων καὶ ἡ τῶν λοιπῶν τῶν ἀναξίων τῆς θείας τῶν δειχθησομένων μυστηρίων θεωρίας ἀπόλυσίς τε καὶ ἐκβολὴ διὰ τῶν λειτουργῶν γίγνεται, σημαίνουσα καὶ προτυποῦσα δι' ἑαυτῆς τὴν ἀλήθειαν, ἧς εἰκὼν ὑπάρχει καὶ τύπος, καὶ οἷον ἐν τούτοις βοῶσα, ὅτι μετὰ «τὸ κηρυχθῆναι τὸ Εὐαγγέλιον», καθὼς γέγραπται, «τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τὸ τέλος»· παραγινομένου κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ἐξ οὐρανῶν δηλαδή, «μετὰ δόξης πολλῆς τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Αὐτὸς γὰρ ὁ Κύριος ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ», φησὶν ὁ θεῖος Ἀπόστολος· καὶ ποιοῦντος ἐκδίκησιν ἐν τοῖς ὑπεναντίοις, καὶ ἀφορίζοντος διὰ τῶν ἁγίων ἀγγέλων τοὺς πιστοὺς ἀπὸ τῶν ἀπίστων, καὶ ἀπὸ τῶν δικαίων τοὺς ἀδίκους, καὶ τῶν ἁγίων τοὺς ἐναγεῖς· καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, τῶν Πνεύματι Θεοῦ στοιχησάντων, τοὺς ὀπίσω σαρκὸς πορευθέντας· καὶ ἐπ' αἰῶσι ἀπείροις τε καὶ ἀτελευτήτοις, ὡς ἡ τῶν θείων λογίων ἀλήθειά φησι, κατ' ἀξίαν τῶν βεβιωμένων ἑκάστῳ δικαίαν ἀποδιδόντος τὴν ἀμοιβήν.*

---

26. Ματθ. 24,14.
27. Πρβλ. Τίτ. 2,13.
28. Α' Θεσ. 4,16.

## ΙΔ΄

### Τίνος σύμβολο εἶναι καί στή γενική σημασία της ἡ θεία ἀνάγνωση τοῦ ἁγίου Εὐαγγελίου

1 Στή γενική ἐκδοχή της ὑποδηλώνει τή συντέλεια τοῦ κόσμου τούτου. Ἔπειτα δηλαδή ἀπό τή θεία ἀνάγνωση τοῦ Εὐαγγελίου, κατεβαίνει καί ὁ ἀρχιερέας ἀπό τό θρόνο καί γίνεται ἀπό τούς λειτουργούς ἡ ἀπόλυση καί ἡ ἀπομάκρυνση τῶν κατηχουμένων καί ὅσων εἶναι ἀνάξιοι γιά τό θεῖο ἀντίκρυσμα τῶν μυστηρίων, πού μέλλουν νά παρουσιαστοῦν. Δείχνει ἡ ἴδια καί προτυπώνει τήν ἀλήθεια, πού αὐτῆς εἶναι εἰκόνα κι ἀποτύπωση κι εἶναι σά νά φωνάζει μέ ὅλα αὐτά ὅτι « ἀφοῦ κηρυχθεῖ σ' ὅλη τήν οἰκουμένη – ὅπως ἔχει γραφεῖ – τό Εὐαγγέλιο τῆς Βασιλείας, μαρτυρία γιά ὅλα τά ἔθνη, τότε θά φθάσει τό τέλος»[26]. Θά φτάσει τότε κατά τή δεύτερη παρουσία του, θέλω νά πῶ ἀπο τόν οὐρανό, «μέ ἀνείπωτη δόξα ὁ μεγάλος Θεός καί Σωτήρας μας Ἰησοῦς Χριστός[27]. Ὁ ἴδιος ὁ Κύριος μέ ἐξαγγελτική φωνή ἀρχαγγέλου καί μέ τόν ἦχο τῆς σάλπιγγας τοῦ Θεοῦ θά κατεβεῖ ἀπό τόν οὐρανό»[28], γράφει ὁ θεῖος Ἀπόστολος. Θά τιμωρήσει ὅσους τοῦ ἐναντιώθηκαν καί θά βάλει τούς ἁγίους ἀγγέλους του νά χωρίσουν τούς πιστούς ἀπό τούς ἄπιστους, τούς δίκαιους ἀπό τούς ἄδικους, τούς ἁγίους ἀπό τούς ἁμαρτωλούς. Μ' ἕνα λόγο, ὅσους ἀκολούθησαν τήν προσταγή τῆς σάρκας ἀπό αὐτούς πού στοίχισαν τά βήματά τους σύμφωνα μέ τό Πνεῦμα τοῦ Θεοῦ. Καί θ' ἀποδώσει στόν καθένα, ὅπως βεβαιώνει ἡ ἀλήθεια τῆς θεϊκῆς ὑπόσχεσης, στούς ἄπειρους καί ἀτελεύτητους αἰῶνες δίκαιη ἀμοιβή, ἀντάξια τῆς ζωῆς πού ἔχουμε ζήσει.

## *ΙΕ'*

### *Τίνος σύμβολόν ἐστι ἡ κλεῖσις τῶν θυρῶν τῆς ἁγίας Ἐκκλησίας, ἡ μετὰ τὸ ἅγιον Εὐαγγέλιον γιγνομένη*

1 *Ἡ δὲ μετὰ τὴν ἱερὰν ἀνάγνωσιν τοῦ ἁγίου Εὐαγγελίου καὶ τὴν ἐκβολὴν τῶν κατηχουμένων γινομένη κλεῖσις τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τήν τε τῶν ὑλικῶν δηλοῖ πάροδον καὶ τὴν γενησομένην μετὰ τὸν φοβερὸν ἐκεῖνον ἀφορισμὸν καὶ τὴν φοβερωτέραν ψῆφον, εἰς τὸν νοητὸν κόσμον, ἤτοι τὸν νυμφῶνα τοῦ Χριστοῦ, τῶν ἀξίων εἴσοδον, καὶ τὴν ἐν ταῖς αἰσθήσεσι τῆς κατὰ τὴν ἀπάτην ἐνεργείας τελείαν ἀποβολήν.*



# ΙΕ΄

## Τίνος σύμβολο εἶναι τό κλείσιμο τῶν θυρῶν τῆς ἁγίας Ἐκκλησίας, πού γίνεται μετά τό ἅγιο Εὐαγγέλιο

1 Τό κλείσιμο τώρα τῶν θυρῶν τῆς ἁγίας Ἐκκλησίας τοῦ Θεοῦ, πού γίνεται μετά τήν ἀνάγνωση τοῦ ἁγίου Εὐαγγελίου καί τήν ἀπομάκρυνση τῶν κατηχουμένων, φανερώνει τήν παροδικότητα τῶν ὑλικῶν καί τήν εἴσοδο τῶν ἀξίων στό νοητό κόσμο, δηλαδή τό νυφικό θάλαμο τοῦ Χριστοῦ, πού θά γίνει ἔπειτ' ἀπό τό φοβερό ἐκεῖνο χωρισμό καί τή φοβερότερη ἀπόφαση. Φανερώνει ἀκόμα τή ριζική ἀπόρριψη τῆς ἀπάτης πού προκαλοῦν οἱ αἰσθήσεις.

## *ΙΣΤ'*

### *Τί σημαίνει ἡ τῶν ἁγίων Μυστηρίων εἴσοδος*

1 *Ἡ δὲ τῶν ἁγίων καὶ σεπτῶν Μυστηρίων εἴσοδος ἀρχὴ καὶ προοίμιόν ἐστιν, ὡς ὁ μέγας ἐκεῖνος ἔφασκε γέρων, τῆς γενησομένης ἐν οὐρανοῖς καινῆς διδασκαλίας περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ τῆς εἰς ἡμᾶς, καὶ ἀποκάλυψις τοῦ ἐν ἀδύτοις τῆς θείας κρυφιότητος ὄντος μυστηρίου τῆς ἡμῶν σωτηρίας. «Οὐ γὰρ μὴ πίω», φησὶ πρὸ τοὺς ἑαυτοῦ μαθητὰς ὁ Θεὸς καὶ Λόγος, «ἀπ' ἄρτι ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός ἐμοῦ».*

# ΙΣΤ'

## Τί σημαίνει ἡ εἴσοδος τῶν ἁγίων Μυστηρίων

1 Ἡ εἴσοδος πάλι τῶν ἁγίων καί σεβαστῶν Μυστηρίων εἶναι ἡ ἀρχή κι ὁ πρόλογος, ὅπως ἔλεγε ὁ μεγάλος ἐκεῖνος γέροντας, τῆς καινούργιας διδαχῆς, πού θά γίνει στούς οὐρανούς, σχετικά μέ τήν οἰκονομία τοῦ Θεοῦ γιά μᾶς καί ἡ ἀποκάλυψη τοῦ μυστηρίου τῆς σωτηρίας μας, πού εἶναι κρυμμένο στ' ἄδυτα τῆς θεϊκῆς μυστικότητας· «δέ θά δοκιμάσω πιοτό», λέγει ὁ θεῖος Λόγος στούς μαθητές του, «στό ἑξῆς ἀπό τόν καρπό τοῦ ἀμπελιοῦ ὡς τή μέρα ἐκείνη, ὁπότε θά τό πίνω καινούργιο μαζί σας μέσα στή Βασιλεία τοῦ Πατέρα μου»[29].

---

29. Ματθ. 26,29.

## *ΙΖ΄*

### *Τίνος ἐστὶ σύμβολον ὁ θεῖος ἀσπασμὸς*

1 *Ὁ δὲ πᾶσι προσφωνούμενος πνευματικὸς ἀσπασμός, τὴν ἐσομένην πάντων πρὸς ἀλλήλους ἐν τῷ καιρῷ τῆς τῶν μελλόντων ἀρρήτων ἀγαθῶν ἀποκαλύψεως, κατὰ πίστιν τε καὶ ἀγάπην, ὁμόνοιάν τε καὶ ὁμογνωμοσύνην καὶ ταυτότητα λογικήν, δι' ἣν τὴν πρὸς τὸν Λόγον καὶ Θεὸν οἰκείωσιν οἱ ἄξιοι δέχονται, προτυποῖ καὶ προδιαγράφει. Λόγου γὰρ σύμβολον τὸ στόμα, καθ' ὃν μάλιστα πᾶσιν ἅπαντες οἱ λόγου μετειληφότες, ὡς λογικοί, καὶ τῷ πρώτῳ καὶ μόνῳ Λόγῳ καὶ παντὸς αἰτίῳ λόγου συμφύονται.*

## ΙΖ΄

### Τίνος σύμβολο εἶναι ὁ θεῖος ἀσπασμός

1 Κι ὁ πνευματικός ἀσπασμός, πού ἀπευθύνεται σ’ ὅλους, εἶναι πρότυπο καί προδιαγραφή τῆς ὁμόνοιας, τῆς ὁμοφροσύνης ὅλων μεταξύ τους καί τῆς λογικῆς ταυτότητας, πού θά πραγματοποιηθεῖ τόν καιρό τῆς ἀποκάλυψης τῶν μελλοντικῶν ἀνείπωτων ἀγαθῶν, πού ἀποτελεῖ προσδοκία πίστης κι ἀγάπης. Χάρη στήν ἀποκάλυψη αὐτή οἰκειώνονται οἱ ἄξιοι τό Λόγο καί Θεό. Γιατί τό στόμα εἶναι τοῦ λόγου σύμβολο καί γιά τοῦτο ἀκριβῶς ὅλοι ὅσοι ἔχουν κοινωνήσει τό λόγο, σάν λογικοί, μετέχουν σ’ ὅλα καθώς καί στόν πρῶτο καί μοναδικό Λόγο τόν αἴτιο κάθε λόγου.

## *ΙΗ΄*

### ***Τί σημαίνει τὸ θεῖον τῆς πίστεως σύμβολον***

1 *Ἡ δὲ τοῦ θείου συμβόλου τῆς πίστεως γινομένη παρὰ πάντων ὁμολογία, τὴν ἐφ᾽ οἷς ἐσώθημεν παραδόξοις λόγοις τε καὶ τρόποις τῆς πανσόφου περὶ ἡμᾶς τοῦ Θεοῦ προνοίας γενησομένην μυστικὴν εὐχαριστίαν, κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, προσημαίνει· δι᾽ ἧς εὐγνώμονας ἐπὶ τῇ θείᾳ εὐεργεσίᾳ ἑαυτοὺς συνιστῶσιν οἱ ἄξιοι· πλὴν ταύτης τῶν περὶ αὐτοὺς ἀπείρων θείων ἀγαθῶν ἀντεισαγαγεῖν ἄλλο τι καθ᾽ ὁτιοῦν οὐκ ἔχοντες.*



# ΙΗ΄

## Τί σημαίνει τό θεῖο σύμβολο τῆς πίστεως

1 Ἡ ὁμολογία πάλι τοῦ θείου συμβόλου τῆς πίστεως, πού γίνεται ἀπό ὅλους, προδηλώνει τή μυστική εὐχαριστία, πού θά κάνομε στήν ἄλλη ζωή, γιά τούς θαυμαστούς λόγους καί τρόπους καί πάνσοφης Πρόνοιας τοῦ Θεοῦ γιά μᾶς. Μέ τήν εὐχαριστία αὐτή οἱ ἄξιοι παρουσιάζουν τόν ἑαυτό τους νά εὐγνωμονεῖ γιά τή θεία εὐεργεσία. Κι ἔξω ἀπ’ αὐτή δέν ἔχουν τίποτ’ ἄλλο ν’ ἀντιπροσφέρουν γιά κάθε ἕνα ἀπό τά ἄπειρα θεῖα ἀγαθά πού ἔχουν δεχθεῖ.

## ΙΘ΄

### *Τί σημαίνει ἡ τοῦ Τρισαγίου δοξολογία*

1 *Ἡ δὲ γινομένη τρισσὴ τοῦ ἁγιασμοῦ τῆς θείας ὑμνολογίας ἐκβόησις παρὰ παντὸς τοῦ πιστοῦ λαοῦ, τὴν πρὸς τὰς ἀσωμάτους καὶ νοερὰς δυνάμεις κατὰ τὸ μέλλον φανησομένην ἕνωσίν τε καὶ ἰσοτιμίαν παραδηλοῖ, καθ' ἣν συμφώνως ταῖς ἄνω δυνάμεσι, διὰ ταυτότητα τῆς ἀτρέπτου περὶ Θεὸν ἀεικινησίας, τρισὶν ἁγιασμοῖς ὑμνεῖν τε καὶ ἁγιάζειν τὴν τρισυπόστατον μίαν θεότητα διδαχθήσεται τῶν ἀνθρώπων ἡ φύσις.*



# ΙΘ΄

## Τί σημαίνει ἡ δοξολογία τοῦ Θεοῦ μέ τόν Τρισάγιο Ὕμνο

1 Ἡ τριπλή ἀναφώνηση τοῦ «Ἅγιος», πού περιέχει ἡ ἱερή ὁμολογία, ἀπό μέρος ὅλου τοῦ πιστοῦ λαοῦ, δείχνει τήν ἕνωση καί τήν ἰσοτιμία μέ τίς ἀσώματες καί νοερές δυνάμεις, πού θά φανεῖ στό μέλλον. Μέ αὐτήν σέ συμφωνία μέ τίς ἄνω δυνάμεις ἐξ αἰτίας τῆς ταυτότητας τῆς σταθερῆς γύρω ἀπό τό Θεό ἀεικινησίας, θά μάθει ἡ ἀνθρώπινη φύση νά ὑμνεῖ καί ν' ἁγιάζει μέ τρεῖς ἁγιαστικές ἀναφωνήσεις τήν τρισυπόστατη καί ὅμως μία θεότητα.



## *Κ΄*

### *Τίνος ἐστὶ σύμβολον ἡ ἁγία προσευχὴ τοῦ «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς...»*

1 *Ἡ δὲ παναγία τε καὶ σεπτὴ τοῦ μεγάλου καὶ μακαρίου Θεοῦ καὶ Πατρὸς ἐπίκλησις, τῆς δοθησομένης ἐνυποστάτου τε καὶ ἐνυπάρκτου κατὰ δωρεὰν καὶ χάριν τοῦ ἁγίου Πνεύματος, υἱοθεσίας ἐστὶ σύμβολον, καθ' ἣν πάσης ὑπερνικωμένης τε καὶ καλυπτομένης ἀνθρωπίνης ἰδιότητος, τῇ ἐπιφοιτήσει τῆς χάριτος, υἱοὶ Θεοῦ χρηματίσουσί τε καὶ ἔσονται πάντες οἱ ἅγιοι, ὅσοι δι' ἀρετῶν ἀπ' ἐντεῦθεν ἤδη τῷ θείῳ τῆς ἀγαθότητος κάλλει ἑαυτοὺς λαμπρῶς τε καὶ ἐπιδόξως ἐφαίδρυναν.*

# Κ΄

## Τίνος σύμβολο εἶναι ἡ ἁγία προσευχή τοῦ «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς...»

1 Ἡ Πανάγια καί σεβαστή ἐπίκληση τοῦ μεγάλου καί μακάριου Θεοῦ καί Πατέρα ἀποτελεῖ σύμβολο τῆς ἐνυπόστατης καί ζωντανῆς υἱοθεσίας πού θά μᾶς παραχωρηθεῖ, δωρεά καί χάρισμα τοῦ Ἁγίου Πνεύματος. Σύμφωνα μ' αὐτή θά ὑπερνικηθεῖ καί θά κρυφτεῖ κάθε ἀνθρώπινη ἰδιότητα μέ τόν ἐρχομό τῆς χάρης καί ὅλοι οἱ ἅγιοι θά μεταβληθοῦν καί θά γίνουν υἱοί τοῦ Θεοῦ, ὅσοι ἀπό δῶ κιόλας στόλισαν μέ τίς ἀρετές τόν ἑαυτό τους λαμπρά καί τιμημένα μέ τή θεϊκή ὀμορφιά τῆς καλοσύνης.

## *ΚΑ'*

## ***Τί σημαίνει τὸ τέλος τῆς μυστικῆς ἱερουργίας τῶν ἐκφωνουμένων ὕμνων, τουτέστιν «Εἷς Ἅγιος, εἷς Κύριος», καὶ τὰ ἑξῆς***

1 *Ἡ δὲ κατὰ τὸ τέλος τῆς μυστικῆς ἱερουργίας παρὰ παντὸς τοῦ λαοῦ γινομένη τοῦ, «Εἷς Ἅγιος», καὶ τῶν ἑξῆς, ὁμολογία, τὴν ὑπὲρ λόγον καὶ νοῦν πρὸς τὸ ἓν τῆς θείας ἁπλότητος κρύφιον γενησομένην τῶν μυστικῶς τε καὶ σοφῶς κατὰ Θεὸν τετελεσμένων, συναγωγήν τε καὶ ἕνωσιν δηλοῖ ἐν τῷ ἀφθάρτῳ τῶν νοητῶν αἰῶνι· καθ' ὃν τῆς ἀφανοῦς καὶ ὑπεραρρήτου δόξης τὸ φῶς ἐνοπτεύοντες, τῆς μακαρίας, μετὰ τῶν ἄνω δυνάμεων, καὶ αὐτοὶ δεκτικοὶ γίνονται καθαρότητος· μεθ' ἥν, ὡς τέλος πάντων, ἡ τοῦ μυστηρίου μετάδοσις γίνεται, μεταποιοῦσα πρὸς ἑαυτήν, καὶ ὁμοίους τῷ κατ' αἰτίαν ἀγαθῷ κατὰ χάριν καὶ μέθεξιν ἀποφαίνουσα τοὺς ἀξίως μεταλαμβάνοντας, ἐν μηδενὶ αὐτοῦ λειπομένους, κατὰ τὸ ἐφικτὸν ἀνθρώποις καὶ ἐνδεχόμενον. Ὥστε καὶ αὐτοὺς δύνασθαι εἶναί τε καὶ καλεῖσθαι θέσει κατὰ τὴν χάριν θεούς, διὰ τὸν αὐτοὺς ὅλως πληρώσαντα ὅλον Θεόν, καὶ μηδὲν αὐτῶν τῆς αὐτοῦ παρουσίας κενὸν καταλείψαντα.*

## ΚΑ΄

### Τί σημαίνει τό τέλος τῶν ὕμνων τῆς μυστικῆς λατρείας «Εἷς ἅγιος, εἷς Κύριος» καί τά λοιπά

1 Καί ἡ ὁμολογία πού γίνεται ἀπό ὅλο τό λαό στό τέλος τῆς μυστικῆς λατρείας, μέ τό, «Εἷς Ἅγιος» καί τά λοιπά, φανερώνει τήν κρυφή συγκέντρωση κι ἕνωση πάνω ἀπό κάθε λογισμό καί κάθε νόημα, ὅσων μέ τρόπο μυστικό καί σοφό ἔχουν τελεσθεῖ μέ τή δύναμη τοῦ Θεοῦ, πρός τό ἕνα τῆς θείας ἁπλότητας, μέσα στήν ἄφθαρτη αἰωνιότητα τῶν νοητῶν. Ἐκεῖ, ἀντικρίζοντας τό φῶς τῆς ἄφαντης καί παναπείπωτης δόξας, δέχονται κι αὐτοί μαζί μέ τίς οὐράνιες δυνάμεις τή μακάρια καθαρότητα. Κι ἔπειτα, τελικός σκοπός ὅλων γίνεται ἡ μετάδοση τοῦ μυστηρίου, πού μετασχηματίζει κατά τόν ἑαυτό του καί δείχνει ὅσους κοινωνοῦν ἄξια ὅμοιους κατά χάρη καί μετοχή μ' ἐκεῖνον πού εἶναι ἀπό μόνος του ἀγαθός, χωρίς νά ὑστεροῦν σέ τίποτ' ἀπ' αὐτόν, ὅσο μπορεῖ νά φτάσουν καί νά δεχτοῦν οἱ ἄνθρωποι. Ὥστε νά μποροῦν κι αὐτοί νά εἶναι καί νά καλοῦνται ὄχι ἀπό τή φύση τους ἀλλά κατά χάρη θεοί, ἐξ αἰτίας τοῦ ὁλάκερου Θεοῦ, πού ὁλάκερους τούς γέμισε καί δέν ἄφησε κανένα σημεῖο τους ἄδειο ἀπό τήν παρουσία του.

## ΚΒ'

### *Πῶς καὶ τίνι τρόπῳ καὶ ἡ τῆς ψυχῆς καθ' ἑαυτὴν νοουμένης ἐπὶ τοῦ καθ' ἕκαστον ἰδικῶς ἐκθεωτικὴ καὶ τελειοποιὸς διὰ τῶν εἰρημένων θεωρεῖται κατάστασις*

1 *Δεῦρο δὴ οὖν διὰ τῶν αὐτῶν ὁδῷ καὶ τάξει βαίνοντες, πάλιν τὰ αὐτὰ καὶ περὶ ψυχῆς γνωστικῆς θεωρήσωμεν· καὶ συναναβῆναι μικρὸν κατὰ δύναμιν τῷ λόγῳ μετ' εὐλαβείας πρὸς ὑψηλοτέραν θεωρίαν, σκοπῆσαί τε καὶ κατανοῆσαι πῶς οἱ θεῖοι τῆς ἁγίας Ἐκκλησίας θεσμοὶ τὴν ψυχὴν ἐπὶ τὴν ἑαυτῆς τελειότητα δι' ἀληθοῦς καὶ ἐνεργοῦς γνώσεως ἄγουσι· ποθοῦντα τὸν νοῦν καὶ βουλόμενον, Θεοῦ χειραγωγοῦντος, εἰ δοκεῖ, μὴ κωλύσωμεν.*

# ΚΒ΄

## Πῶς καί μέ ποιό τρόπο καί ἡ ψυχή καθ' ἑαυτή θεωρεῖται μέ ὅσα εἰπώθηκαν ὅτι θεοποιεῖ καί τελειοποιεῖ τά θεῖα χωριστά

1 Ἐμπρός λοιπόν, περνώντας ἀπό τά ἴδια πράγματα προχωρητικά καί μέ τάξη, ἄς στοχαστοῦμε τά ἴδια καί σχετικά μέ τήν ψυχή πού ἐπιδιώκει τή γνώση. Κι ἀκολουθώντας τό λόγο ἄς ἀνεβοῦμε λίγο μαζί του μ' εὐλάβεια σέ ὅσο μποροῦμε ψηλότερη σκοπιά, γιά νά ἐξετάσομε καί ν' ἀντιληφθοῦμε πῶς οἱ θεῖοι κανόνες τῆς ἁγίας Ἐκκλησίας ὁδηγοῦν τήν ψυχή στήν τελειότητά της μέ τή γνήσια κι εὐεργετική γνώση. Ἄς μήν ἐμποδίζομε, ἄν νομίζετε, τό νοῦ μας πού ποθεῖ καί θέλει.

## *ΚΓ'*

### *Ὅτι σύμβολον τῶν κατὰ ψυχὴν ἀρετῶν ἐστιν ἡ πρώτη εἴσοδος τῆς ἁγίας συνάξεως*

1 *Ἄθρει τοιγαροῦν, ὅστις τῆς μακαρίας τοῦ Χριστοῦ σοφίας γνήσιος καθέστηκας ἐραστής, νοὸς ὀφθαλμοῖς, κατὰ τὴν πρώτην εἴσοδον τῆς ἁγίας συνάξεως ἀπὸ τῆς ἔξωθεν τῶν ὑλικῶν πλάνης καὶ ταραχῆς, κατὰ τὸ γεγραμμένον, «γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε»· τὴν ἐν εἴδει καὶ σχήματι, φημὶ κατὰ τὴν πρόσοψιν τῶν αἰσθητῶν περιπλανήσεως· οὐ γὰρ θεωρίαν εἰπεῖν ἀληθές, κατὰ τοὺς ἀσόφους τῶν παρ' Ἕλλησι λεγομένων σοφῶν (μηδὲ γὰρ σοφοὶ κληθεῖέν ποτε πρὸς ἡμῶν, οἱ τὸν Θεὸν γνῶναι διὰ τῶν αὐτοῦ ποιημάτων μὴ δυνηθέντες ἢ μὴ βουληθέντες), τῶν αἰσθητῶν λέγω τὴν ἐπιφάνειαν, καθ' ἣν ὁ διηνεκὴς τῶν αἰσθητῶν πρὸς ἄλληλα συνέστηκε πόλεμος, πᾶσι τὴν δι' ἀλλήλων φθορὰν ἐνεργῶν, πάντων φθειρόντων ἄλληλα καὶ ἐν ἀλλήλοις φθειρομένων· καὶ τοῦτο μόνον πάγιον ἔχοντα, τὸ ἀστατεῖν καὶ φθείρεσθαι καὶ μηδέποτε συμβαίνειν ἀλλήλοις κατὰ διαμονὴν ἄμαχον δύνασθαι καὶ ἀστασίαστον· ἐρχομένην τε τὴν ψυχήν, καὶ προτροπάδην φεύγουσαν, καὶ ὥσπερ εἰς Ἐκκλη-*

## ΚΓ'

## Ἡ πρώτη εἴσοδος τῆς ἁγίας σύναξης εἶναι σύμβολο τῶν ψυχικῶν ἀρετῶν

Σύ λοιπόν πού ἔγινες γνήσιος τῆς μακαριστῆς σοφίας τοῦ Χριστοῦ ἐραστής, πρόσεξε, μέ τά μάτια τοῦ νοῦ, κατά τήν πρώτη εἴσοδο τῆς ἁγίας σύναξης καί τήν ἀπομάκρυνση ἀπό τήν ἐξωτερική πλάνη καί τήν ταραχή τῆς ὕλης σύμφωνα μ' αὐτό πού ἔχει γραφεῖ· «γυναῖκες, πού ἔρχεστε ἀπό τό κοίταγμα, προσέξτε»[30]. Ἐννοῶ ἀπό τήν παραπλάνηση στά σχήματα καί τίς μορφές, πού προκαλεῖ ἡ προσατένιση τῶν αἰσθητῶν. Γιατί δέν εἶναι ἀληθινό νά τήν ὀνομάσομε θεωρία, ὅπως τή λένε οἱ ἄσοφοι ἀπό ὅσους οἱ Ἕλληνες ἀποκαλοῦν σοφούς (δέ θά ποῦμε βέβαια ἐμεῖς σοφούς αὐτούς πού δέν μπόρεσαν εἴτε δέ θέλησαν νά κατανοήσουν τό Θεό ἀπό τά δημιουργήματά του). Δέ θά ποῦμε λοιπόν θεωρία τό φανέρωμα τῶν αἰσθητῶν, πού ἐπάνω τους στήθηκε ὁ ἀτελείωτος πόλεμος τῶν αἰσθητῶν μεταξύ τους καί προκαλεῖ σ' ὅλα τήν καταστροφή τοῦ ἑνός ἀπό τόν ἄλλο, καθώς ὅλα καταστρέφουν τό ἕνα τό ἄλλο καί καταστρέφονται ἀναμεταξύ τους. Ἕνα μόνο καθαρό γνώρισμα ἔχουν, ὅτι εἶναι ἄστατα καί μακαρίζονται καί ποτέ δέν μποροῦν νά συμφωνήσουν μεταξύ τους σέ μιά διατήρηση ἀπόλεμη καί ἀστασίαστη. Ἔρχεται σ' αὐτή τήν προσατένιση ἡ ψυχή καί πάλι φεύγει ἀμέσως ἀπό αὐτήν κι ὅπως σ' Ἐκκλησία καί σέ ἀπαραβίαστο ἀνά-

---

30. Ἡσ. 27,11.

*σίαν καὶ ἄσυλον εἰρήνης ἀνάκτορον, τὴν ἐν πνεύματι φυσικὴν θεωρίαν, τὴν ἄμαχον καὶ πάσης ἐλευθέραν ταραχῆς, μετὰ λόγου τε καὶ ὑπὸ τοῦ Λόγου τοῦ μεγάλου καὶ ἀληθοῦς ἡμῶν Θεοῦ καὶ ἀρχιερέως εἰσερχομένην· καὶ ὡς διὰ συμβόλων τῶν γινομένων θείων ἀναγνωσμάτων, τοὺς τῶν ὄντων διδασκομένην λόγους, καὶ τὸ θαυμαστὸν καὶ μέγα τῆς ἐν νόμῳ καὶ προφήταις δηλουμένης θείας προνοίας μυστήριον· καθ' ἕκαστόν τε δεξαμένην, ὑπὲρ τῆς ἐν τούτοις καλῆς μαθητείας θεόθεν διὰ τῶν ἁγίων δυνάμεων, νοερῶς κατὰ διάνοιαν αὐτῇ διαλεγομένων, τὰς εἰρηνοδώρους σημειώσεις, μετὰ τῆς ρωστικῆς καὶ συντηρητικῆς θέλξεως, τῆς θείας καὶ διαπύρου κατὰ Θεὸν ἐφέσεως, διὰ τῆς μυστικῶς ὑπᾳδομένης αὐτῇ νοητῶς τῶν θείων ᾀσμάτων ἡδονῆς.*

2 *Πάλιν ἐκ τούτων μεταβαίνουσαν, καὶ συναγομένην ἐπὶ τὴν μίαν καὶ μόνην καὶ ἑνιαίως τούτους συλλαμβάνουσαν τοὺς λόγους κορυφήν· λέγω δέ, τὸ ἅγιον Εὐαγγέλιον, ἐν ᾧ πάντες τῆς τε προνοίας καὶ τῶν ὄντων οἱ λόγοι κατὰ μίαν περιοχῆς δύναμιν ἑνοειδῶς προϋφεστήκασι. Μεθ' ὃ κατ' αἴσθησιν θείαν αὐτὸν ὁρᾶν ἔνεστι πάλιν θεμιτὸν τοῖς φιλοθέοις, ἀταρβήτοις νοὸς ὄμμασι παραγινόμενον οὐρανόθεν αὐτῇ τὸν Λόγον καὶ Θεόν, ὡς ἡ τοῦ ἀρχιερέως ἀπὸ τοῦ θρόνου τοῦ ἱερατικοῦ σημαίνει κατάβασις· καὶ τέλειον αὐτῆς διακρίνοντα κατηχουμένων δίκην τοὺς ἔτι τὴν αἴσθησιν, καὶ τὸ κατ' αὐτὴν μεριστὸν φαντασιουμένους λογισμούς.*

3 *Κἀντεῦθεν πάλιν ἔξω γενομένην τῶν αἰσθητῶν, ὡς ἡ τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας νοεῖν ὑποτίθεται κλεῖσις· ἐπὶ τὴν δηλουμένην διὰ τῆς εἰσόδου τῶν ἀρρήτων μυστηρίων, ἄϋλον καὶ ἀπλῆν καὶ ἀναλλοίωτον καὶ θεοειδῆ, καὶ παντὸς*

κτορο τῆς ειρήνης, καταφεύγει στήν πνευματική φυσική θεωρία τήν είρηνική καί ἐλεύθερη ἀπό κάθε ταραχή, πού τήν ἀσκεῖ μέ τό λόγο κι ὁδηγεῖται σ' αὐτήν ἀπό τό Λόγο, τό μεγάλο κι ἀληθινό Θεό μας κι ἀρχιερέα. Ἐκεῖ διδάσκεται τούς λόγους τῶν ὄντων. Σάν σύμβολά της γι' αὐτούς ἔχει τά θεῖα ἀναγνώσματα πού διαβάζονται καί τό θαυμαστό καί μέγα μυστήριο τῆς θεϊκῆς Πρόνοιας, πού φανερώνεται στό νόμο καί τούς προφῆτες. Καί δέχεται πάλι γιά καθέναν ἀπ' αὐτούς ἀπό Θεοῦ, γιά χάρη τῆς καλῆς σ' αὐτούς μαθητείας της, μέ τή βοήθεια τῶν θείων δυνάμεων, πού στήνουν μαζί της νοερό διάλογο, τίς ὑποδηλώσεις, πού χαρίζουν εἰρήνη, μαζί μέ τό θέλγητρο τό συντηρητικό καί τονωτικό, τό θεῖο καί φλογερό πόθο τοῦ Θεοῦ, ἐνῶ ἠχεῖ σάν ὑπόκρουση σ' αὐτῆ μυστικά ἡ πνευματική γλυκύτητα τῶν θείων ὕμνων.

2 Ἔπειτ' ἀπό τά διάφορα ἀναγνώσματα ἡ ψυχῆ μεταβαίνει καί συγκεντρώνεται στή μία καί μόνη κορυφή, πού συλλαμβάνει σ' ἑνότητα ὅλους αὐτούς τούς λόγους. Ἐννοῶ τό ἅγιο Εὐαγγέλιο, ὅπου ὅλοι οἱ λόγοι, καί τῆς θείας Πρόνοιας καί τῶν ὄντων, θά ὑπάρχουν ἀπό πρῶτα σ' ἑνότητα μέ μία μόνη δύναμη περιεκτικότητας. Ἔπειτα γίνεται στούς φιλόθεους ἡ παραχώρηση νά δοῦνε τόν ἴδιο τό Λόγο καί Θεό, μέ μία θεϊκή βέβαια δραση, μέ τ' ἀδείλιαστα μάτια τῆς ψυχῆς, νά φτάνει σ' αὐτήν ἀπό τόν οὐρανό, ὅπως θέλει νά δηλώσει ἡ κάθοδος τοῦ ἀρχιερέα ἀπό τόν ἱερατικό θρόνο καί νά ξεχωρίζει ἐντελῶς ἀπ' αὐτήν, σά νά 'ταν κατηχούμενοι, τούς λογισμούς πού ἐντρυφοῦν ἀκόμα στήν αἴσθηση καί τήν διάσπαση πού σ' αὐτή κυριαρχεῖ.

3 Κι ἀπό δῶ πάλι, ἀφοῦ βγεῖ ἔξω ἀπό τά αἰσθητά, ὅπως ἀφήνει νά σκεφτοῦμε τό κλείσιμο τῶν θυρῶν τῆς ἁγίας Ἐκκλησίας τοῦ Θεοῦ, μποροῦν νά δοῦνε τό Λόγο νά τήν ὁδηγεῖ στήν ἄυλη κι ἄπτη κι ἀναλλοίωτη καί θεϊκή κι ἐλεύθερη ἀπό

*ἐλευθέραν εἴδους καὶ σχήματος ἐπιστήμην τῶν νοητῶν ἄγοντα, καθ' ἣν συναγαγοῦσαν πρὸς μὲν ἑαυτὴν τὰς οἰκείας δυνάμεις, πρὸς δὲ τὸν Λόγον ἑαυτὴν κάταντα, διὰ τοῦ νοεροῦ ἀσπασμοῦ ἑνώσασαν τοὺς περὶ ἑαυτὴν ἀρρήτους τῆς σωτηρίας καὶ λόγους καὶ τρόπους, διὰ τοῦ συμβόλου τῆς πίστεως εὐχαρίστως ὁμολογεῖν ἐκδιδάσκοντα.*

4 *Ἐπὶ τούτοις δὲ πάλιν, ὡς ἤδη λοιπὸν κατὰ δύναμιν ἁπλῆν καὶ ἀδιαίρετον διὰ μαθητείας, γνώσει, περιλαβοῦσαν τούς τε τῶν αἰσθητῶν καὶ τῶν νοητῶν λόγους, ἐπὶ τὴν γνῶσιν τῆς ἐκφανοῦς αὐτὴν ἄγοντα θεολογίας, μετὰ τὴν πάντων διάβασιν καὶ τὴν ἴσην τοῖς ἀγγέλοις κατὰ τὸ ἐφικτὸν αὐτῇ παρεχόμενον νόησιν· καὶ τοσοῦτον διδάσκοντα σωφρόνως αὐτήν, ὅσον εἰδέναι Θεὸν ἕνα, μίαν οὐσίαν, ὑποστάσεις τρεῖς· μονάδα οὐσίας τρισυπόστατον, καὶ τριάδα ὑποστάσεων ὁμοούσιον· μονάδα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι· οὐκ ἄλλην καὶ ἄλλην, οὐδ' ἄλλην παρ' ἄλλην, οὐδὲ δι' ἄλλης ἄλλην, οὐδ' ἄλλην ἐν ἄλλῃ, οὐδὲ ἐξ ἄλλης ἄλλην, ἀλλὰ τὴν αὐτὴν ἐν ἑαυτῇ, καὶ καθ' ἑαυτὴν ἐφ' ἑαυτήν, ἑαυτῇ ταὐτήν· καὶ μονάδα καὶ τριάδα ἀσύνθετόν τε καὶ ἀσυγχύτως τὴν ἕνωσιν ἔχουσαν, καὶ τὴν διάκρισιν ἀδιαίρετόν τε καὶ ἀμέριστον· μονάδα μὲν κατὰ τὸν τῆς οὐσίας, ἤτοι τὸν τοῦ εἶναι λόγον, ἀλλ' οὐ κατὰ σύνθεσιν ἢ συναίρεσιν, ἢ τὴν οἱανοῦν σύγχυσιν· τριάδα δέ, κατὰ τὸν τοῦ πῶς ὑπάρχειν καὶ ὑφεστάναι λόγον, ἀλλ' οὐ κατὰ διαίρεσιν ἢ ἀλλοτρίωσιν, ἢ τὸν οἱονοῦν μερισμόν. Οὐ γὰρ μεμέρισται ταῖς ὑποστάσεσιν ἡ μονάς, οὐδὲ σχετικῶς ἔνεστι καὶ ἐπιθεωρεῖται αὐταῖς· οὐδὲ συντέθεινται εἰς μονάδα αἱ ὑποστάσεις, ἢ συναιρέσει αὐτὴν ἐκπληροῦσιν, ἀλλὰ τὴν αὐτὴν ἑαυτῇ ταὐτόν, ἄλλως μέντοι καὶ ἄλλως· μονὰς γάρ ἐστι ἀσύγχυτος τῇ οὐσίᾳ, καὶ τῷ κατ' αὐτὴν ἁπλῷ λόγῳ ἡ*

κάθε μορφή καί σχῆμα ἐπιστήμη τῶν νοητῶν. Κατ' αὐτή μαζεύει τίς δυνάμεις στόν ἑαυτό της καί φέρνει τόν ἑαυτό της μπροστά στό Λόγο πού τή διδάσκει, ἀφοῦ μέ τόν πνευματικό ἀσπασμό ἑνώνει τούς ἄρρητους λόγους καί τρόπους τῆς σωτηρίας της, νά κάνει μέ χαρά τήν ὁμολογία της μέ τό σύμβολο τῆς πίστεως.

4 Κι ἔπειτ' ἀπό αὐτά πάλι, καθώς ἔχει πιά μέ δύναμη ἁπλή κι ἀδιαίρετη, ἔπειτ' ἀπό μάθηση, περιλάβει μέ γνώση τούς λόγους καί τῶν αἰσθητῶν καί τῶν νοητῶν, τήν ὁδηγεῖ στή γνώση τῆς ἀποκαλυπτικῆς θεολογίας, ἀφοῦ τά ἔχει ὅλα περάσει, καί τῆς δίνει τή νόηση, πού πλησιάζει τήν ἀγγελική στό μέτρο πού μπορεῖ ἡ ἴδια νά φτάσει. Τή διδάσκει μέ φρόνηση τόσο, ὅσο νά γνωρίσει ἕνα Θεό, μιάν οὐσία, τρεῖς ὑποστάσεις· μονάδα οὐσίας, τρισυπόστατη, τριάδα ὑποστάσεων ὁμοούσια· μονάδα σέ τριάδα καί τριάδα σέ μονάδα. Ὄχι ἄλλη κι ἄλλη· οὔτε ἄλλη σέ ἀντίθεση μέ ἄλλη· οὔτε ἄλλη διά μέσου ἄλλης· οὔτε ἄλλη μέσα σέ ἄλλη· οὔτε ἄλλη μέσα ἀπό ἄλλη. Ἀλλά τήν ἴδια μέσα στούς ἑαυτούς της καί σύμφωνη μέ τόν ἑαυτό της, σέ σύμπτωση μέ τόν ἑαυτό της καί ἴδια μέ τόν ἑαυτό της. Καί μονάδα καί τριάδα, ἀσύνθετη ἀπό μέρη καί μέ τήν ἕνωση ἀσύγχυτη καί πού δέ γίνεται διάκρισή της μέ διαίρεση ἤ μερισμό. Μονάδα σύμφωνα μέ τό λόγο τῆς οὐσίας της, δηλαδή τοῦ εἶναι της, ὄχι ὅμως καί σύμφωνα μέ τήν σύνθεσή της ἤ τή συγχώνευσή της ἤ τήν ὁποιαδήποτε ἀνάμειξη. Ἀλλά καί τριάδα σύμφωνα μέ τό λόγο τοῦ τρόπου τῆς ὕπαρξης καί τῆς ὑπόστασής της καί ὄχι σύμφωνα μέ τή διαίρεση ἤ τή διαφοροποίηση ἤ τόν ὁποιοδήποτε μερισμό. Γιατί δέν ἔχει μερισθεῖ ἡ μονάδα στίς ὑποστάσεις, οὔτε ἀπό σχέση ὑπάρχει μέσα σ' αὐτές ἤ παρατηρεῖται σ' αὐτές κατά σχέση. Οὔτε ἔχουν συντεθεῖ οἱ ὑποστάσεις σέ Μονάδα οὔτε τήν ἀπαρτίζουν μέ συγχώνευσή τους. Ἡ ἴδια εἶναι τό ἴδιο μέ τόν ἑαυτό της, εἶναι ὅμως μέ ἄλλο τρόπο κάθε φορά.

ἁγία Τριὰς τῶν ὑποστάσεων· καὶ τριάς ἐστι ταῖς ὑποστάσεσι καὶ τῷ τρόπῳ τῆς ὑπάρξεως ἡ ἁγία Μονάς· τὴν αὐτὴν ὅλην τοῦτο κἀκεῖνο διαφόρως, κατ' ἄλλον καὶ ἄλλον, ὡς εἴρηται, λόγον νοουμένην· μίαν καὶ μόνην, ἀδιαίρετόν τε καὶ ἀσύγχυτον, καὶ ἁπλῆν καὶ ἀμείωτον καὶ ἀπαράλλακτον θεότητα· μονάδα κατὰ τὴν οὐσίαν ὅλην ὑπάρχουσαν, καὶ ὅλην τριάδα τὴν αὐτὴν ταῖς ὑποστάσεσι, καὶ μίαν ἑνὸς τρισσοφαοῦς ἀκτῖνα φωτὸς μονοειδοῦς ἐπιλάμπουσαν.

5 Ἐφ' ᾧ καὶ τὴν ψυχήν, ὁμοτίμως τοῖς ἁγίοις ἀγγέλοις τοὺς ἐκφανεῖς καὶ ἐφικτοὺς τῇ κτίσει περὶ θεότητος δεξαμένην λόγους καὶ συμφώνως αὐτοῖς ἀσιγήτως ἀνυμνεῖν μαθοῦσαν τριαδικῶς τὴν μίαν θεότητα, ἐπὶ τὴν κατὰ χάριν δι' ὁμοιότητος ἐμφεροῦς υἱοθεσίαν ἀχθῆναι, δι' ἧς μετ' εὐχὰς τὸν Θεὸν Πατέρα, μυστικόν τε χάριτι καὶ μόνον ἔχουσα, πρὸς τὸν ἓν τῆς αὐτοῦ κρυφιότητος κατ' ἔκστασιν πάντων συναχθήσεται· καὶ τοσοῦτον πείσεται μᾶλλον, ἢ γνώσεται τὰ θεῖα, ὅσον μὴ ἑαυτῆς εἶναι βούλεσθαι, μηδὲ ἐξ ἑαυτῆς ὑφ' ἑαυτῆς ἢ ἄλλου τινὸς γνωσθῆναι δύνασθαι, ἢ μόνου τοῦ ὅλην ἀγαθοπρεπῶς αὐτὴν ἀνειληφότος ὅλου Θεοῦ, καὶ ὅλον αὐτῇ θεοπρεπῶς ὅλῃ καὶ ἀπαθῶς ἑαυτὸν ἐνιέντος, καὶ ὅλην θεοποιήσαντος· ὡς εἶναι, καθώς φησιν ὁ πανάγιος Ἀρεοπαγίτης Διονύσιος, εἰκόνα καὶ φανέρωσιν τοῦ ἀφανοῦς φωτός, ἔσοπτρον ἀκραιφνές, διειδέστατον, ἀλώβητον, ἄχραντον, ἀκηλίδωτον, εἰσδεχόμενον ὅλην, εἰ θέμις εἰπεῖν, τὴν ὡραιότητα τοῦ ἀγαθοτύπου, θεοειδῶς καὶ ἀμειώτως ἐπιλάμπον ἐν ἑαυτῷ, καθάπερ οἷόν τε ἐστι, τὴν ἀγαθότητα τῆς ἐν ἀδύτοις σιγῆς.

Γιατί ἡ ἁγία Τριάδα τῶν ὑποστάσεων εἶναι μονάδα ἀσύγχυτη στήν οὐσία καί στόν ἁπλό λόγο της. Καί ἡ ἁγία Μονάδα εἶναι τριάδα κατά τίς ὑποστάσεις καί τόν τρόπο τῆς ὕπαρξης. Κατά διάφορο τρόπο εἶναι ἀκέρια ἡ ἴδια καί τοῦτο κι ἐκεῖνο, νοημένη, ὅπως ἔχει λεχθεῖ, ἀπό τέτοια κι ἀπό ἄλλη ἄποψη. Μία καί μόνη καί ἀδιαίρετη κι ἀσύγχυτη κι ἁπλή κι ἀκέρια κι ἀμετάβλητη θεότητα. Εἶναι ὅλη μονάδα κατά τήν οὐσία καί ἡ ἴδια ὅλη τριάδα κατά τίς ὑποστάσεις καί ἀκτινοβολεῖ μία περίλαμπρη ἀκτινοβολία μονολαμπῆς.

5 Γι' αὐτό καί ἡ ψυχή, μέ τήν ἴδια τιμή μέ τούς ἀγγέλους, ἀφοῦ δέχτηκε τούς ὁλόφεγγους καί στά δημιουργήματα προσιτούς λόγους τῆς θεότητας κι ἀφοῦ ἔμαθε σύμφωνα μ' αὐτούς νά ὑμνεῖ ἀσίγητα, τριαδικά, τή μία θεότητα, ὁδηγήθηκε στή χαριστική υἱοθεσία, μέ τή δύναμη τῆς ὁμοιότητας πού τή σφραγίζει. Ἐξαιτίας της ἔπειτ' ἀπό προσευχές, παίρνοντας τό Θεό Πατέρα κατά χάρη, μυστικό καί μόνο, θά συνταχθεῖ στό ἕνα τῆς μυστικότητάς του, ἀποχωρώντας ἀπό ὅλα τά πράγματα. Καί τόσο θά τά ζήσει μᾶλλον παρά πού θά γνωρίσει τά θεῖα, ὅσο πού δέν θά θέλει πιά ν' ἀνήκει στόν ἑαυτό της, μήτε πού θά μπορεῖ ἐξ ἰδίων της νά γίνει γνωστή ἀπό τόν ἑαυτό της ἤ ἀπό κάποιον ἄλλο· θά τή γνωρίσει ὁ Θεός μόνο ἀκέραιος, πού τήν ἔχει πάρει ἀκέραιη, ὅπως πρέπει στόν ἀγαθό καί πού, ὅπως πρέπει στό Θεό, ὁλόκληρο τόν ἑαυτό του χωρίς μεταβολή τόν ἔβαλε μέσα σ' αὐτήν ὁλόκληρη καί τή θεοποίησε ὁλόκληρη ὁλοκληρωτικά, σέ σημεῖο νά εἶναι, ὅπως λέει ὁ πανάγιος Διονύσιος ὁ Ἀρεοπαγίτης, εἰκόνα καί φανέρωση τοῦ ἄφαντου φωτός, καθρέφτης ἀληθινός, ὁλοκάθαρος, χωρίς σημάδι, ἁγνός, χωρίς λεκέ, πού δέχεται ὅλη – ἄν ἐπιτρέπεται νά πῶ – τήν ὡραιότητα τοῦ ἀγαθοῦ προτύπου, πού αὐγάζει μέσα του θεϊκά κι ἀμείωτα, ὅπως εἶναι σέ θέση, τήν καλοσύνη πού ζεῖ στήν σιγή τῶν ἀδύτων.

## ΚΔ΄

### *Τίνων ἐστὶν ἐνεργητική τε καὶ ἀποτελεσματικὴ μυστηρίων, διὰ τῶν τελουμένων κατὰ τὴν ἁγίαν σύναξιν θεσμῶν ἐν τοῖς πιστοῖς καὶ πιστῶς συναγομένοις, ἡ παραμένουσα τοῦ ἁγίου Πνεύματος χάρις*

1 Τοιγαροῦν ᾤετο δεῖν ὁ μακάριος γέρων καὶ παρακαλεῖν οὐκ ἐπαύετο πάντα Χριστιανόν, τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ σχολάζειν καὶ μὴ ἀπολιμπάνεσθαί ποτε τῆς ἐν αὐτῇ τελουμένης ἁγίας συνάξεως, διά τε τοὺς παραμένοντας αὐτῇ ἁγίους ἀγγέλους καὶ ἀπογραφομένους ἑκάστοτε τοὺς εἰσιόντας καὶ ἐμφανίζοντας τῷ Θεῷ, καὶ τὰς ὑπὲρ αὐτῶν δεήσεις ποιουμένους· καὶ διὰ τὴν ἀοράτως ἀεὶ μὲν παροῦσαν τοῦ ἁγίου Πνεύματος χάριν, ἰδιοτρόπως δὲ μάλιστα κατὰ τὸν καιρὸν τῆς ἁγίας συνάξεως, καὶ ἕκαστον τῶν εὑρισκομένων μεταποιοῦσάν τε καὶ μετασκευάζουσαν, καὶ ἀληθὲς μεταπλάττουσαν ἐπὶ τὸ θειότερον ἀναλόγως ἑαυτῷ, καὶ πρὸς τὸ δηλούμενον διὰ τῶν τελουμένων μυστηρίων ἄγουσαν· κἂν αὐτὸς μὴ αἰσθάνηται, εἴπερ τῶν ἔτι κατὰ Χριστὸν νηπίων ἐστί· καὶ εἰς τὸ βάθος τῶν γινομένων ὁρᾶν ἀδυνατεῖ καὶ τὴν δηλουμένην δι' ἑκάστου τῶν τελουμένων θείων συμβόλων τῆς σωτηρίας ἐν αὐτῷ χάριν ἐνεργοῦσαν, καθ' εἱρμὸν καὶ τάξιν ἀπὸ τῶν προσεχῶν μέχρι τοῦ πάντων τέλους ὁδεύουσαν.

## ΚΔ'

## Ποιά μυστήρια ἐνεργεῖ καί τελειοποιεῖ μέ ὅσα τελοῦνται κατά τήν ἁγία σύναξη ἀνάμεσα στούς πιστούς, πού μέ πίστη συναθροίζονται, ἡ χάρη τοῦ ἁγίου Πνεύματος πού παραμένει

1 Νόμιζε λοιπόν ὁ μακαριστός γέροντας, καί δέ σταματοῦσε νά προτρέπει κάθε Χριστιανό, ὅτι πρέπει νά περνᾶ τόν καιρό του μέσα στήν ἁγία Ἐκκλησία τοῦ Θεοῦ καί νά μή λείπει ποτέ ἀπό τήν ἁγία σύναξη, πού γίνεται μέσα σ' αὐτή. Γιατί σ' αὐτή μέσα παραμένουν ἅγιοι ἄγγελοι, πού γράφουν ὅσους κάθε φορά μπαίνουν, τούς παρουσιάζουν στό Θεό καί κάνουν τίς παρακλήσεις τους γι' αὐτούς. Εἶναι ἀκόμη καί ἡ ἀόρατη χάρη τοῦ ἁγίου Πνεύματος, πάντα βέβαια παροῦσα, μέ ἰδιαίτερο ὅμως τρόπο κατά τήν ὥρα τῆς ἁγίας σύναξης, πού καθέναν ἀπό τούς παρόντες τόν μεταβάλλει καί τόν μεταμορφώνει καί πού ἀληθινά τόν ξαναπλάθει πρός τό θεϊκότερο, ἀνάλογα μέ τόν ἑαυτό του καί τόν ὁδηγεῖ σέ ὅ,τι συμβολίζουν τά μυστήρια πού τελοῦνται. Κι ἄς μήν αἰσθάνεται ἐκεῖνος, ἄν τύχει ν' ἀνήκει στούς νηπίους κατά τήν πίστη στό Χριστό, κι ἄς ἀδυνατεῖ ν' ἀτενίσει τό βάθος αὐτῶν πού γίνονται· κι ἄς μήν αἰσθάνεται ὅτι ἡ χάρη, πού καθένα ἀπό τά θεῖα σύμβολα τῆς σωτηρίας δηλώνει, ἐνεργεῖ μέσα του καί βαδίζει κατά μία σειρά καί τάξη ἀπό τ' αὐριανά ὥς τό τέλος ὅλων.

2 *Κατὰ μὲν πρώτην εἴσοδον ἀπιστίας ἀποβολήν, πίστεως αὔξησιν, κακίας μείωσιν, ἀρετῆς ἐπίδοσιν, ἀγνοίας ἀφανισμόν, γνώσεως προσθήκην. Διὰ δὲ τῆς ἀκροάσεως τῶν θείων λογίων, τὰς τῶν εἰρημένων τούτων, πίστεώς φημι καὶ ἀρετῆς καὶ γνώσεως, παγίας καὶ ἀμεταθέτους ἕξεις τε καὶ διαθέσεις. Διὰ δὲ τῶν ἐπὶ τούτοις θείων ᾀσμάτων, τὴν πρὸς τὰς ἀρετὰς τῆς ψυχῆς ἑκούσιον συγκατάθεσιν, καὶ τὴν ἐπ' αὐταῖς ἐγγινομένην αὐτῇ νοερὰν ἡδονὴν καὶ τερπνότητα. Διὰ δὲ τῆς ἱερᾶς ἀναγνώσεως τοῦ ἁγίου Εὐαγγελίου, τὴν τοῦ χοϊκοῦ φρονήματος, ὥσπερ αἰσθητοῦ κόσμου, συντέλειαν. Διὰ δὲ τῆς μετὰ ταῦτα τῶν θυρῶν κλείσεως, τὴν κατὰ διάθεσιν ἀπὸ τούτου τοῦ φθαρτοῦ κόσμου πρὸς τὸν νοητὸν κόσμον μετάβασιν τῆς ψυχῆς καὶ μετάθεσιν, δι' ἧς τὰς αἰσθήσεις, θυρῶν δίκην, μύσασα, τῶν καθ' ἁμαρτίαν εἰδώλων καθαρὰς ἀπεργάζεται. Διὰ δὲ τῆς εἰσόδου τῶν ἁγίων μυστηρίων, τὴν τελειοτέραν καὶ μυστικωτέραν καὶ καινὴν περὶ τὴν εἰς ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ διδασκαλίαν καὶ γνῶσιν. Διὰ δὲ τοῦ θείου ἀσπασμοῦ, τὴν πάντων πρὸς πάντας καὶ πρὸς ἑαυτὸν ἑκάστου πρότερον καὶ τὸν Θεόν, ὁμονοίας καὶ ὁμογνωμοσύνης καὶ ἀγάπης ταυτότητα. Διὰ δὲ τῆς τοῦ συμβόλου τῆς πίστεως ὁμολογίας, τὴν ἐπὶ τοῖς παραδόξοις τρόποις τῆς σωτηρίας ἡμῶν πρόσφορον εὐχαριστίαν. Διὰ δὲ τοῦ Τρισαγίου, τὴν πρὸς τοὺς ἁγίους ἀγγέλους ἕνωσίν τε καὶ ἰσοτιμίαν, καὶ τὴν ἄπαυστον τῆς ἁγιαστικῆς δοξολογίας τοῦ Θεοῦ σύμφωνον εὐτονίαν. Διὰ δὲ τῆς προσευχῆς, δι' ἧς Πατέρα καλεῖν τὸν Θεὸν ἀξιούμεθα, τὴν ἐν χάριτι τοῦ ἁγίου Πνεύματος ἀληθεστάτην υἱοθεσίαν. Διὰ δὲ τοῦ, «Εἷς Ἅγιος», καὶ τῶν ἑξῆς, τὴν πρὸς αὐτὸν τὸν Θεὸν ἑνοποιὸν χάριν καὶ οἰκειότητα. Διὰ δὲ τῆς ἁγίας μεταλήψεως τῶν ἀχράντων καὶ ζωοποιῶν μυστηρίων, τὴν πρὸς αὐτὸν κατὰ μέθεξιν ἐνδεχομένην δι' ὁμοιότητος κοινωνίαν τε καὶ*

2 Κατά τήν πρώτη εἴσοδο δηλώνεται ἡ ἀποβολή τῆς ἀπιστίας, ἡ αὔξηση τῆς πίστης, ἡ ἐλλάτωση τῆς κακίας, ἡ πρόοδος τῆς ἀρετῆς, ἡ ἐξαφάνιση τῆς ἄγνοιας, ἡ προσθήκη τῆς γνώσεως. Μέ τήν ἀκρόαση τῶν θείων λόγων δηλώνονται οἱ μόνιμες καί ἀμετάθετες ἕξεις καί διαθέσεις τῆς πίστης πού εἴπαμε καί τῆς ἀρετῆς καί τῆς γνώσης, ἐνῶ μέ τούς θείους ὕμνους πού ἀκολουθοῦν, ἡ θεληματική συγκατάθεση τῆς ψυχῆς πρός τίς ἀρετές καί ἡ πνευματική γλυκύτητα κι εὐχαρίστηση πού δοκιμάζει ἀπ' αὐτές. Μέ τήν ἱερή ἔπειτα ἀνάγνωση τοῦ Εὐαγγελίου δηλώνεται ἡ συντέλεια τοῦ γήινου φρονήματος, σά νά ἦταν ἡ συντέλεια τοῦ αἰσθητοῦ κόσμου. Μέ τό κλείσιμο τῶν θυρῶν δείχνεται ἡ ἐπιθυμητή μετάβαση καί μετατόπιση τῆς ψυχῆς ἀπό τό φθαρτό κόσμο τοῦτο στό νοητό. Κλείνοντας τίς αἰσθήσεις, σά νά ἦταν πόρτες, τίς καθαρίζει ἀπό τά εἴδωλα τῆς ἁμαρτίας. Μέ τήν εἴσοδο τῶν ἁγίων μυστηρίων δηλώνεται ἡ τελειότερη καί πνευματικότερη καί νέα διδασκαλία καί γνώση σχετικά μέ τήν οἰκονομία τοῦ Θεοῦ γιά χάρη μας. Μέ τό θεῖο ἀσπασμό, ἡ ταυτότητα ὅλων μέ ὅλους καί πρῶτα τοῦ καθενός μέ τόν ἑαυτό του καί τό Θεό, ταυτότητα κατοχυρωμένη μέ ὁμόνοια, μέ ὁμοφροσύνη καί ἀγάπη. Μέ τήν ὁμολογία τοῦ συμβόλου τῆς πίστεως, ἡ κατάλληλη εὐχαριστία μας γιά τούς ἀνέλπιστούς τρόπους τῆς σωτηρίας. Μέ τό Τρισάγιο, ἡ ἕνωση καί ἰσοτιμία μας μέ τούς ἁγίους ἀγγέλους καί ἡ ἀκατάπαυστη ἁρμονική μελωδικότητα τῆς δοξολογίας τοῦ Θεοῦ. Μέ τήν προσευχή, κατά τήν θυσία γινόμαστε ἄξιοι νά καλοῦμε Πατέρα τό Θεό, ἡ γνησιότατη υἱοθεσία μέ τή χάρη τοῦ ἁγίου Πνεύματος. Μέ τό «Εἷς Ἅγιος» καί τά ὑπόλοιπα, ἡ χάρη καί ἡ οἰκειότητα, πού μᾶς ἑνοποιεῖ μέ τό Θεό. Μέ τήν ἁγία μετάληψη τῶν ἀχράντων καί ζωοποιῶν μυστηρίων, ἡ ἀναμενόμενη ἑνότητα

*ταυτότητα, δι' ἧς γενέσθαι Θεὸς ἐξ ἀνθρώπου καταξιοῦται ὁ ἄνθρωπος.*

3 *Ὧν γὰρ ἐνταῦθα κατὰ τὴν παροῦσαν ζωήν, διὰ τῆς ἐν πίστει χάριτος, πιστεύομεν μετειληφέναι δωρεῶν τοῦ ἁγίου Πνεύματος, τούτων ἐν τῷ μέλλοντι αἰῶνι κατὰ ἀλήθειαν ἐνυποστάτως αὐτῷ τῷ πράγματι, κατὰ τὴν ἄπτωτον ἐλπίδα τῆς πίστεως ἡμῶν καὶ τὴν τοῦ ἐπαγγειλομένου βεβαίαν καὶ ἀπαράβατον ὑπόσχεσιν, φυλάξαντες κατὰ δύναμιν τὰς ἐντολάς, πιστεύομεν καταλήψεσθαι, μεταβαίνοντες ἀπὸ τῆς ἐν πίστει χάριτος εἰς τὴν κατ' εἶδος χάριν· μεταποιοῦντος ἡμᾶς πρὸς ἑαυτὸν δηλαδὴ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ περιαιρέσει τῶν ἐν ἡμῖν τῆς φθορᾶς γνωρισμάτων, καὶ τὰ παραδειχθέντα διὰ τῶν ἐνταῦθα αἰσθητῶν συμβόλων ἡμῖν ἀρχέτυπα χαριζομένου μυστήρια.*

καί ταυτότητα μ' ἐκεῖνον κατά μετοχή ἀπό ὁμοιότητα· χάρη σ' αὐτή ἀξιώνεται ὁ ἄνθρωπος νά γίνει ἀπό ἄνθρωπος Θεός.

3 Γιατί ὅσες δωρεές τοῦ ἁγίου Πνεύματος πιστεύομε ὅτι ἔχομε λάβει ἐδῶ μέ τή χάρη πού δίνει ἡ πίστη, αὐτές πιστεύομε ὅτι θά τίς λάβομε στή μέλλουσα ζωή ἀληθινά, στήν ἴδια τήν πραγματική τους ὑπόσταση, ἐπειδή φυλάξαμε κατά τή δύναμή μας τίς ἐντολές, σύμφωνα μέ τή στέρεη ἐλπίδα τῆς πίστης μας καί τή σταθερή καί ἀδιάψευτη ὑπόσχεση Ἐκείνου πού μᾶς ἔχει ὑποσχεθεῖ. Καί θά βρεθοῦμε ἀπό τή χάρη τῆς πίστης στή χάρη τῆς μορφῆς· θά μᾶς μεταμορφώσει δηλαδή ὁ Θεός καί Σωτήρας μας Ἰησοῦς Χριστός κατά τόν ἑαυτό του, ἀφοῦ ἀφαιρέσει ἀπό μᾶς τά γνωρίσματα τῆς φθορᾶς καί μᾶς χαρίσει τά ἀρχικά μυστήρια, πού ὑποδηλώθηκαν μέ τά ἐδῶ αἰσθητά σύμβολα.

## *ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ*

1 *Διὰ δὲ τὸ εὐμνημόνευτον, εἰ δοκεῖ, τὴν τῶν εἰρημένων δύναμιν κατ' ἐπιτομὴν ἐπιδραμόντες, οὕτω κεφαλαιώσωμεν. Ἔστι μὲν οὖν ἡ ἁγία Ἐκκλησία τύπος, ὡς εἴρηται, καὶ εἰκών, τοῦ μὲν Θεοῦ, διότι ἣν ἐργάζεται κατὰ τὴν ἄπειρον αὐτοῦ δύναμιν καὶ σοφίαν περὶ τὰς διαφόρους τῶν ὄντων οὐσίας ἀσύγχυτον ἕνωσιν, ὡς δημιουργὸς κατ' ἄκρον ἑαυτῷ συνέχων· καὶ κατὰ μίαν τῆς πίστεως καὶ χάριν καὶ κλῆσιν τοὺς πιστοὺς ἀλλήλοις ἑνοειδῶς συνάπτουσα· τοὺς δὲ πρακτικοὺς καὶ ἐναρέτους, κατὰ μίαν γνώμης ταυτότητα· τοὺς δὲ θεωρητικοὺς καὶ γνωστικοὺς πρὸς τούτοις καὶ καθ' ὁμόνοιαν ἀρραγῆ καὶ ἀδιαίρετον.*

2 *Τοῦ δὲ κόσμου, τοῦ τε νοητοῦ καὶ τοῦ αἰσθητοῦ τύπος ἐστίν, ὡς τοῦ νοητοῦ κόσμου τὸ ἱερατεῖον σύμβολον ἔχουσα, τοῦ αἰσθητοῦ δέ, τὸν ναόν.*

3 *Ἀνθρώπου δὲ πάλιν εἰκών ἐστιν, ὡς τὴν ψυχὴν διὰ τοῦ ἱερατείου μιμουμένη, τὸ δὲ σῶμα, διὰ τοῦ ναοῦ προβαλλομένη. Αὐτῆς δὲ τῆς ψυχῆς καθ' ἑαυτὴν νοουμένης τύπος ἐστὶ καὶ εἰκών, ὡς τοῦ θεωρητικοῦ διὰ τοῦ ἱερατείου φέρουσα τὸ ἐπίδοξον, τοῦ δὲ πρακτικοῦ διὰ τοῦ ναοῦ τὸ κόσμιον ἔχουσα.*

4 *Τῆς δὲ τελουμένης ἐν αὐτῇ ἁγίας συνάξεως, ἡ μὲν πρώτη*

## ΑΝΑΚΕΦΑΛΑΙΩΣΗ

1 Γιά τήν εὔκολη ὅμως μνημόνευση, ἄν θέλετε, μέ σύντομη ἀναδρομή στήν οὐσία ὅσων εἴπαμε, ἄς τ' ἀνακεφαλαιώσομε μ' αὐτόν τόν τρόπο. Εἶναι λοιπόν ἡ ἁγία Ἐκκλησία, ὅπως ἔχει λεχθεῖ, τύπος καί εἰκόνα πρῶτα τοῦ Θεοῦ. Ἐπειδή ἐκεῖνος τήν ἀσύγχυτη ἕνωση σχετικά μέ τίς ποικίλες οὐσίες τῶν ὄντων, πού πραγματοποιεῖ μέ τήν ἄπειρη δύναμη καί σοφία του, τή συνδέει μέ ἄκρο τρόπο μέ τόν ἑαυτό του σάν δημιουργός, ἀλλά καί ἡ Ἐκκλησία συνδέει τούς πιστούς σ' ἑνότητα μεταξύ τους μέ τῆς πίστης τή μία χάρη καί τή μία κλήση· τούς πρακτικούς κι ἐνάρετους, μέ τήν ταυτότητα τῆς μιᾶς γνώμης· ὅσους ἔχουν δοθεῖ στή θεωρία καί τή γνώση, ἐκτός ἀπό τά παραπάνω καί μέ ὁμόνοια ἀράγιστη κι ἀδιάσπαστη.

2 Ἔπειτα εἶναι τύπος καί τοῦ νοητοῦ καί τοῦ αἰσθητοῦ κόσμου· σύμβολο τοῦ νοητοῦ κόσμου ἔχει τό ἱερό βῆμα, καί τοῦ αἰσθητοῦ τό ναό.

3 Εἶναι ἀκόμα εἰκόνα τοῦ ἀνθρώπου, γιατί μέ τό ἱερό βῆμα μιμεῖται τήν ψυχή καί μέ τό ναό προβάλλει τό σῶμα. Ἀλλά καί τῆς ψυχῆς, ὅταν νοηθεῖ καθεαυτή, εἶναι τύπος καί εἰκόνα, γιατί μέ τό ἱερό βῆμα παρουσιάζει τή λαμπρότητα τῆς θεωρίας καί μέ τό ναό τή σεμνότητα τῆς πράξης.

4 Τῆς ἁγίας σύναξης πάλι, πού γίνεται σ' αὐτήν, ἡ πρώτη

εἴσοδος γενεκῶς μὲν δηλοῖ τὴν πρώτην τοῦ Θεοῦ ἡμῶν παρουσίαν, ἰδικῶς δέ, τὴν δι' αὐτοῦ καὶ σὺν αὐτῷ τῶν ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ κακίας εἰς ἀρετήν, καὶ ἀπὸ ἀγνωσίας εἰς γνῶσιν εἰσαγομένων ἐπιστροφήν.

5 Τὰ δὲ γινόμενα μετ' αὐτὴν ἀναγνώσματα, γενικῶς μὲν τὰ θεῖα θελήματά τε καὶ βουλήματα, καθ' ἃ χρὴ τοὺς πάντας παιδεύεσθαί τε καὶ πολιτεύεσθαι, μηνύει, ἰδικῶς δέ, τὴν κατὰ τὴν πίστιν διδασκαλίαν καὶ προκοπὴν τῶν πιστευσάντων, καὶ τῶν πρακτικῶν τὴν κατ' ἀρετὴν παγίαν διάθεσιν, καθ' ἣν τῷ θείῳ νόμῳ στοιχοῦντες τῶν ἐντολῶν ἀνδρικῶς τε καὶ ἀκλονήτως ἵστανται πρὸς τὰς μεθοδείας τοῦ διαβόλου καὶ τὰς ἀντικειμένας ἐνεργείας διαδιδράσκουσι· καὶ τῶν γνωστικῶν τὴν κατὰ θεωρίαν ἕξιν, καθ' ἣν τοὺς τῶν αἰσθητῶν καὶ τῆς ἐπ' αὐτοῖς προνοίας πνευματικοὺς κατὰ δύναμιν συλλεγόμενοι λόγους, ἀπλανῶς πρὸς τὴν ἀλήθειαν φέρονται.

6 Τὰ δὲ θεῖα τῶν ᾀσμάτων μελίσματα τὴν ἐγγινομένην ταῖς ἁπάντων ψυχαῖς θείαν ἡδονὴν καὶ τερπνότητα, καθ' ἣν μυστικῶς ῥωννύμεναι, τῶν μὲν παρελθόντων τῆς ἀρετῆς ἐπιλανθάνονται πόνων, πρὸς δὲ τὴν τῶν λειπομένων θείων καὶ ἀκηράτων ἀγαθῶν, νεάζουσι εὔτονον ἔφεσιν.

7 Τὸ δὲ ἅγιον Εὐαγγέλιον, γενικῶς μὲν σύμβολόν ἐστι τῆς συντελείας τοῦ αἰῶνος τούτου, ἰδικῶς δέ, τῶν μὲν πιστευσάντων δηλοῖ τὸν παντελῆ τῆς ἀρχαίας πλάνης ἀφανισμόν, τῶν δὲ πρακτικῶν τὴν νέκρωσιν καὶ συντέλειαν τοῦ κατὰ σάρκα νόμου τε καὶ φρονήματος, τῶν δὲ γνωστικῶν τὴν πρὸς τὸν συνεκτικώτατον λόγον τῶν πολλῶν καὶ διαφόρων λόγων συναγωγήν

εἴσοδος σημαίνει γενικά τήν πρώτη παρουσία τοῦ Θεοῦ μας καί εἰδικά τήν ἐπιστροφή ὅλων ἐκείνων πού ἐξαιτίας του καί μέ τή βοήθειά του περνοῦν ἀπό τήν ἀπιστία στήν πίστη, ἀπό τήν κακία στήν ἀρετή, ἀπό τήν ἀγνωσία στή γνώση.

5 Τά ἀναγνώσματα, πού γίνονται ἔπειτ' ἀπό αὐτή, γενικά φανερώνουν τά θελήματα καί τίς βουλές τοῦ Θεοῦ, πού σύμφωνα μ' αὐτά εἶναι ἀνάγκη νά παιδαγωγοῦνται ὅλοι καί νά ζοῦν. Εἰδικά φανερώνουν τή διδασκαλία καί τήν προκοπή στήν πίστη ὅσων πίστεψαν, τή μόνιμη διάθεση στήν ἀρετή ὅσων ἐπιδόθηκαν στήν πράξη, πράγμα πού τούς κάνει στοιχημένοι στό θεῖο νόμο τῶν ἐντολῶν νά στέκονται ἀνδρικά κι ἀκλόνητα μπροστά στίς παγίδες τοῦ διαβόλου καί νά ξεφεύγουν τίς ἀντίθετες ἐπιβουλές· ὅσων ζητοῦν τή γνώση, φανερώνουν τήν ἕξη τῆς θεωρίας, πού κατ' αὐτή, συγκεντρώνοντας ὅσο μποροῦν τούς πνευματικούς λόγους τῶν αἰσθητῶν καί τῆς πρόνοιας πού τούς διέπει, κατευθύνονται σταθερά πρός τήν ἀλήθεια.

Οἱ θεῖες μελωδίες τῶν ὕμνων δηλώνουν τή θεία ἡδονή κι εὐχαρίστηση πού δημιουργεῖται στίς ψυχές ὅλων. Τονωμένες μυστικά ἀπό αὐτόν λησμονοῦν τούς περασμένους μόχθους τῆς ἀρετῆς καί ρίχνονται μέ νεανική ὁρμή στήν ἄκαμπτη ἐπιδίωξη τῶν θείων καί ἄφθαρτων ἀγαθῶν πού ἀπομένουν νά ρθοῦν.

7 Τό ἱερό Εὐαγγέλιο ἐξάλλου συμβολίζει γενικά τή συντέλεια τῆς ζωῆς αὐτῆς καί εἰδικά φανερώνει τόν ὁλοκληρωτικό ἀφανισμό τῆς παλιᾶς πλάνης ὅσων πίστεψαν. Δηλώνει ἀκόμα τή νέκρωση καί τή συντέλεια τοῦ σαρκικοῦ νόμου καί φρονήματος ὅσων ἔχουν ἐπιδοθεῖ στήν πράξη. Σ' ὅσους ἐπιδιώκουν τή μυστική γνώση δείχνει τή συγκέντρωση καί τήν ἀναφορά τῶν πολλῶν καί διάφορων λόγων στόν κοινό λόγο

*τε καὶ ἀναφοράν, συντελεσθείσης αὐτοῖς καὶ περατωθείσης τῆς διεξοδικωτέρας καὶ ποικιλωτέρας φυσικῆς θεωρίας.*

8 *Ἡ δὲ τοῦ ἀρχιερέως ἀπὸ τοῦ θρόνου κατάβασις καὶ ἡ τῶν κατηχουμένων ἐκβολή, γενικῶς μὲν σημαίνει τὴν ἀπ' οὐρανοῦ δευτέραν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν καὶ τὸν ἀπὸ τῶν ἁγίων ἀφορισμὸν τῶν ἁμαρτωλῶν καὶ τὴν δικαίαν πρὸς τὴν ἑκάστου ἀξίαν ἀμοιβήν, ἰδικῶς δὲ τὴν τελείαν ἐν πίστει τῶν πιστευσάντων πληροφορίαν, ἣν ποιεῖ παραγινόμενος ἀοράτως ὁ Θεὸς καὶ Λόγος, δι' ἧς πᾶς ἔτι καθ' ὁτιοῦν σκάζων κατὰ τὴν πίστιν λογισμὸς κατηχουμένου τρόπον, αὐτῶν ἀπελαύνεται· τῶν δὲ πρακτικῶν τὴν τελείαν ἀπάθειαν, δι' ἧς πᾶς ἐμπαθὴς καὶ ἀφώτιστος λογισμὸς τῆς ψυχῆς ἀπογίνεται· τῶν δὲ γνωστικῶν τὴν συνεκτικὴν ἐπιστήμην τῶν ἐπεγνωσμένων, δι' ἧς πᾶσαι τῶν ὑλικῶν αἱ εἰκόνες τῆς ψυχῆς ἐκδιώκονται.*

9 *Ἡ δὲ κλεῖσις τῶν θυρῶν καὶ ἡ τῶν ἁγίων μυστηρίων εἴσοδος καὶ ὁ θεῖος ἀσπασμὸς καὶ ἡ τοῦ συμβόλου τῆς πίστεως ἐκφώνησις, γενεικῶς μὲν δηλοῖ τὴν τῶν αἰσθητῶν πάροδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν καὶ τὴν καινὴν τοῦ περὶ ἡμᾶς θείου μυστηρίου διδαχήν, καὶ τὴν πρὸς πάντας πάντων ἑαυτούς τε καὶ τὸν Θεὸν γενησομένην ὁμονοίας καὶ ὁμογνωμοσύνης καὶ ἀγάπης ταυτότητα, καὶ τὴν ἐφ' οἷς ἐσώθημεν τρόποις εὐχαριστίαν, ἰδικῶς δὲ τῶν μὲν πιστῶν τὴν ἀπὸ τῆς ἁπλῆς πίστεως εἰς τὴν ἐν δόγμασι διδαχὴν καὶ μύησιν καὶ ὁμοφωνίαν καὶ εὐσέβειαν προκοπήν· τὸ γὰρ πρῶτον ἡ τῶν θυρῶν δηλοῖ κλεῖσις, τὸ δεύτερον δὲ ἡ τῶν ἁγίων εἴσοδος, τὸ δὲ τρίτον ὁ ἀσπασμός, καὶ τὸ*

ὅλων, ἀφοῦ ἔχει τελειώσει γι' αὐτούς καί τερματισθεῖ ἡ λεπτομερειακή φυσική θεωρία πού ἐκτείνεται σέ πολλά.

8 Ἡ κάθοδος τοῦ ἀρχιερέα ἀπό τό θρόνο καί ἡ ἀπομάκρυνση τῶν κατηχουμένων σημαίνουν γενικά τή δεύτερη παρουσία τοῦ μεγάλου Θεοῦ καί Σωτήρα μας Ἰησοῦ Χριστοῦ ἀπό τόν οὐρανό καί τό ξεχώρισμα τῶν ἁμαρτωλῶν ἀπό τούς ἁγίους, καθώς ἐπίσης καί τή δίκαιη ἀμοιβή καθενός κατά τήν ἀξία του. Ἰδιαίτερα σημαίνει: ὅσων πίστεψαν, τήν τέλεια μέ τή δύναμη τῆς πίστης πληροφορία, πού δίνει ὁ Θεός καί Λόγος μέ τήν ἀόρατη παρουσία του – μέ τῆν πληροφορία αὐτή ἀπομακρύνεται, ὅπως ὁ κατηχούμενος, κάθε λογισμός πού σ' ἕνα ὁποιοδήποτε σημεῖο χωλαίνει ἀκόμα στήν πίστη–· ὅσων ἐπιδόθηκαν στήν πράξη, δηλώνει τήν τέλεια ἀλήθεια, πού μέ τή δύναμή της ἀπομακρύνεται ἀπό τήν ψυχή κάθε παθητική κι ἁμαρτωλή σκέψη· ὅσων ἐπιδιώκουν τή γνώση, σημαίνει τήν ἐπιστήμη πού συγκρατεῖ ὅσα ἔγιναν γνωστά καί πού μέ τό φῶς της διώχνονται ἀπό τήν ψυχή ὅλες οἱ εἰκόνες τῶν ὑλικῶν πραγμάτων.

9 Τό κλείσιμο τῶν θυρῶν, ἡ εἴσοδος τῶν ἁγίων μυστηρίων, ὁ θεῖος ἀσπασμός καί ἡ ἀπαγγελία τοῦ συμβόλου τῆς πίστεως συμβολίζουν γενικά τήν παροδικότητα τῶν αἰσθητῶν καί τή φανέρωση τῶν νοητῶν, τήν καινούργια διδασκαλία τοῦ θεϊκοῦ μυστηρίου σχετικά μ' ἐμᾶς, τήν ταυτότητα πού θά ἐπιτευχθεῖ ὅλων μέ ὅλους, μέ τούς ἑαυτούς μας καί μέ τό Θεό – ταυτότητα ὁμόνοιας, ὁμοφροσύνης καί ἀγάπης· τήν εὐχαριστία τέλος γιά τούς τρόπους τῆς σωτηρίας μας. Ἰδιαίτερα φανερώνουν· τῶν πιστῶν τήν προκοπή ἀπό τήν ἁπλή πίστη ὥς τή στηριγμένη πάνω στά δόγματα διδαχή καί μύηση καί συμφωνία κι εὐσέβεια· τό κλείσιμο τῶν θυρῶν φανερώνει τό πρῶτο, ἡ εἴσοδος τῶν ἁγίων τό δεύτερο, ὁ ἀσπασμός τό τρίτο καί ἡ ἀπαγγελία τοῦ συμβόλου τό τέταρτο.

*τέταρτον ἡ ἐκφώνησις τοῦ συμβόλου· τῶν δὲ πρακτικῶν, τὴν ἀπὸ πράξεως εἰς θεωρίαν μυσάντων τὰς αἰσθήσεις καὶ ἔξω σαρκὸς καὶ κόσμου γενομένων διὰ τῆς ἀποβολῆς τῶν κατ' αὐτὰς ἐνεργειῶν, μετάθεσιν, καὶ τὴν ἀπὸ τοῦ τρόπου τῶν ἐντολῶν εἰς τὸν λόγον αὐτῶν ἀνάβασιν· καὶ τὴν αὐτῶν τῶν ἐντολῶν κατὰ τοὺς οἰκείους λόγους συγγενῆ πρὸς τὰς δυνάμεις τῆς ψυχῆς οἰκειότητά τε καὶ ἕνωσιν, καὶ τὴν πρὸς θεολογικὴν εὐχαριστίαν ἐπιτήδειον ἕξιν· τῶν δὲ γνωστικῶν, τὴν ἀπὸ τῆς φυσικῆς θεωρίας εἰς τὴν τῶν νοητῶν ἁπλῆν κατανόησιν, καθ' ἣν οὐδαμῶς δι' αἰσθήσεως ἤ τινος τῶν φαινομένων ἔτι τὸν θεῖον καὶ ἄρρητον μεταδιώκουσι λόγον, καὶ τὴν πρὸς τὴν ψυχὴν τῶν αὐτῆς δυνάμεων ἕνωσιν, καὶ τὴν κατὰ νοῦν ἑνοειδῶς συλλαμβάνουσαν τὸν τῆς προνοίας λόγον ἁπλότητα.*

*Ἡ δὲ τοῦ Τρισαγίου ἄπαυστος τῶν ἁγίων ἀγγέλων ἁγιαστικὴ δοξολογία γενικῶς μὲν σημαίνει τὴν ἅμα τε καὶ ἐν ταὐτῷ γενησομένην κατὰ τὸν αἰῶνα τὸν μέλλοντα τῶν οὐρανίων καὶ ἐπιγείων δυνάμεων ἴσην καὶ πολιτείαν καὶ ἀγωγὴν καὶ συμφωνίαν τῆς θείας δοξολογίας, ἀθανατισθέντος τοῖς ἀνθρώποις τοῦ σώματος διὰ τῆς ἀναστάσεως, καὶ μηκέτι βαροῦντος τὴν ψυχὴν τῇ φθορᾷ καὶ βαρουμένου, ἀλλὰ διὰ τῆς εἰς ἀφθαρσίαν ἀλλαγῆς πρὸς ὑποδοχὴν παρουσίας Θεοῦ λαβόντος καὶ δύναμιν καὶ ἐπιτηδειότητα· ἰδικῶς δὲ τῶν μὲν πιστῶν τὴν πρὸς ἀγγέλους κατὰ τὴν πίστιν θεολογικὴν ἅμιλλαν· τῶν δὲ πρακτικῶν τὴν ἰσάγγελον, ὡς ἐφικτὸν ἀνθρώποις, κατὰ τὸν βίον λαμπρότητα, καὶ τὴν εὐτονίαν τῆς θεολογικῆς ὑμνολογίας· τῶν δὲ γνωστικῶν τὰς ἰσαγγέλους κατὰ τὸ δυνατὸν ἀνθρώποις περὶ θεότητος νοήσεις τε καὶ ὑμνήσεις καὶ ἀεικινησίας.*

Ὅσων ἔχουν ἀφιερωθεῖ στήν πράξη φανερώνουν τή μετάθεση ἀπό τήν ἁπλή παράξη στή θεωρία μετά τό σφάλισμα τῶν αἰσθήσεων καί τήν ἀπομάκρυνσή τους ἀπό τή σάρκα καί τόν κόσμο μὲ τήν ἀπάρνηση τῶν ἐνεργειῶν πού προκαλοῦν καί τήν ἀνάβασή τους ἀπό τόν τρόπο στό λόγο τῶν ἐντολῶν. Ἐπίσης τήν οἰκειότητα τή συγγενική πρός τίς ψυχικές δυνάμεις καί τή συνένωση τῶν ἴδιων τῶν ἐντολῶν κατά λόγο κάθε μιᾶς καί τήν ἕξη τήν ἐπιτήδεια γιά θεολογική εὐχαριστία. Ὅσων ἐπιδιώκουν τή γνώση, φανερώνουν τή μετάβαση ἀπό τή φυσική θεωρία στήν ἁπλή κατανόηση τῶν νοητῶν. Ὅπου καθόλου πιά δέν ἐπιδιώκουν, μέ κάποια αἴσθηση, εἴτε μέ κάποιο ἄλλο ὁρατό ὄργανο, τό θεϊκό κι ἀνέκφραστο λόγο. Φανερώνουν ἀκόμα τήν ἑνότητα μέ τήν ψυχή τῶν δυνάμεων της καί τήν ἁπλότητα πού μέσα στό νοῦ συλλαμβάνει ἑνιαῖα τό λόγο τῆς Πρόνοιας.

10 Ἡ ἀσταμάτητη ἁγιαστική δοξολογία τοῦ Τρισαγίου ἀπό μέρος τῶν ἁγίων ἀγγέλων γενικά σημαίνει τήν ἰσότιμη συμβίωση κι ἀναστροφή καί συμφωνία στή θεία δοξολογία τῶν δυνάμεων τοῦ οὐρανοῦ καί τῆς γῆς, πού θά πραγματοποιηθεῖ στή μελλοντική ζωή μέ μιά καί στόν ἴδιο χρόνο, ἀφοῦ μέ τήν ἀνάσταση λάβουν ἀθάνατο οἱ ἄνθρωποι τό σῶμα τους, πού δέ θά βαραίνει πιά τήν ψυχή μέ τή φθορά του οὔτε τό ἴδιο θά βαραίνεται ἀπό αὐτή. Μέ τό πέρασμά του στήν ἀφθαρσία θά ἔχει λάβει δύναμη καί ἱκανότητα νά βαστάζει τόν ἐρχομό τοῦ Θεοῦ. Ἰδιαίτερα σημαίνει τή θεολογική ἅμιλλα τῶν πιστῶν μέ τούς ἀγγέλους στήν πίστη. Ὅσων ἔχουν ἐπιδοθεῖ στήν πράξη σημαίνει τήν ἰσάγγελη – ὅσο γίνεται στούς ἀνθρώπους – λαμπρότητα τῆς ζωῆς καί τή γλυκιά δύναμη τῆς θεολογικῆς ὁμολογίας – ὅσο μποροῦν οἱ ἄνθρωποι – στοχασμούς γιά τή θεότητα καί τούς ὕμνους καί τήν ἀεικίνητη ὑπηρεσία.

11 *Ἡ δὲ μακαρία τοῦ μεγάλου Θεοῦ καὶ Πατρὸς ἐπίκλησις καὶ ἡ τοῦ, «Εἷς Ἅγιος», καὶ τῶν ἑξῆς ἐκφώνησις, καὶ ἡ τῶν ἁγίων καὶ ζωοποιῶν μυστηρίων μετάληψις, τὴν ἐπὶ πᾶσι καὶ ἐπὶ πάντων τῶν ἀξίων ἐσομένην διὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ ἡμῶν υἱοθεσίαν, ἕνωσίν τε καὶ οἰκειότητα, καὶ ὁμοιότητα θείαν καὶ θέωσιν δηλοῖ, δι' ἧς πάντα ἐν πᾶσιν ἔσται τοῖς σωζομένοις αὐτὸς ὁ Θεός, ὁμοίως· ὡς κάλλος ἀρχέτυπον κατ' αἰτίαν ἐμπρέπων τοῖς αὐτῷ δι' ἀρετῆς καὶ γνώσεως κατὰ χάριν ὁμοίως συμπρέπουσι.*

12 *Πιστοὺς δὲ καὶ ἐναρέτους καὶ γνωστικοὺς ἐκάλει τοὺς εἰσαγομένους καὶ τοὺς προκόπτοντας καὶ τοὺς τελείους, ἤγουν δούλους καὶ μισθίους καὶ υἱούς· τὰς τρεῖς τάξεις τῶν σωζομένων. Δοῦλοι γάρ εἰσι πιστοί, οἱ φόβῳ τῶν ἠπειλημένων ἐκπληροῦντες τοῦ δεσπότου τὰς ἐντολὰς καὶ τοῖς πιστευθεῖσιν εὐνοϊκῶς ἐπεργαζόμενοι· μίσθιοι δὲ οἱ πόθῳ τῶν ἐπηγγελμένων ἀγαθῶν βαστάζοντες μεθ' ὑπομονῆς τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσονα, τουτέστι, τὴν ἔμφυτον καὶ συνεζευγμένην τῇ παρούσῃ ζωῇ ἐκ τῆς προπατορικῆς καταδίκης θλῖψιν καὶ τοὺς ἐπ' αὐτῇ ὑπὲρ τῆς ἀρετῆς πειρασμούς· καὶ ζωῆς ζωὴν σοφῶς κατ' αὐθαίρετον γνώμην ἀνταλλάσοντες, τῆς παρούσης τὴν μέλλουσαν. Υἱοὶ δέ, οἱ μήτε φόβῳ τῶν ἠπειλημένων, μήτε πόθῳ τῶν ἐπηγγελμένων, ἀλλὰ τρόπῳ καὶ ἕξει τῆς πρὸς τὸ καλὸν κατὰ γνώμην τῆς ψυχῆς ῥοπῆς τε καὶ διαθέσεως, μηδέποτε τοῦ Θεοῦ χωριζόμενοι· κατ' ἐκεῖνον τὸ υἱόν, πρὸς ὃν εἴρηται· «τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστι»· τοῦτο κατὰ τὴν*

---

31. Λουκᾶ 15,31.

11 Ἡ μακάρια ἐπίκληση τοῦ μεγάλου Θεοῦ καί Πατέρα καί ἡ ἐκφώνηση τοῦ «Εἷς Ἅγιος...» καί τά λοιπά, καθώς ἐπίσης καί ἡ μετάληψη τῶν ἁγίων καί ζωοποιῶν μυστηρίων δηλώνουν τήν υἱοθεσία, πού ἀπό καλοσύνη τοῦ Θεοῦ μας θ' ἁπλωθεῖ ἔπειτ' ἀπό ὅλα αὐτά σέ ὅλους τούς ἄξιους, τήν ἕνωση καί συνάφεια, τή θεϊκή ὁμοιότητα καί θέωσή μας. Μ' αὐτῆς τή δύναμη θά εἶναι ὁ ἴδιος ὁ Θεός τό πᾶν ἐξίσου σέ ὅλους πού σώζονται. Καθώς ἀρχέτυπη ὀμορφιά, ἀστράφτοντας αὐτοδύναμα μέσα σ' αὐτούς, πού μέ ζωή ἀρετῆς καί γνώσης ἀστράφτουν ὅμοια μ' ἐκεῖνον κατά δικό του χάρισμα.

12 Πιστούς κι ἐνάρετους καί γνωστικούς ὀνόμαζε ἐκείνους πού πρωτοέμπαιναν στῆν πίστη, ἐκείνους πού προχωροῦσαν καί τούς τέλειους· μ' ἄλλες λέξεις τούς δούλους, τούς μισθωτούς καί τούς γιούς, τίς τρεῖς τάξεις ἐκείνων πού σώζονται. Δοῦλοι εἶναι οἱ πιστοί πού ἀπό φόβο τῶν ἀπειλῶν ἐκτελοῦν τίς προσταγές τοῦ Κυρίου καί παιδεύονται καλοδιάθετα σ' ὅ,τι τούς ἔχει ὁ Κύριος ἐμπιστευθεῖ. Μισθωτοί, ὅσοι ἀπό τόν πόθο τῶν ὑποσχεμένων ἀγαθῶν σηκώνουν μ' ὑπομονή τό βάρος καί τήν κάψα τῆς ἡμέρας, (δηλαδή τή θλίψη τήν ἔμφυτη καί στόν ἴδιο ζυγό δεμένη μέ τή ζωή αὐτή ἐξαιτίας τῆς προπατορικῆς καταδίκης) καί τούς πειρασμούς της γιά χάρη τῆς ἀρετῆς· εἶναι ἀκόμη ὅσοι μέ δική τους σοφή γνώμη ἀλλάζουν ζωή μέ ζωή, τήν τωρινή μέ τή μελλοντική. Καί εἶναι γιοί, ἐκεῖνοι πού μήτε ἀπό τό φόβο τῶν ἀπειλῶν μήτε ἀπό τόν πόθο τῶν ὑποσχεμένων, ἀλλά μέ τόν τρόπο καί τήν ἕξη τῆς αὐτόγνωμης ψυχικῆς ροπῆς καί διάθεσης πρός τό ἀγαθό δέ χωρίζονται ἀπό τό Θεό ποτέ. Εἶναι ἡ περίπτωση τοῦ γιοῦ ἐκείνου, πού ἄκουσε τό λόγο· «παιδί μου, σύ εἶσαι πάντα μαζί μου καί τά δικά μου ὅλα εἶναι δικά σου»[31]. Αὐτό τό ἀποντοῦμε ἐμεῖς ἐνδεχόμενα, κατά τή θέση μας μέσα στή

*ἐν χάριτι θέσιν ἐνδεχομένως ὑπάρχοντες, ὅπερ ὁ Θεὸς κατὰ τὴν φύσιν καὶ αἰτίαν καὶ ἔστι καὶ πιστεύεται.*

13 *Μὴ τοίνυν ἀπολειφθῶμεν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τοσαῦτα κατὰ τὴν τῶν τελουμένων θείων συμβόλων ἁγίαν διάταξιν τῆς σωτηρίας ἡμῶν περιεχούσης μυστήρια, δι' ὧν ἕκαστον ἡμῶν καλῶς μάλιστα πολιτευόμενον ἀναλόγως ἑαυτῷ κατὰ Χριστὸν δημιουργοῦσα, τὸ δοθὲν διὰ τοῦ ἁγίου βαπτίσματος ἐν Πνεύματι ἁγίῳ χάρισμα τῆς υἱοθεσίας, εἰς φανέρωσιν ἄγει κατὰ Χριστὸν πολιτευόμενον· ἀλλὰ πάσῃ δυνάμει τε καὶ σπουδῇ παραστήσωμεν ἑαυτοὺς ἀξίους τῶν θείων χαρισμάτων, δι' ἔργων ἀγαθῶν εὐαρεστοῦντας τῷ Θεῷ· μὴ ἀναστρεφόμενοι «κατὰ τὰ ἔθνη, τὰ μὴ εἰδότα Θεόν, ἐν πάθει ἐπιθυμίας», ἀλλά, καθὼς φησιν ὁ ἅγιος Ἀπόστολος, «νεκρώσαντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι' ἃ ἔρχεται ἡ ὀργὴ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ὀργήν τε πᾶσαν καὶ θυμὸν καὶ αἰσχρολογίαν καὶ ψεῦδος»· καὶ συντόμως εἰπεῖν, πάντα τὸν «παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀποθέμενοι σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς ἐπιθυμίαις, ἀξίως τοῦ Θεοῦ περιπατήσωμεν, τοῦ καλέσαντος ἡμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν, ἐνδυσάμενοι σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραΰτητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς καὶ ὁ Κύριος ἐχαρίσατο ἡμῖν, ἐπὶ πᾶσί*

---

32. Α' Θεσ. 4,5.
33. Κολ. 3,5–9.
34. Ἐφ. 4,22.
35. Κολ. 3,9.

χάρη· ὁ Θεός τό ἔχει καί τό πιστεύομε ἀπό τή φύση του καί κατά λογική συνέπεια.

13 Ἄς μή λείψομε λοιπόν ἀπό τήν ἁγία Ἐκκλησία τοῦ Θεοῦ, ἀφοῦ παρέχει τόσο πλῆθος μυστηρίων γιά τήν σωτηρία μας κατά τῆν τάξη τῶν Θεϊκῶν συμβόλων πού ζωντανεύονται σ' αὐτή. Μ' αὐτά καθέναν ἀπό μᾶς, ὅταν μάλιστα ζεῖ σωστά, τόν ὁλοκληρώνει ἀνάλογα μέ τό χαρακτήρα του σύμφωνα μέ τό πρότυπο τοῦ Χριστοῦ καί – ἀποτέλεσμα ζωῆς χριστιανικῆς – ὁδηγεῖ στή φανέρωση τό δῶρο τῆς υἱοθεσίας πού δόθηκε μέ τό ἅγιο Βάπτισμα καί μέ τή χάρη τοῦ ἁγίου Πνεύματος. Ἄς παρουσιᾶσομε λοιπόν τούς ἑαυτούς μας μέ ὅλη τή δύναμη καί τήν προθυμία μας ἄξιους τῶν θεϊκῶν δωρεῶν κι ἄς εὐχαριστήσομε τό Θεό μέ τά καλά μας ἔργα. Ἄς μή ζοῦμε «ὅμοια μέ τούς ἐθνικούς πού μέσα στήν ἀρρῶστια τῆς ἐπιθυμίας δέ γνωρίζουν τό Θεό»[32]. Ἀλλά καθώς λέγει ὁ θεῖος Ἀπόστολος, «ἄς νεκρώσομε τά σαρκικά μέλη μας, τήν πορνεία, τήν ἀκαθαρσία, τό πάθος, τήν κακή ἐπιθυμία καί τήν πλεονεξία, πού εἶναι εἰδωλολατρία – γι' αὐτά ξεσπᾶ ἡ ὀργή ἐπάνω στούς γιούς τῆς ἀνυπακοῆς» – ἄς νεκρώσομε ἀκόμα «κάθε πάθος καί θυμό καί αἰσχρόλογο καί ψευτιά»[33]. Μ' ἕνα λόγο, ἄς ἀποθέσομε ὁλόκληρο τόν παλαιό ἄνθρωπο, πού καταστρέφεται παρασυρμένος ἀπό τήν ἐπιθυμία τῆς ἀπάτης[34] μαζί μέ τά ἔργα[35] καί τίς ἐπιθυμίες του κι ἄς περπατήσομε ἄξια στό θέλημα τοῦ Θεοῦ πού μᾶς κάλεσε στή βασιλεία καί στή δόξα του[36]. Ἄς φορέσομε τήν εὐσπλαχνία, τήν καλοσύνη, τήν ταπεινορφοσύνη, τήν πραότητα, τήν ὑπομονή. Ἄς ἀνεχόμαστε τούς ἄλλους μέ ἀγάπη[37] καί ἄς χαριζόμαστε σ' αὐτούς, ἄν ἔχομε κάποια ἀφορμή ἐναντίον τους, ὅπως καί ὁ Κύριος χαρίστηκε σ' ἐμᾶς. Ἄς διατηροῦμε

36. Α' Θεσ. 2,12. 37. Ἐφ. 4,2.

*τε τὸν σύνδεσμον τελειότητος, τὴν ἀγάπην καὶ τὴν εἰρήνην, εἰς ἣν καὶ ἐκλήθημεν ἐν ἑνὶ σώματι»· καί, ἵνα συνελὼν εἴπω, «τὸν νέον ἄνθρωπον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν».*

*14* *Οὕτω γὰρ ἂν βιοῦντες, δυνηθείημεν πρὸς τὸ τέλος ἐλθεῖν τῶν θείων ἐπαγγελιῶν, μετ' ἐλπίδος ἀγαθῆς «πληρωθῆναί τε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ καὶ πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ καρποφοροῦντες καὶ αὐξανόμενοι τῇ ἐπιγνώσει Κυρίου· ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν οἰκοδομὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς, εὐχαριστοῦντες τῷ Πατρί, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί».*

*15* *Σαφὴς δὲ τῆς χάριτος ταύτης ἐστὶν ἀπόδειξις ἡ πρὸς τὸ συγγενὲς δι' εὐνοίας ἑκούσιος συνδιάθεσις, ἧς ἔργον ἐστίν, ὡς Θεόν, οἰκειοῦσθαι κατὰ δύναμιν τὸν καθ' ὁτιοῦν τῆς ἡμῶν ἐπικουρίας δεόμενον ἄνθρωπον, καὶ μὴ ἐᾶν ἀτημέλητον καὶ ἀπρονόητον, ἀλλὰ σπουδῇ τῇ πρεπούσῃ κατ' ἐνέργειαν ἐνδείκνυσθαι ζῶσαν τὴν ἐν ἡμῖν πρός τε τὸν Θεὸν καὶ τὸν πλησίον διάθεσιν. Ἔργον γὰρ ἀπόδειξις διαθέσεως. Οὐδὲν γὰρ οὔτε πρὸς δικαιοσύνην οὕτω ῥᾴδιόν ἐστιν, οὔτε πρὸς θέωσιν (ἵν' οὕτως εἴπω) καὶ τὴν πρὸς Θεὸν ἐγγύτητα καθέστηκεν ἐπιτήδειον, ὡς ἔλεος ἐκ ψυχῆς εἰς τοὺς δεομένους μεθ' ἡδονῆς καὶ χαρᾶς προσφερόμενος. Εἰ γὰρ Θεὸν ὁ Λόγος τὸν εὖ παθεῖν δεόμενον ἔδειξεν,*

---

38. Κολ. 3,12–15.
39. Κολ. 3,9–10.

πάνω ἀπό ὅλα τό σύνδεσμο τῆς τελειότητας, τήν ἀγάπη καί τήν εἰρήνη, στήν ὁποία ἔχομε κληθεῖ, γιά ν' ἀποτελέσομε ἕνα σῶμα[38]. Ἄς φορέσομε, γιά νά μήν πολυλογῶ, τό νέο ἄνθρωπο, πού ἀνανεώνεται στήν ἐπίγνωση σύμφωνα μέ τήν εἰκόνα τοῦ Κτίστη του[39].

14 Μέ τέτοιο τρόπο ζωῆς θά μπορέσομε νά φτάσομε στό τέρμα τῶν θεϊκῶν ὑποσχέσεων μέ τήν ἀγαθή ἐλπίδα «νά ὁλοκληρωθεῖ ἡ ἐπίγνωση τοῦ θελήματός του, δίνοντας καρποφορία σέ κάθε σοφία καί φρόνηση πνευματική καί προοδεύοντας στήν ἐπίγνωση τοῦ Κυρίου. Ἐνισχυμένοι μέ κάθε ἰσχύ κατά τή δύναμη τῆς δόξας του γιά κάθε κατάρτιση καί χαρούμενη ὑπομονή θά εὐχαριστοῦμε τόν Πατέρα, πού μᾶς ἔκανε ἱκανούς νά μοιραστοῦμε μέσα στό φῶς τή μερίδα πού κληρώθηκε στούς Ἁγίους»[40].

15 Τῆς χάρης αὐτῆς φανερή ἀπόδειξη εἶναι ἡ αὐθόρμητη διάθεση ἀγάπης πρός ἐκείνους πού μοιραζόμαστε μαζί τους τήν ἴδια καταγωγή. Ἔργο της εἶναι νά κάνομε οἰκεῖο σ' ἐμᾶς, σά νά ἦταν ὁ Θεός, κατά δύναμη, ὅποιον συνάνθρωπό μας ἔχει σ' οτιδήποτε τήν ἀνάγκη μας· νά μήν τόν ἀφήνομε παραμελημένο καί δίχως φροντίδα· μέ τήν προθυμία πού πρέπει, νά δείχνομε ἔμπρακτα τήν ἐσωτερική μας διάθεση ζωντανή πρός τό Θεό καί πρός τόν ἀδελφό μας. Γιατί ἀπόδειξη τῆς διάθεσης εἶναι ἡ πράξη. Τίποτα δέν κάνει τόσο εὔκολο τό δρόμο πρός τή δικαιοσύνη, τίποτα δέν εἶναι τόσο ἐπιτήδειο γιά τή θέωση – γιά νά μιλήσω ἔτσι – καί γιά τήν προσέγγιση τοῦ Θεοῦ, ὅσο τό ἔλεος πού προσφέρεται ἀπό τό βάθος τῆς ψυχῆς μέ ἱκανοποίηση καί χαρά σέ ὅσους τό ἔχουν ἀνάγκη. Ὁ λόγος ἔδειξε ὅτι αὐτός πού ἔχει ἀνάγκη νά τόν εὐεργετήσομε εἶναι Θεός. Μή δέν εἶπε, «ὅσο πράξατε σ'

40. Κολ. 1,9–12.

*«ἐφ' ὅσον γὰρ ἐποιήσατε», φησίν, «ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε», Θεὸς δὲ ὁ εἰπών, πολλῷ μᾶλλον τὸ εὖ ποιεῖν δυνάμενον καὶ ποιοῦντα, δείξει ἀληθῶς κατὰ χάριν καὶ μέθεξιν ὄντα Θεόν, ὡς τὴν αὐτοῦ τῆς εὐεργεσίας εὐμιμήτως ἀνειλημμένον ἐνέργειάν τε καὶ ἰδιότητα. Καὶ εἰ Θεὸς ὁ πτωχός, διὰ τὴν τοῦ δι' ἡμᾶς πτωχεύσαντος Θεοῦ συγκατάβασιν, καὶ εἰς ἑαυτὸν ἑκάστου συμπαθῶς ἀναδεχομένου πάθη, καὶ μέχρι τῆς συντελείας τοῦ αἰῶνος, κατὰ τὴν ἀναλογίαν τοῦ ἐν ἑκάστῳ πάθους, αεὶ δι' ἀγαθότητα πάσχοντος μυστικῶς· πλέον δηλονότι κατὰ τὸν εἰκότα λόγον ἔσται Θεὸς ὁ κατὰ μίμησιν τοῦ Θεοῦ διὰ φιλανθρωπίαν τὰ τῶν παθόντων πάθη δι' ἑαυτοῦ θεοπρεπῶς ἐξιώμενος καὶ τὴν αὐτὴν τῷ Θεῷ, κατὰ ἀναλογίαν τῆς σωστικῆς προνοίας, κατὰ διάθεσιν ἔχων δεικνύμενος δύναμιν.*

*16* *Τίς οὖν ἄρα πρὸς ἀρετὴν οὕτω βραδύς ἐστι δυσκίνητος, ὥστε μὴ ἐφίεσθαι θεότητος, οὕτως εὐώνου τε καὶ εὐπορίστου καὶ ῥᾳδίας οὔσης τῆς κτήσεως; Ἀσφαλὴς δὲ τούτων ἐστὶ καὶ ἄσυλος φυλακὴ καὶ εὐμαρὴς πρὸς σωτηρίαν ὁδός, ἧς, οἶμαι, χωρὶς κατ' ἀλήθειαν οὐδὲν ἔσται τῶν ἀγαθῶν ἀβλαβῶς τῷ ἔχοντι συντηρούμενον· ἡ αὐτοπραγία, εἴτουν ἰδιοπραγία, δι' ἧς τὰ καθ' ἑαυτοὺς σκοπεῖν τε καὶ διασκέπτεσθαι μόνους μανθάνοντες, τοῦ παρ' ἄλλων διακενῆς βλάβην ἔχειν ἐλευθερούμεθα. Εἰ γὰρ ἑαυτοὺς μόνους ὁρᾶν τε καὶ ἐτάζειν μάθοιμεν, οὐδέποτε τοῖς τῶν ἄλλων, ὡς δ' ἂν ἔχοντα τύχωσιν, ἐπιθησόμεθα, γινώσκοντες ἕνα μόνον κριτὴν σοφόν τε καὶ δίκαιον τὸν Θεόν, τὸν σοφῶς τε καὶ δικαίως πάντα τὰ γινόμενα κρίνοντα, καθ' ὃν γε-*

---

41. Ματθ. 25,40.
42. Βλ. Β' Κορ. 8,9.

ἕναν ἀπό αὐτούς τούς ἀσήμαντους ἀδελφούς μου, τό πράξατε σ' ἐμένα»[41]; Αὐτός πού τό εἶπε εἶναι Θεός. Πολύ περισσότερο ἑπομένως, κι αὐτόν πού μπορεῖ νά εὐεργετήσει κι εὐεργετεῖ θά τόν παρτουσιάσει ἀληθινά πώς εἶναι Θεός κατά χάρη καί μετοχή, ἐπειδή ἀνέλαβε τήν ἄσκηση τῆς δικῆς του εὐεργετικότητας καί δέχτηκε τήν ἰδιότητα σάν καλός μιμητής. Κι ἄν εἶναι Θεός ὁ φτωχός ἀπό συγκατάβαση Θεοῦ[42], πού ἔγινε φτωχός γιά μᾶς καί δέχεται μέ ἀγάπη ἐπάνω στόν ἑαυτό του τά πάθη τοῦ καθενός μας κι ὥς τό τέλος τῆς ζωῆς αὐτῆς ἀνάλογα πρός τό τί ὑποφέρει καθένας θά ὑποφέρει πάντα κι ἐκεῖνος μυστικά ἀπό ἀγάπη, τότε γίνεται φανερό κατά φυσικό λόγο ὅτι περισσότερο θεός θά εἶναι αὐτός, πού μιμητής Θεοῦ, θεραπεύει ὅπως ὁ Θεός τά πάθη τῶν ἄλλων ἀπό φιλανθρωπία μέ δικό του πάθος καί δείχνει πώς ἔχει μέσα του κατ' ἀναλογία τήν ἴδια μέ τό Θεό δύναμη σωστικῆς πρόνοιας.

16 Ποιός λοιπόν εἶναι τάχα τόσο νωθρός κι ἀργοκίνητος, ὥστε νά μήν ἐπιθυμεῖ τή θέωση, ἐνῶ ἡ ἀπόκτησή της εἶναι τόσο λιγοέξοδη, εὔκολη καί ξεκούραστη; Ὑπάρχει γι' αὐτούς ἀσφαλισμένο κι ἀπαραβίαστο φυλακτήριο κι εὐρύχωρος διάδρομος γιά τή σωτηρία. Χωρίς αὐτή, νομίζω, καμιά στ' ἀλήθεια ἀρετή δέ θά διατηρηθεῖ ἀλώβητη, γιά ὅποιον τήν ἔχει ἐπιτύχει. Εἶναι ἡ αὐτοπραξία ἤ ἰδιοπραξία πού μαθαίνοντας ἀπ' αὐτή νά ἐξετάζομε καί νά συλλογιζόμαστε μόνοι μας ὅσα μᾶς ἀφοροῦν, ἐξασφαλιζόμαστε ἀπό τό νά πάθουμε ἄδικα ἀπό τούς ἄλλους κάποια ζημιά. Ἄν δηλαδή συνηθίσομε νά παρατηροῦμε καί νά ἐξετάζομε τόν ἑαυτό μας μόνο, ποτέ δέν θά ἐνοχληθοῦμε μέ ὅσα ἀνήκουν στούς ἄλλους, πῶς τάχα τά ἔχουν ἀποκτήσει. Θ' ἀναγνωρίζομε ἕνα μονάχα κριτή καί σοφό καί δίκαιο, τό Θεό, πού κρίνει μέ σοφία καί δικαιοσύνη ὅλα ὅσα γίνονται καί μάλιστα γιά ποιό

*γένηται λόγον, ἀλλ' οὐ καθ' ὃν πεφανέρωται τρόπον· ὃν ἴσως ἂν δύναιντο καὶ ἄνθρωποι κρίνειν, ἀμυδρῶς εἰς τὸ φαινόμενον βλέποντες, περὶ ὃ οὐ πάντως ἐστὶν ἡ ἀλήθεια, οὐδὲ τῶν γινομένων ὁ λόγος. Ὁ δὲ Θεός, τὸ ἀφανές τε κίνημα τῆς ψυχῆς καὶ τὴν ἀόρατον ὁρμὴν καὶ τὸν λόγον αὐτόν, καθ' ὃν ὥρμηται ἡ ψυχή, καὶ τὸν τοῦ λόγου,σκοπόν, τουτέστι, τὸ παντὸς πράγματος προεπινοούμενον τέλος βλέπων, κρίνει δικαίως, ὡς ἔφην, πάντα τὰ παρὰ τῶν ἀνθρώπων πραττόμενα, ὅπερ εἰ κατορθῶσαι σπουδάσομεν, καὶ ἑαυτοῖς ἑαυτοὺς περιορίσομεν τοῖς ἐκτὸς οὐκ ἐπιφυόμενοι, οὔτε ὁρᾶν, οὔτε ἀκούειν, οὔτε λαλεῖν, τὸν ὀφθαλμὸν ἢ τὸ οὖς ἢ τὴν γλῶσσαν τὰ τῶν ἄλλων ἀφήσομεν, εἰ μὲν οἷόν τέ ἐστι, παντελῶς· εἰ δὲ μήγε, συμπαθῶς μᾶλλον, ἀλλ' οὐ μὴ ἐμπαθῶς τούτοις ἐνεργεῖν, καὶ εἰς κέρδος ἡμέτερον ὁρᾶν τε καὶ ἀκούειν καὶ λαλεῖν ἐπιτρέποντες· καὶ τοσοῦτον μόνον, ὅσον τῷ ἡνιοχοῦντι ταῦτα θείῳ λόγῳ δοκεῖ. Οὐδὲν γὰρ τούτων τῶν ὀργάνων πρὸς ἁμαρτίαν ἐστὶν εὐολισθότερον, μὴ λόγῳ παιδαγωγουμένων· καὶ οὐδὲν πάλιν πρὸς σωτηρίαν αὐτῶν ἑτοιμότερον, τάσσοντος αὐτὰ τοῦ λόγου καὶ ῥυθμίζοντος καὶ ἐφ' ἃ δεῖ καὶ βούλεται ἄγοντος.*

17 *Μὴ τοίνυν ἀμελήσωμεν κατὰ δύναμιν τοῦ πείθεσθαι τῷ Θεῷ, καλοῦντι ἡμᾶς εἰς ζωὴν αἰώνιον καὶ μακάριον τέλος, διὰ τῆς ἐργασίας τῶν αὐτοῦ θείων τε καὶ σωτηρίων ἐντολῶν, ἵνα λάβωμεν ἔλεος καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. «Ἡ γὰρ χάρις», φησὶν ὁ θεῖος Ἀπόστολος, «μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ»· τουτέστι, τῶν μετὰ τῆς κατ' ἀρετὴν ἀφθαρσίας καὶ τῆς κατὰ τὸν βίον καθαρᾶς τε καὶ ἀνυποκρίτου σεμνότητος ἀγαπώντων τὸν*

---

43. Ἐφ. 6,2.

λόγο ἔχουν γίνει κι ὄχι μέ ποιό τρόπο μόνο ἐκδηλώνονται. Γιά τόν τρόπο μποροῦν ἴσως νά κρίνουν καί οἱ ἄνθρωποι παρατηρώντας ἀμυδρά τά φαινόμενα· ἀλλά βέβαια οὔτε ἡ ἀλήθεια οὔτε ἡ αἰτία ὅσων γίνονται βρίσκονται σ' αὐτά. Ὁ Θεός ὅμως βλέπει τή μυστική τῆς ψυχῆς κίνηση, τό ἀόρατο σάλεμα, τόν ἴδιο τό λόγο πού ἔγινε κίνητρο τῆς ψυχῆς καί τό σκοπό καί τό στόχο τοῦ λόγου, δηλαδή τό προστοχασμένο τέλος κάθε πράξης. Καί κρίνει δίκαια ὅπως εἶπα, ὅλα ὅσα πράττουν οἱ ἄνθρωποι. Τοῦτο ἄν ἐπιδιώξομε νά ἐπιτύχομε κι ἄν αὐτοπεριορίσομε τόν ἑαυτό μας κόβοντας ὁλότελα, ἄν μποροῦμε, τήν προσκόλλησή μας στά ἐξωτερικά κι ἄν δέν ἀφήνομε οὔτε τό μάτι νά βλέπει, οὔτε τό αὐτί ν' ἀκούει οὔτε τή γλώσσα νά μιλάει γιά τά ξένα πράγματα, ἔχει καλά. Ἀλλιῶς, ἄς τά χρησιμοποιοῦμε περισσότερο μέ συμπάθεια παρά μέ ἐμπάθεια καί νά τ' ἀφήνομε νά βλέπουν πρός ὄφελός μας καί ν' ἀκοῦν καί νά μιλοῦν. Καί πάλι τόσο μονάχα, ὅσο κρίνει ὁ θεῖος λόγος, πού ἡνιοχεῖ. Γιατί δέν γλιστρᾶ στήν ἁμαρτία τίποτ' ἄλλο περισσότερο ἀπό τά ὄργανα αὐτά, ἄν δέν τά παιδαγωγεῖ ὁ λόγος, καί τίποτα πάλι δέν εἶναι προτιμότερο ἀπ' αὐτά γιά τή σωτηρία, ὅταν ὁ λόγος τά βάζει σέ τάξη καί σειρά καί τά ὁδηγεῖ ὅπου πρέπει καί θέλει.

17 Ἄς μή δείξομε λοιπόν, στό μέτρο πού μποροῦμε, ἀμέλεια στό θέμα τῆς ὑπακοῆς μας στό Θεό, πού μᾶς καλεῖ σέ ζωή αἰώνια καί μακάριο τέλος μέ τήν ἐκτέλεση τῶν θεϊκῶν καί σωστικῶν ἐντολῶν του. Γιά νά δεχθοῦμε τήν εὐσπλαχνία του καί νά βροῦμε χάρη γιά μιά βοήθεια στήν κατάλληλη στιγμή· «Γιατί», λέγει ὁ θεῖος Ἀπόστολος, «ἡ χάρη ἄς ἀγκαλιάζει ὅλους ὅσους ἀγαποῦν τόν Κύριό μας Ἰησοῦ Χριστό ἀπαραποίητα»[43], θέλει νά πεῖ ὅσοι ἀγαποῦν τόν Κύριο χωρίς παραχάραξη τῶν ἀρετῶν, μέ τήν καθαρή κι ἀνυπόκριτη σεμνότητα τῆς ζωῆς τους κατά τήν ἐκτέλεση τῶν θελημάτων

*Κύριον, ἐν τῷ ποιεῖν αὐτοῦ τὰ θελήματα καὶ μὴ παραφθειρόντων τι τῶν θείων αὐτοῦ προσταγμάτων.*

18 *Ταῦτα μὲν ἐγὼ περὶ τούτων διὰ τὸν τῆς ὑπακοῆς μισθόν, κατὰ δύναμιν, ὡς ἐδιδάχθην, ἐξεθέμην, τῶν μυστικωτέρων τε καὶ ὑψηλοτέρων ἅψασθαι μὴ τολμήσας, ἅπερ εἰ ποθεῖ τις γνῶναι τῶν φιλομαθῶν, τοῖς περὶ τούτων τῷ ἁγίῳ Διονυσίῳ τῷ Ἀρεοπαγίτῃ ἐνθέως πονηθεῖσιν ἐντύχοι, καὶ εὑρήσει κατ' ἀλήθειαν μυστηρίων ἀρρήτων ἀποκάλυψιν, διὰ τῆς θείας αὐτοῦ καὶ διανοίας καὶ γλώττης χαρισθεῖσαν τῷ τῶν ἀνθρώπων γένει, «διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν». Καὶ εἰ μὲν πολὺ τῆς ὑμῶν ἐπιθυμίας οὐκ ἀποπέπτωκε, τῷ Χριστῷ χάρις τῷ χορηγῷ τῶν καλῶν, καὶ ὑμῖν τοῖς λεχθῆναι ταῦτα βιασαμένοις. Εἰ δὲ μακράν που καὶ πολὺ τῆς ἐλπίδος ἀπολείπεται· τί πάθω ἢ τί δράσω, περὶ τὸ λέγειν ἀσθενήσας; Συγγνωστὸν γὰρ οὐ τιμωρητὸν ἡ ἀσθένεια· καὶ ἀποδεκτὸν μᾶλλον, ἀλλ' οὐ μεμπτὸν τὸ ἐγχωροῦν καὶ ἐνδεχόμενον· καὶ μάλισθ' ὑμῖν, τοῖς ἀγαπᾶν διὰ τὸν Θεὸν προθεμένοις. Καὶ Θεῷ δὲ φίλον τὸ κατὰ δύναμιν ἅπαν γνησίως ἐκ ψυχῆς προσαγόμενον, κἂν μικρὸν συγκρίσει μεγάλων ὑπάρχον φανήσεται, ὅς οὐδὲ τὴν χήραν, τὰ δύο λεπτὰ προσκομίσασαν, ἀπεώσατο, ἥτις ποτὲ ἦν ἡ χήρα αὕτη καὶ τὰ δύο λεπτά· εἴτε ψυχὴ κακίας χηρεύουσα, καὶ ὥσπερ ἄνδρα τὸν παλαιὸν μὲν ἀποβαλομένη νόμον, οὔπω δὲ τῆς πρὸς τὸν Λόγον καὶ Θεὸν ἄκρας συναφείας ἀξία· προσάγουσα δὲ ὅμως αὐτῷ ἀρρα-*

44. Ἑβρ. 1,14.
45. Βλ. Μαρκ. 12,41–44 · Λουκᾶ 21,2–4.

του καί χωρίς νά παραποιοῦν στό παραμικρό τά θεϊκά προστάγματά του.

18 Αὐτά εἶχα κατά τήν μπόρεσή μου νά σάς ἐκθέσω σχετικά μέ τό θέμα μου, ὅπως τά διδάχθηκα, γιά νά ἔχω τό μισθό τῆς ὑπακοῆς. Δέν τόλμησα ν' ἀγγίξω σημεῖα μυστικότερα καί πιό ὑψηλά. Ἄν κάποιος ἀπό τούς φιλομαθεῖς ἐπιθυμεῖ νά τά γνωρίσει κι αὐτά, ἄς καταφύγει στά ἔνθεα ποιήματα τά σχετικά τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτη. Ἐκεῖ θά συναντήσει ἀληθινή ἀποκάλυψη ἀνείπωτων μυστηρίων χαρισμένη στό γένος τῶν ἀνθρώπων, ἀπό τή θεία αὐτή διάνοια καί τό θεῖο αὐτό στόμα, «γιά ὅσους εἶναι νά κληρονομήσουν τή σωτηρία»[44]. Ἄν οἱ σκέψεις μου δέν ἔχουν σταματήσει σέ μεγαλύτερη ἀπό ὅση ἀπόσταση ποθούσατε, εὐχαριστῶ τό Χριστό, χορηγό τῶν ἀγαθῶν, κι ἐσᾶς πού ἀσκήσατε βία γιά τή διατύπωσή τους. Ἄν ὅμως τή χωρίζει μεγάλη ἀπόσταση ἀπό τό σημεῖο τῆς προσδοκίας σας, τί πρέπει νά πάθω ἤ τί νά κάνω, ἔπειτ' ἀπό τήν ἀδυναμία μου στό λόγο; Ἡ ἀδυναμία εἶναι ἄξια συγγνώμης κι ὄχι τιμωρίας. Καί εἶναι πιό πολύ εὐπρόσδεκτο ἀπό ὅλους παρά ἀξιοκατηγόρητο ὅ,τι συμβαίνει στά μέτρα καί στίς δυνατότητές μας καί πιό πολύ ἀπό μέρος σας, πού ἔχετε στόχο σας τήν ἀγάπη γιά χάρη τοῦ Θεοῦ. Ἀλλά καί στό Θεό εἶναι ἀγαπητό ὅ,τι ἀποτελεῖ γνήσια κατά δύναμη προσφορά, μέσα ἀπό τήν ψυχή κι ἄς φαίνεται μικρή σέ σύγκριση μέ ἄλλες μεγάλες. Δέν ἀπομάκρυνε μήτε τή χήρα πού πρόσφερε τά δύο λεπτά της[45]· ὅποια κι ἄν ἦταν ἡ χήρα αὐτή. Μπορεῖ μ' αὐτή νά ὑποδηλώνεται ἡ ψυχή πού χηρεύει ἀπό τήν κακία καί πού ἔχει ἀποβάλει, σά νά ἦταν σύζυγός της, τόν παλαιό νόμο, δέν εἶναι ὅμως ἄξια γιά τήν τέλεια σχέση μέ τό Λόγο καί Θεό. Δέν παραλείπει ὡστόσο νά τοῦ προσφέρει σάν ἀρραβώνα τό δίλεπτο, τόν ὥς τότε δηλαδή μετρημένο στή φρόνηση λόγο καί βίο· ἤ τήν πίστη

*βῶνος λόγῳ ὥσπερ λεπτά, τὸν τέως σύμμετρον λόγον καὶ βίον· ἢ πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἢ τὴν περὶ τῶν καλῶν ἕξιν καὶ ἐνέργειαν, ἢ τὴν τούτοις πρόσφορον θεωρίαν καὶ πρᾶξιν, ἢ τὴν ἀνάλογον γνῶσιν καὶ ἀρετήν, ἢ τοὺς μικρὸν ὑπὲρ ταῦτα, φημὶ δὲ τοὺς ἐν τῷ φυσικῷ καὶ τῷ γραπτῷ νόμῳ λόγους, οὓς ἡ ψυχὴ κεκτημένη, κατ' ἔκστασιν τούτων καὶ ἄφεσιν ὡς ὅλου βίου καὶ ζωῆς, μόνῳ συναφθῆναι τῷ Λόγῳ καὶ Θεῷ βουλομένη, προσάγει· καὶ τῶν κατὰ φύσιν καὶ νόμον βιαίων τρόπων τε καὶ θεσμῶν καὶ ἐθῶν, ὥσπερ ἀνδρῶν χηρεύειν δέχεται· εἴτε τι ἄλλο τούτῳ πνευματκώτερον καὶ μόνοις θεωρητὸν τοῖς καθαροῖς τὴν διάνοιαν, διὰ τοῦ καθ' ἱστορίαν πληρωθέντος γράμματος ὁ λόγος αἰνίττεται. Πάντα γὰρ τῷ κατὰ θεολογίαν ἐποπτικῷ συγκρινόμενα λόγῳ, τὰ ἐν ἀνθρώποις δοκοῦντα κατ' ἀρετὴν εἶναι μεγάλα, μικρὰ τυγχάνει. Πλήν γε ὅτι κἂν μικρά, καὶ ἐξ ὕλης εὐτελοῦς καὶ οὐ πολὺ τιμίας· ἀλλ' οὖν τοῖς ἐκ χρυσοῦ νομίσμασι τῆς ἐν ὕλαις τιμιωτέρας, ἃ προσφέρουσιν οἱ εὐπορώτεροι, κατὰ τὸ ἴσον τὸν βασιλικὸν χαρακτῆρα φέροντα, κατὰ καὶ τὸ πλέον ἴσως ἔχοντα τῆς προσαγούσης τὴν ἐξ ὅλης διαθέσεως πρόθεσιν.*

*19* *Ταύτην κἀγὼ μιμούμενος τὴν χήραν, Θεῷ τε καὶ ὑμῖν, ἠγαπημένοι, τὰ μικρὰ ταῦτα καὶ εὐτελῆ καὶ ἐξ εὐτελοῦς καὶ πτωχῆς διανοίας καὶ γλώσσης προενηνεγμένα νοήματά τε καὶ ῥήματα ὥσπερ λεπτά, περὶ ὧν ἐκελεύσατε, προσενήνοχα, παρακαλῶν τὴν εὐλογημένην ὑμῖν καὶ ἁγίαν ψυχήν· πρῶτον μέν, μηδενὸς ἔτι τῶν παρ' ἐμοῦ λεγομένων ἔγγραφον ζητῆσαι σημείωσιν, δυοῖν ἕνεκεν· ἑνὸς μέν, ὅτι μηδέπω τὸν φόβον ἐκτησάμην τοῦ Θεοῦ τὸν ἁγνὸν καὶ διαμένοντα, οὐδ' ἀρετῆς ἕξιν στερέμνιον καὶ δικαιοσύνης ἀληθοῦς πῆξιν σταθερὰν καὶ ἀσάλευτον, τὰ μαρτυ-*

---

46. Βλ. Ψαλμ. 18,10.

καί τήν ἀγαθή συνείδηση· ἤ τή διάθεση γιά τά καλά καί τήν ἐκτέλεσή τους· ἤ τήν κατάλληλη γι' αὐτά θεωρία καί πράξη· ἤ τήν ἀνάλογή τους γνώση κι ἀρετή. Ἤ τοῦ προσφέρει τούς λίγο ἀνώτερους ἀπό αὐτά λόγους, ἐννοῶ ἐκείνους πού περικλείονται στό φυσικό καί γραπτό νόμο. Αὐτούς ὅταν τούς ἀποχτήσει ἡ ψυχή τούς προσφέρει, σέ ἔκσταση ἀπό ὅλα τοῦτα καί σάν μέ ἐγκατάλειψη ὅλης τῆς ζωῆς καί τῆς ὕπαρξης, ἐπιθυμώντας νά ἑνωθεῖ μέ τό Λόγο καί μόνο Θεό. Καί δέχεται νά χωρήσει, ὅπως ἀπό συζύγους, ἀπό ὅλες τίς βίαιες ἐκδηλώσεις κι ἀντιλήψεις κι ἔθιμα πού πηγάζουν εἴτε ἀπό τή φύση εἴτε ἀπό τό νόμο. Εἴτε ὁ θεῖος λόγος κάνει ὑπαινιγμό, μέ τό γράμμα του πού βρῆκε τήν ἱστορική του πλήρωση, γιά κάτι ἀκόμα πνευματικότερο ἀπό ὅλα αὐτά, πού μόνο οἱ καθαροί στό νοῦ ἀντικρύζουν. Ὅταν συγκριθοῦν μέ τόν ἐποπτικό θεολογικό λόγο, ὅλα πού νομίζουν οἱ ἄνθρωποι ὅτι ἔχουν μέγεθος ἀρετῆς, φαίνονται μικρά. Κι ἄν ὅμως εἶναι μικρά κι ἀπό ὑλικό κι ὄχι πολύ ἀκριβό, ἔχουν ὡστόσο ἐξίσου μέ τά νομίσματα ἀπό χρυσάφι, πού εἶναι τό πολυτιμότερο στοιχεῖο καί τό προσφέρουν οἱ πιό πλούσιοι, ἔχουν τή βασιλική σφραγίδα, ἔχουν ἴσως κάτι περισσότερο, τήν ὁλόψυχη προαίρεση ἐκείνης πού τά προσφέρει.

19 Τῆς χήρας αὐτῆς κι ἐγώ μιμητής, πρόσφερα στό Θεό καί σ' ἐσᾶς, ἀγαπημένοι μου, ἀπό μηδαμινή καί φτωχική διάνοια καί γλώσσα τούς ἀσήμαντους καί μηδαμινούς αὐτούς στοχασμούς καί λόγους, καθώς λεπτά, ὅπως μοῦ ζητήσατε. Παρακαλῶ τήν εὐλογημένη κι ἅγια ψυχή σας γιά τίποτα πιά ἀπό ὅσα λέγω νά μή μοῦ ζητήσετε γραπτή διατύπωση γιά δύο λόγους: ἕνα, γιατί δέν ἀπόχτησα ἀκόμα τό φόβο τοῦ Θεοῦ, τόν ἅγιο καί μόνιμο[46], οὔτε τῆς ἀρετῆς τή στέρεη διάθεση οὔτε τῆς ἀληθινῆς δικαιοσύνης τή στεθερή κι ἀσάλευτη παγίωση, πού ἀποτελοῦν ἰσχυρή μαρτυρία γιά τή βεβαιό-

*ροῦντα μάλιστα τοῖς λόγοις τὸ βέβαιον· ἑτέρου δέ, ὅτι πολλῷ κλύδωνι παθῶν ἔτι δίκην θαλάσσης ἀγρίας περιδονούμενος, καὶ πολὺ τοῦ θείου ἀπαθείας ἀπέχων λιμένος, καὶ ἄδηλον ἔχων τοῦ βίου τὸ πέρας, οὐ βούλομαι πρὸς τοῖς ἔργοις καὶ τὸν ἐν γράμμασι λόγον ἔχειν κατήγορον. Ἔπειτα δὲ τῆς εὐπειθείας χάριν, εἰ δέον ἐστίν, ἀποδεξάμεοι, Χριστῷ με δι' εὐχῶν παράθεσθε, τῷ μεγάλῳ καὶ μόνῳ Θεῷ καὶ Σωτῆρι τῶν ἡμετέρων ψυχῶν.*

*Ὧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.*

τητα τῶν λόγων. Κι ἄλλον, γιατί δαρμένος ἀκόμα ἀπό τήν τρικυμία τῶν παθῶν, σάν ἀπό θάλασσα ἄγρια, μακριά ἀκόμα πολύ ἀπό τό θεϊκό λιμάνι τῆς γαλήνης, μέ τό τέλος τῆς ζωῆς ἀδιευκρίνιστο, δέ θέλω ἐκτός ἀπό τά ἔργα μου νά ἔχω κατήγορο καί τό γραφτό λόγο. Παρακαλῶ, δεύτερο, γιά χάρη πρόθυμης ὑπακοῆς, ἄν εἶναι σωστό, νά ἀκούσετε καί νά μ' ἐμπιστευθεῖτε στό Χριστό μέ τήν προσευχῆ σας, στό μεγάλο καί μοναδικό Θεό καί Σωτήρα τῶν ψυχῶν μας.

Σ' αὐτόν ἀνήκει ἡ δόξα καί ἡ δύναμη μαζί μέ τόν Πατέρα καί τό ἅγιο Πνεῦμα στούς αἰῶνες. Ἀμήν.



# ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

## ΠΡΟΣ ΕΛΠΙΔΙΟΝ

### *ΠΡΟΛΟΓΟΣ*

1 *Ἰδοὺ πρὸς τῷ Περὶ Ἀσκητιοῦ βίου λόγῳ, καὶ τὸν Περὶ Ἀγάπης λόγον πέπομφα τῇ σῇ τιμιότητι, πάτερ Ἐλπίδιε, ἐν ἰσαρίθμοις κεφαλαίοις τῶν τεσσάρων Εὐαγγελίων ἑκατοντάσιν· οὐδὲν μὲν ἴσως ἄξιον τῆς σῆς προσδοκίας, τῆς δέ γε ἡμετέρας δυνάμεως οὐκ ἔλαττον. Πλὴν γινωσκέτω ἡ σὴ ἁγιωσύνη, ὅτι οὐδὲ ταῦτα εἰσὶ τῆς ἐμῆς γεώργια διανοίας, ἀλλὰ τοὺς τῶν ἁγίων Πατέρων διελθὼν λόγους, κἀκεῖθεν τὸν εἰς τὴν ὑπόθεσιν συντείνοντα νοῦν ἀναλεξάμενος· καὶ ἐν ὀλίγοις πολλὰ κεφαλαιωδέστερον συναγαγών, ἵνα εὐσύνοπτα γένωνται διὰ τὸ εὐμνημόνευτον, ἀπέστειλα τῇ σῇ ὁσιότητι, παρακαλῶν εὐγνωμόνως ἀναγινώσκειν, καὶ μόνην θηρεύειν τὴν ἐν αὐτοῖς ὠφέλειαν, τὸ δὲ ἀκαλλὲς τῶν λέξεων παραβλέπειν, καὶ εὔχεσθαι ὑπὲρ τῆς ἡμῶν μετριότητος, τῆς πάσης πνευματικῆς ὠφελείας ἐρήμου.*

2 *Παρακαλῶ δὲ καὶ τοῦτο, μὴ εἰς ὄχλησιν ἡγῆσθαι τὰ γεγραμμένα. Ἐπιταγὴν γὰρ πεπλήρωκα. Λέγω δὲ τοῦτο, ἐπειδὴ οἱ λόγοις ἐνοχλοῦντες πολλοί ἐσμεν σήμερον, οἱ δὲ ἔργοις παιδεύοντες, ἢ καὶ παιδευόμενοι, πάνυ εἰσὶν ὀλίγοι. Ἀλλὰ μᾶλλον ἐμπόνως προσέχειν ἑκάστῳ τῶν κεφαλαίων. Οὐ πάντα γὰρ πᾶσιν,*

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΠΡΟΣ ΕΛΠΙΔΙΟ

### ΠΡΟΛΟΓΟΣ

Νά, πάτερ Ἐλπίδιε, ἐκτός ἀπό τό λόγο περί Ἀσκητικοῦ βίου ἔστειλα στήν τιομιότητά σου καί τό λόγο περί Ἀγάπης, σέ ἑκατοντάδες κεφαλαίων ἰσάριθμες μέ τά τέσσερα Εὐαγγέλια, πού ἴσως δέν εἶναι καθόλου ἰσάξιες μέ τίς προσδοκίες σου, ὁπωσδήποτε ὅμως δέν εἶναι κατώτερες ἀπό τίς πνευματικές μου δυνάμεις. Πλήν ὅμως ἄς γνωρίζει ἡ ἁγιωσύνη σου, ὅτι οὔτε αὐτά εἶναι προϊόντα τῆς διάνοιάς μου, ἀλλ', ἀφοῦ μελέτησα τούς λόγους τῶν ἁγίων Πατέρων, διάλεξα ἀπό ἐκεῖ τίς σκέψεις πού συμβάλλουν στήν πραγματοποίηση αὐτῆς τῆς ὑποθέσεως, καί ἔτσι συγκέντρωσα μέ συντομία μέσα σέ λίγα πολλά, γιά νά γίνουν πιό εὐκολοκατανόητα μνημονευόμενα εὐκολότερα, καί τά ἔστειλα στήν ὁσιότητά σου, παρακαλώντας την νά τά διαβάζει μέ ὅλη τήν ἀγαθή διάθεσή της καί νά συλλέγει μέσα ἀπ' αὐτά μόνο τήν ὠφέλεια, νά παραβλέπει τό ἀπερίτεχνο τῶν λέξεων καί νά εὔχεται γιά τή δική μου ταπεινότητα, πού εἶναι γυμνή ἀπό κάθε πνευματική ὠφέλεια.

Παρακαλῶ ἀκόμη τήν ὁσιότητά σου καί αὐτό, νά μή θεωρήσει τά γραφόμενα ἐνοχλητικά. Διότι ἐντολή ἐκπλήρωσα. Καί τό λέγω αὐτό, ἐπειδή σήμερα πολλοί εἶναι ἐκεῖνοι πού ἐνοχλοῦν μέ λόγους, ἐνῶ πάρα πολύ λίγοι εἶναι ἐκεῖνοι πού διδάσκουν ἤ διδάσκονται ἔμπρακτα. [illegible]

*ὡς οἶμαι, εἰσὶν εὔληπτα, ἀλλὰ καὶ πολλῆς τὰ πολλὰ τοῖς πολλοῖς δεόμενα τῆς συνεξετάσεως, εἰ καὶ δοκεῖ ἁπλούστερον εἰρῆσθαι. Ἴσως καὶ ἄν τι φανείη χρήσιμον τῇ ψυχῇ ἐξ αὐτῶν ἀνακαλυπτόμενον. Ἀναφανήσεται δὲ πάντως Θεοῦ χάριτι, τῷ ἀπεριέργοις ἐννοίαις καὶ μετὰ φόβου Θεοῦ καὶ ἀγάπης ἀναγιγνώσκοντι. Τῷ δὲ μὴ ὠφελείας χάριν πνευματικῆς ἐντυγχάνοντι, ἢ τούτῳ τῷ πονήματι, ἢ καὶ ἄλλῳ οἱῳδήποτε, ἀλλὰ τοῦ λέξεις θηρεύειν πρὸς τὸ κακίζειν τὸν συγγραψάμενον, ἵνα σεαυτὸν ἐκείνου σοφώτερον δῆθεν, ὡς οἰηματίας παραστήσῃ, οὐδὲνοὐδέποτε ἀναφανήσεται.*



ἀπό τά κεφάλαια μέ περισσότερο κόπο. Διότι, ὅπως νομίζω, δέν εἶναι ὅλα κατανοητά σ' ὅλους, ἀλλά καί πολλά ἀπ' αὐτά χρειάζονται γιά τούς πολλούς καί μεγάλη ἀπό κοινοῦ ἐξέταση, ἄν καί φαίνονται ὅτι ἔχουν λεχθεῖ ἁπλούστερα. Ἴσως θά μποροῦσε νά φανεῖ κάτι, ἀποκαλυπτόμενο μέσα ἀπ' αὐτά, χρήσιμο γιά τήν ψυχή. Ὁπωσδήποτε δέ θά φανεῖ χρήσιμο μέ τή χάρη τοῦ Θεοῦ σ' ἐκεῖνον πού τά διαβάζει μέ ἀπερίεργες σκέψεις καί μέ φόβο Θεοῦ καί ἀγάπη. Ὅμως σ' ἐκεῖνον πού δέν διαβάζει πρός πνευματική ὠφέλεια, ἤ αὐτό τό πόνημα, ἤ καί ὁποιοδήποτε ἄλλο, ἀλλά μέ σκοπό νά συγκεντρώσει λέξεις γιά νά κατηγορήσει ἐκεῖνον πού τό ἔγραψε, καί ἔτσι νά παρουσιάσει τάχα τόν ἑαυτό του, σάν ἀλαζόνας, πιό σοφό ἀπό ἐκεῖνον, κανένα ὠφέλιμο ποτέ δέν θά προκύψει σ' αὐτόν ἀπό πουθενά.



## *ΚΕΦΑΛΑΙΑ*

# *ΠΕΡΙ ΑΓΑΠΗΣ*

### *ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ*

1 *Ἀγάπη μέν ἐστιν, διάθεσις ψυχῆς ἀγαθή, καθ' ἣν οὐδὲν τῶν ὄντων, τῆς τοῦ Θεοῦ γνώσεως προτιμᾷ. Ἀδύνατον δὲ εἰς ἕξιν ἐλθεῖν ταύτης τῆς ἀγάπης, τὸν πρός τι τῶν ἐπιγείων ἔχοντα προσπάθειαν.*

2 *Ἀγάπην μὲν τίκτει ἀπάθεια, ἀπάθειαν δέ, ἡ εἰς Θεὸν ἐλπίς· τὴν δὲ ἐλπίδα, ὑπομονὴ καὶ μακροθυμία· ταύτας δέ, ἡ περιεκτικὴ ἐγκράτεια· ἐγκράτειαν δέ, ὁ τοῦ Θεοῦ φόβος· τὸν δὲ φόβον, ἡ εἰς τὸν Κύριον πίστις.*

3 *Ὁ πιστεύων τῷ Κυρίῳ, φοβεῖται τὴν κόλασιν· ὁ δὲ φοβούμενος τὴν κόλασιν, ἐγκρατεύεται ἀπὸ τῶν παθῶν, ὑπομένει τὰ θλιβερά· ὁ δὲ ὑπομένων τὰ θλιβερὰ, ἕξει εἰς Θεὸν ἐλπίδα· ἡ δὲ εἰς Θεὸν ἐλπὶς χωρίζει πάσης γήϊνης προσπαθείας τὸν νοῦν· ταύτης δὲ ὁ νοῦς χωρισθείς, ἕξει τὴν εἰς Θεὸν ἀγάπην.*

4 *Ὁ ἀγαπῶν τὸν Θεόν, πάντων τῶν ὑπ' αὐτοῦ γεγονότων προτιμᾷ τὴν γνῶσιν αὐτοῦ, καὶ διαλείπτως διὰ τοῦ πόθου ταύτῃ προσκαρτερεῖ.*

5 *Εἰ πάντα τὰ ὄντα διὰ τοῦ Θεοῦ καὶ διὰ τὸν Θεὸν γέγονε, κρείττων δὲ ὁ Θεὸς τῶν δι' αὐτοῦ γεγονότων, ὁ καταλιμπάνων*

## ΚΕΦΑΛΑΙΑ

# Π Ε Ρ Ι   Α Γ Α Π Η Σ

### ΕΚΑΤΟΝΤΑΔΑ ΠΡΩΤΗ

1 Ἀγάπη εἶναι ἡ ἀγαθή διάθεση τῆς ψυχῆς, κατά τήν ὁποία αὐτή κανένα ἀπό τά ὑλικά πράγματα δέν προτιμᾶ μπροστά στή γνώση τοῦ Θεοῦ. Καί εἶναι ἀδύνατο νά ἀποκτήσει τήν ἀγάπη αὐτή ἐκεῖνος πού προσηλώνεται μέ πάθος σέ κάποιο ἀπό τά ἐπίγεια ὑλικά.

2 Τήν ἀγάπη γεννᾶ ἡ ἀπάθεια, τήν ἀπάθεια γεννᾶ ἡ ἐλπίδα πρός τό Θεό, τήν ἐλπίδα πρός τό Θεό γεννᾶ ἡ ὑπομονή καί ἡ μακροθυμία, ὅλες αὐτές δέ τίς γεννᾶ ἡ ἐγκράτεια πού περιέχει αὐτές· τήν ἐγκράτεια πάλι τήν γεννᾶ ὁ φόβος τοῦ Θεοῦ, τόν δέ φόβο τοῦ Θεοῦ τόν γεννᾶ ἡ πίστη πρός τόν Κύριο.

3 Ἐκεῖνος πού πιστεύει στόν Κύριο φοβᾶται τήν κόλαση, ἐνῶ ἐκεῖνος πού φοβᾶται τήν κόλαση δείχνει ἐγκράτεια πρός τά πάθη. Ἐκεῖνος πού δείχνει ἐγκράτεια πρός τά πάθη ὑπομένει τά θλιβερά, ἐνῶ ἐκεῖνος πού ὑπομένει τά θλιβερά θά ἔχει τήν ἐλπίδα πρός τό Θεό. Ἡ ἐλπίδα πρός τό Θεό ἀπομακρύνει τό νοῦ ἀπό κάθε προσήλωση στά γήϊνα, ἀφοῦ δέ ἀπομακρυνθεῖ ὁ νοῦς ἀπό αὐτά, θά ἔχει τήν ἀγάπη πρός τό Θεό.

4 Ἐκεῖνος πού ἀγαπᾶ τό Θεό προτιμᾶ ἀπό ὅλα ἐκεῖνα πού ἔχουν γίνει ἀπ' αὐτόν τή γνώση αὐτοῦ, καί εἶναι ἀδιάκοπα προσκολλημένος μέ πόθο σ' αὐτήν.

5 Ἐάν ὅλα τά ὄντα ἔγιναν ἀπό τό Θεό καί γιά τό Θεό, ὁ δέ Θεός εἶναι ἀνώτερος ἀπό αὐτά πού ἔχουν γίνει ἀπ' αὐτόν, ἐκεῖνος πού ἐγκαταλείπει τό Θεό τόν ἀσύγκριτα ἀνώτερο καί

*τὸν Θεὸν τὸν ἀσυγκρίτως κρείττονα καὶ τοῖς χείροσιν ἐνασχολούμενος, δείκνυσιν ἑαυτὸν προτιμῶντα τοῦ Θεοῦ τὰ δι' αὐτοῦ γεγονότα.*

6 *Ὁ τῇ εἰς Θεὸν ἀγάπῃ τὸν νοῦν ἔχων προσηλωμένον, πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος, ὡς ἀλλοτρίου καταφρονεῖ.*

7 *Εἰ κρείττων τοῦ σώματος ἡ ψυχή, καὶ κρείττων τοῦ κόσμου ἀσυγκρίτως ὁ κτίσας αὐτὸν Θεός, ὁ προτιμῶν τῆς ψυχῆς τὸ σῶμα, καὶ τοῦ Θεοῦ τὸν ὑπὸ αὐτοῦ κτισθέντα κόσμον, οὐδὲν τῶν εἰδωλολατρούντων διενήνοχεν.*

8 *Ὁ τὸν νοῦν τῆς εἰς Θεὸν ἀγάπης καὶ προσεδρείας ἀποχωρίσας, καί τινι τῶν αἰσθητῶν προσδεδεμένον ἔχων, οὗτός ἐστι ὁ προτιμῶν τῆς ψυχῆς τὸ σῶμα, καὶ τοῦ κτίσαντος Θεοῦ, τὰ ὑπ' αὐτοῦ γεγονότα.*

9 *Εἰ ἡ ζωὴ τοῦ νοῦ ὁ φωτισμός ἐστι τῆς γνώσεως, τοῦτον δὲ ἡ εἰς Θεὸν ἀγάπη τίκτει, καλῶς. Οὐδέν τῆς θείας ἀγάπης, εἴρηται, μεῖζον.*

10 *Ὅταν τῷ ἔρωτι τῆς ἀγάπης πρὸς Θεὸν ὁ νοῦς ἐκδημῇ, τότε οὔτε ἑαυτοῦ οὔτε τινὸς τῶν ὄντων παντάπασι ἐπαισθάνεται. Ὑπὸ γὰρ τοῦ θείου καὶ ἀπείρου φωτὸς καταλαμπόμενος, ἀναισθητεῖ πρὸς πάντα τὰ ὑπ' αὐτοῦ γεγονότα, καθάπερ καὶ ὁ αἰσθητὸς ὀφθαλμὸς πρὸς τοὺς ἀστέρας, τοῦ ἡλίου ἀνατέλλοντος.*

11 *Πᾶσαι μὲν αἱ ἀρεταὶ συνεργοῦσι τῷ νῷ πρὸς τὸν θεῖον ἔρωτα, πλέον δὲ πάντων ἡ καθαρὰ προσευχή. Διὰ ταύτης γὰρ πρὸς τὸν Θεὸν πτερούμενος, ἔξω γίνεται πάντων τῶν ὄντων.*

ἀσχολεῖται μέ τά κατά πολύ κατώτερα, δείχνει τόν ἑαυτό του νά προτιμᾶ περισσότερο ἀπό τό Θεό ἐκεῖνα πού ἔγιναν ἀπ' αὐτόν.

6 Ἐκεῖνος πού ἔχει προσηλωμένο τό νοῦ στήν ἀγάπη πρός τό Θεό περιφρονεῖ ὅλα τά ὁρατά καί τό ἴδιο τό σῶμα του σάν ξένο.

7 Ἐάν ἡ ψυχή εἶναι ἀνώτερη ἀπό τό σῶμα καί ἀσύγκριτα ἀνώτερος ἀπό τόν κόσμο εἶναι ὁ Θεός πού ἔκτισε αὐτόν, ἐκεῖνος πού προτιμᾶ τό σῶμα περισσότερο ἀπό τήν ψυχή, καί τόν κόσμο πού κτίσθηκε ἀπό τό Θεό περισσότερο ἀπό τό Θεό, δέν διαφέρει καθόλου ἀπό ἐκείνους πού προσκυνοῦν τά εἴδωλα.

8 Ἐκεῖνος πού ἀπομάκρυνε τό νοῦ του ἀπό τήν ἀγάπη πρός τό Θεό καί τόν ἔχει προσδεμένο σέ κάποιο ἀπό τά αἰσθητά, αὐτός εἶναι ἐκεῖνος πού προτιμᾶ τό σῶμα περισσότερο ἀπό τήν ψυχή, καί ἐκεῖνα πού ἔγιναν ἀπό τό Θεό περισσότερο ἀπό τό Θεό πού τά ἔκτισε.

9 Ἐάν ἡ ζωή εἶναι ὁ φωτισμός τῆς γνώσεως τοῦ νοῦ, αὐτόν δέν τόν γεννᾶ ἡ ἀγάπη πρός τόν Θεό, πολύ καλά ἔχει λεχθεῖ, ὅτι δέν ὑπάρχει τίποτε μεγαλύτερο ἀπό τή θεία ἀγάπη.

10 Ὅταν ὁ νοῦς ζεῖ μέ τόν ἔρωτα τῆς ἀγάπης πρός τό Θεό, τότε δέν αἰσθάνεται οὔτε τόν ἑαυτό του οὔτε κανένα ἐξ ὁλοκλήρου ἀπό τά πράγματα τοῦ κόσμου. Διότι, καταφωτιζόμενος ἀπό τό θεῖο καί ἄπειρο φῶς, παραμένει ἀσυγκίνητος πρός ὅλα ἐκεῖνα πού ἔγιναν ἀπ' αὐτόν, ὅπως ἀκριβῶς καί ὁ αἰσθητός ὀφθαλμός μένει ἀδιάφορος πρός τά ἀστέρια ὅταν ἀνατείλει ὁ ἥλιος.

11 Ὅλες οἱ ἀρετές βοηθοῦν τό νοῦ στόν ἔρωτα πρός τό Θεό, περισσότερο ὅμως ἀπό ὅλες ἡ καθαρή προσευχή. Διότι, πετώντας κανείς μέ αὐτήν πρός τό Θεό, μεταφέρεται ἔξω ἀπό ὅλα τά πράγματα τοῦ κόσμου.

12 *Ὅταν διὰ τῆς ἀγάπης ὑπὸ τῆς θείας γνώσεως ὁ νοῦς ἁρπαγῇ, καὶ ἔξω γενόμενως τῶν ὄντων, τῆς θείας ἐπαισθάνηται ἀπειρίας, τότε, κατὰ τὸν θεῖον Ἡσαΐαν, ὑπὸ ἐκπλήξεως εἰς συναίσθησιν ἐλθὼν τῆς ἑαυτοῦ ταπεινώσεως, μετὰ διαθέσεως λέγει τὰ τοῦ προφήτου ρήματα· «ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ κατοικῶ, καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου».*

13 *Ὁ ἀγαπῶν τὸν Θεὸν οὐ δύναται μὴ καὶ πάντα ἄνθρωπον ὡς ἑαυτὸν ἀγαπῆσαι, εἰ καὶ πρὸς τὰ πάθη δυσχεραίνει τῶν μήπω κεκαθαρμένων. Διὸ καὶ τὴν ἐπιστροφὴν αὐτῶν βλέπων καὶ τὴν διόρθωσιν, ἀμετρήτῳ καὶ ἀνεκλαλήτῳ χαίρει χαρᾷ.*

14 *Ἀκάθαρτός ἐστι ψυχὴ ἐμπαθής· λογισμῶν ἐπιθυμίας καὶ μίσους πεπληρωμένη.*

15 *Ὁ ἴχνος μίσους βλέπων ἐν τῇ ἑαυτοῦ καρδίᾳ διὰ οἱονδήποτε πταῖσμα πρὸς τὸν οἱονδήποτε ἄνθρωπον, ἀλλότριος τυγχάνει πάμπαν τῆς εἰς Θεὸν ἀγάπης· διότι ἡ εἰς Θεὸν ἀγάπη, τοῦ εἰς ἄνθρωπον μίσους παντελῶς οὐκ ἀνέχεται.*

16 *«Ὁ ἀγαπῶν με», φησὶν ὁ Κύριος, «τὰς ἐντολάς μου τηρήσει». «Αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους». Ὁ οὖν μὴ ἀγαπῶν τὸν πλησίον, τὴν ἐντολὴν οὐ τηρεῖ, ὁ δὲ τὴν ἐντολὴν μὴ τηρῶν, οὐδὲ τὸν Κύριον ἀγαπῆσαι δύναται.*

17 *Μακάριος ἄνθρωπος, ὁ πάντα ἄνθρωπον ἐξ ἴσου ἀγαπῆσαι δυνηθείς.*

18 *Μακάριος ἄνθρωπος, ὁ μηδενὶ πράγματι φθαρτῷ ἢ προσκαίρῳ προσκείμενος.*

---

1. Ἡσ. 6,5. 2. Ἰω. 14,15. 3. Ἰω. 15,12.

12 Ὅταν ὁ νοῦς μέ τήν ἀγάπη πρός τό Θεό ἁρπαχτεῖ ἀπό τή θεία γνώση καί, βρισκόμενος ἔξω ἀπό τά πράγματα τοῦ κόσμου, αἰσθάνεται τό ἄπειρο τοῦ Θεοῦ, τότε ἐρχόμενος, σύμφωνα μέ αὐτά πού λέγει ὁ θεῖος Ἠσαΐας, ἀπό τήν ἔκπληξή του αὐτή σέ συναίσθηση τῆς ταπεινώσεώς του, μέ ὅλη του τήν ψυχική προθυμία λέγει τά λόγια τοῦ προφήτη· «ἀλλοίμονο σ' ἐμένα τόν ταλαίπωρο· ἔχω κυριευθεῖ ἀπό τόση βαθειά συγκίνηση· διότι, ἐνῶ εἶμαι ἄνθρωπος καί ἔχω ἀκάθαρτα χείλη, ἀξιώθηκα νά δῶ μέ τά μάτια μου τόν βασιλιά καί Κύριο τῶν οὐρανίων δυνάμεων»[1].

13 Ἐκεῖνος πού ἀγαπᾶ τό Θεό δέν εἶναι δυνατό νά μήν ἀγαπήσει καί κάθε ἄνθρωπο σάν τόν ἑαυτό του, ἄν καί δυσκολεύεται ἀπό τά πάθη ἐκεῖνα πού δέν ἔχουν ἀκόμα καθαρισθεῖ. Γι' αὐτό, βλέποντας καί τήν ἐπιστροφή του ἀπό αὐτά καί τή διόρθωσή του, νιώθει ἀμέτρητη καί ἀπερίγραπτη χαρά.

14 Ἡ ψυχή πού εἶναι κυριευμένη ἀπό πάθη εἶναι ἀκάθαρτη· διότι εἶναι γεμάτη ἀπό λογισμούς ἐπιθυμίας καί μίσους.

15 Ἐκεῖνος πού βλέπει ἴχνος μίσους μέσα στήν καρδιά του γιά ὁποιοδήποτε πταῖσμα πρός τόν ὁποιοδήποτε ἄνθρωπο, εἶναι ξένος ἐξ ὁλοκλήρου τῆς ἀγάπης πρός τό Θεό· διότι ἡ ἀγάπη πρός τό Θεό δέν ἀνέχεται τελείως τό μίσος πρός τόν ἄνθρωπο.

16 «Ἐκεῖνος πού μέ ἀγαπᾶ», λέγει ὁ Κύριος, «θά τηρήσει τίς ἐντολές μου»[2]. «Αὐτή εἶναι ἡ ἐντολή ἡ δική μου, τό ν' ἀγαπᾶτε ὁ ἕνας τόν ἄλλο»[3]. Ἐκεῖνος λοιπόν πού δέν ἀγαπᾶ τόν πλησίον του, δέν τηρεῖ τήν ἐντολή αὐτή. Ἐκεῖνος δέ πού δέν τηρεῖ τήν ἐντολή αὐτήν, δέν εἶναι δυνατόν ν' αγαπήσει οὔτε τόν Κύριο.

17 Μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος πού μπόρεσε ἐξ ἴσου ν' ἀγαπήσει τόν κάθε ἄνθρωπο.

18 Μακάριος εἶναι ὁ ἄνθρωπος ἐκεῖνος πού δέν εἶναι προσηλωμένος σέ κανένα πράγμα φθαρτό ἤ πρόσκαιρο.

*19 Μακάριος ὁ νοῦς, ὁ πάντα τὰ ὄντα περάσας, καὶ τῆς θείας ὡραιότητος ἀδιαλείπτως κατατρυφῶν.*

*20 Ὁ πρόνοιαν τῆς σαρκὸς εἰς ἐπιθυμίας ποιούμενος, καὶ μνησικακίαν διὰ πρόσκαιρα πρὸς τὸν πλησίον ἔχων, ὁ τοιοῦτος λατρεύει τῇ κτίσει παρὰ τὸν κτίσαντα.*

*21 Ὁ ἀνήδονον καὶ ἄνοσον τὸ σῶμα διατηρῶν, σύνδουλον αὐτὸ ἔχει πρὸς τὴν τῶν κρειττόνων ὑπηρεσίαν.*

*22 Ὁ φεύγων πάσας τὰς κοσμικὰς ἐπιθυμίας, πάσης λύπης κοσμικῆς ἑαυτὸν ἀνώτερον καθίστησιν.*

*23 Ὁ τὸν Θεὸν ἀγαπῶν, καὶ τὸν πλησίον πάντως ἀγαπᾷ. Ὁ δὲ τοιοῦτος, χρήματα τηρεῖν οὐ δύναται, ἀλλ' οἰκονομεῖ θεοπρεπῶς, ἑκάστῳ τῶν δεομένων παρέχων.*

*24 Ὁ κατὰ μίμησιν Θεοῦ τὴν ἐλεημοσύνην ποιούμενος, οὐκ οἶδε διαφορὰν πονηροῦ καὶ ἀγαθοῦ, δικαίου καὶ ἀδίκου ἐν τοῖς τοῦ σώματος ἀναγκαίοις, ἀλλὰ πᾶσιν ἐξ ἴσου κατὰ τὴν χρείαν διανέμει, εἰ καὶ προτιμᾷ δι' ἀγαθὴν προαίρεσιν τοῦ φαύλου τὸν ἐνάρετον.*

*25 Ὥσπερ ὁ Θεὸς φύσει ὢν ἀγαθὸς καὶ ἀπαθής, πάντας μὲν ἐξ ἴσου ἀγαπᾷ, ὡς ἔργα αὐτοῦ, ἀλλὰ τὸν μὲν ἐνάρετον δοξάζει, ὡς καὶ τῇ γνώμῃ οἰκειούμενον, τὸν δὲ φαῦλον, δι' ἀγαθότητα ἐλεεῖ, καὶ ἐν τῷ αἰῶνι τούτῳ παιδεύων ἐπιστρέφει, οὕτω καὶ ὁ τῇ γνώμῃ ἀγαθὸς καὶ ἀπαθής, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τὸν μὲν ἐνάρετον, διά τε τὴν φύσιν καὶ τὴν ἀγαθὴν προ-*

4. Ρωμ. 13,14.
5. Ρωμ. 1,25.

19 Μακάριος εἶναι ὁ νοῦς ἐκεῖνος πού ἀδιαφόρησε γιά ὅλα τά πράγματα τοῦ κόσμου καί εἶναι βυθισμένος καί ἀπολαμβάνει ἀδιάκοπα τή θεία ὡραιότητα.

20 Ἐκεῖνος πού φροντίζει γιά τή σάρκα θέλοντας νά ἱκανοποιήσει τίς ἐπιθυμίες της[4], καί τρέφει μνησικακία πρός τόν συνάνθρωπό του γιά τά πρόσκαιρα, αὐτός λατρεύει τά κτίσματα παρά τόν κτίστη[5].

21 Ἐκεῖνος πού διατηρεῖ τό σῶμα του ἀπαλλαγμένο ἀπό τίς ἡδονές καί τίς ἀσθένειες, ἔχει αὐτό βοηθό του στήν ὑπηρεσία τῶν ὑψηλότερων πνευματικῶν ἔργων.

22 Ἐκεῖνος πού ἀποφεύγει ὅλες τίς κοσμικές ἐπιθυμίες, καθιστᾶ τόν ἑαυτό του ἀνώτερο ἀπό κάθε κοσμική λύπη.

23 Ἐκεῖνος πού ἀγαπᾶ τό Θεό, ὁπωσδήποτε ἀγαπᾶ καί τόν συνάνθρωπό του. Ὁ παρόμοιος ἄνθρωπος δέν εἶναι δυνατό νά κρατᾶ χρήματα γιά τόν ἑαυτό του, ἀλλά ξοδεύει αὐτά κατά τρόπο ἀρεστό στό Θεό, δίνοντας αὐτά στόν καθένα πού ἔχει ἀνάγκη.

24 Ἐκεῖνος πού ἀσκεῖ τήν ἐλεημοσύνη μιμούμενος τό Θεό, δέν γνωρίζει διαφορά μεταξύ πονηροῦ καί ἀγαθοῦ, μεταξύ δικαίου καί ἀδίκου στά πράγματα τά ἀναγκαῖα γιά τό σῶμα, ἀλλά σ' ὅλους μοιράζει ἐξ ἴσου ἀνάλογα μέ τήν ἀνάγκη τους, ἄν καί προτιμᾶ, ἐξ αἰτίας τῆς ἀγαθῆς διαθέσεώς του, τόν ἐνάρετο ἀπό τόν κακό.

25 Ὅπως ἀκριβῶς ὁ Θεός, πού ἀπό τή φύση του εἶναι ἀγαθός καί ἀπαθής, ὅλους τούς ἀγαπᾶ ἐξ ἴσου σάν ἔργα του πού εἶναι, ἀλλά τόν μέν ἐνάρετο τόν δοξάζει, διότι τόν θεωρεῖ δικό του καί ὡς πρός τή διάθεση, ἐνῶ τόν κακό τόν ἐλεεῖ ἐξ αἰτίας τῆς ἀγαθότητάς του, καί, διαπαιδαγωγώντας τον κατά τή διάρκεια τῆς ζωῆς του σ' αὐτόν τόν κόσμο, τόν ἐπιστρέφει κοντά του, ἔτσι καί ὁ ἄνθρωπος ἐκεῖνος πού εἶναι ἀγαθός καί ἀπαθής ὡς πρός τή διάθεση, ὅλους τούς ἀνθρώπους τούς ἀγαπᾶ ἐξ ἴσου· τόν ἐνάρετο τόν ἀγαπᾶ καί ἐξ αἰτίας τῆς κοινῆς φύσεώς του καί ἐξ αἰτίας τῆς ἀγαθῆς διαθέσεώς του

*αἵρεσιν, τὸν δὲ φαῦλον, διά τε τὴν φύσιν, καὶ τὴν συμπάθειαν ἐλεῶν ὡς ἄφρονα καὶ ἐν σκότει διαπορευόμενον.*

26 *Οὐ μόνον διὰ μεταδόσεως χρημάτων ἡ διάθεσις τῆς ἀγάπης γνωρίζεται, ἀλλὰ πολλῷ μᾶλλον διὰ μεταδόσεως λόγου Θεοῦ καὶ σωματικῆς διακονίας.*

27 *Ὁ τοῖς τοῦ κόσμου πράγμασι γνησίως ἀποταξάμενος καὶ τῷ πλησίον διὰ τῆς ἀγάπης ἀνυποκρίτως δουλεύων, παντὸς πάθους ταχέως ἐλευθεροῦται, καὶ τῆς θείας ἀγάπης καὶ γνώσεως μέτοχος καθίσταται.*

28 *Ὁ τὴν θείαν ἀγάπην ἐν ἑαυτῷ κτησάμενος οὐ κοπιᾷ κατοκολουθῶν ὀπίσω Κυρίου τοῦ Θεοῦ αὐτοῦ, κατὰ τὸν θεῖον Ἰερεμίαν, ἀλλὰ πάντα πόνον ὀνειδισμόν τε καὶ φέρει ὕβριν γενναίως, μηδενὶ τὸ σύνολον κακὸν λογιζόμενος.*

29 *Ὅταν ὑβρισθῇς παρά τινος, ἢ ἔν τινι ἐξουδενωθῇς, τότε πρόσεχε ἀπὸ τῶν λογισμῶν τῆς ὀργῆς, μή σε τῆς ἀγάπης διὰ τῆς λύπης χωρίσαντες, ἐν τῇ χώρᾳ τοῦ μίσους καταστήσωσιν.*

30 *Ὅταν ἐφ' ὕβρει ἢ ἀτιμίᾳ πονήσῃς, γίνωσκε σεαυτὸν μεγάλως ὠφεληθέντα, τῆς κενοδοξίας διὰ τῆς ἀτιμίας οἰκονομικῶς ἀπὸ σοῦ ἐκβληθείσης.*

31 *Ὥσπερ μνήμη πυρός οὐ θερμαίνει τὸ σῶμα, οὕτω πίστις ἄνευ ἀγάπης οὐκ ἐνεργεῖ εἰς τὴν ψυχὴν τὸν τῆς γνώσεως φωτισμόν.*

32 *Ὥσπερ τὸ φῶς τοῦ ἡλίου τὸν ὑγιῆ ὀθφαλμὸν εἰς ἑαυτὸ ἐφέλκεται, οὕτω καὶ ἡ γνῶσις τοῦ Θεοῦ τὸν καθαρὸν νοῦν φυσικῶς διὰ τῆς ἀγάπης πρὸς ἑαυτὴν ἐπιστᾶται.*

---

6. Ἱερ. 17,6.

κακό τόν ἐλεεῖ καί ἐξ αἰτίας τῆς φύσεώς του καί ἀπό συμπάθεια, διότι τόν βλέπει νά βαδίζει σάν ἀνόητος μέσα στό σκοτάδι.

26 Ἡ διάθεση τῆς ἀγάπης δέν γίνεται φανερή μόνο μέ τή δόση χρημάτων, ἀλλά πολύ περισσότερο μέ τή μετάδοση τοῦ λόγου τοῦ Θεοῦ καί τή σωματική διακονία.

27 Ἐκεῖνος πού πραγματικά ἀπαρνήθηκε τά πράγματα τοῦ κόσμου καί μέ ὅλη τήν ἀγάπη του καί χωρίς ὑποκρισία προσφέρει τήν ὑπηρεσία του στόν συνάνθρωπό του, ἀμέσως ἐλευθερώνεται ἀπό κάθε πάθος καί γίνεται μέτοχος τῆς θείας ἀγάπης καί γνώσεως.

28 Ἐκεῖνος πού ἀπέκτησε μέσα του τή θεία ἀγάπη δέν αἰσθάνθηκε κανένα κόπο ἀκολουθώντας ἀσταμάτητα πίσω ἀπό τόν Κύριο τό Θεό του, ὅπως λέγει ὁ θεῖος Ἱερεμίας[6], ἀλλ' ὑποφέρει μέ γενναιότητα κάθε κόπο, χλευασμό καί προσβολή ἐνώπιόν του, μή ἀποδίδοντας σέ κανένα τό δλο κακό.

29 Ὅταν κακολογηθεῖς ἀπό κάποιον, ἤ περιφρονηθεῖς ἀπό κάποιον, τότε πρόσεχε ἀπό τούς λογισμούς τῆς ὀργῆς, μήπως ἐξ αἰτίας τῆς λύπης σέ ἀπομακρύνουν ἀπό τήν ἀγάπη καί σέ μεταφέρουν στό χῶρο τοῦ μίσους.

30 Ὅταν πονέσεις ἐξ αἰτίας κάποιας προσβολῆς ἤ περιφρονήσεως, γνώριζε πολύ καλά ὅτι ὠφελήθηκε πάρα πολύ ὁ ἑαυτός σου, ἀφοῦ κατά θεία παραχώρηση ἀπμακρύνθηκε ἀπό σένα ἡ ματαιοδοξία ἐξ αἰτίας τῆς ταπεινώσεως πού δέχθηκες.

31 Ὅπως ἀκριβῶς ἡ ἀνάμνηση τῆς φωτιᾶς δέν ζεσταίνει τό σῶμα, ἔτσι πίστη χωρίς ἀγάπη δέν ἐνεργεῖ στήν ψυχή τό φωτισμό τῆς γνώσεως.

32 Ὅπως ἀκριβῶς τό φῶς τοῦ ἥλιου προσελκύει πρός τό μέρος του τόν ὑγιή ὀφθαλμό, ἔτσι καί ἡ γνώση τοῦ Θεοῦ ἀποσπᾶ πρός τόν ἑαυτό της μέ τήν ἀγάπη τό καθαρό ἀπό τή φύση τοῦ νοῦ.

33 *Νοῦς εστι καθαρός, ὁ ἀγνοίας χωρισθεὶς καὶ ὑπὸ τοῦ θείου φωτὸς καταλαμπόμενος.*

34 *Ψυχή ἐστι καθαρά, ἡ παθῶν ἐλευθερωθεῖσα καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.*

35 *Πάθος ἐστὶ ψεκτόν, κίνησις ψυχῆς παρὰ φύσιν.*

36 *Ἀπάθειά ἐστιν εἰρηνική κατάστασις ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται πρὸς κακίαν.*

37 *Ὁ τοὺς καρποὺς τῆς ἀγάπης διὰ σπουδῆς κτησάμενος, οὐ μετατίθεται ταύτης, κἂν μυρία πάσχῃ κακά. Καὶ πειθέτω σε Στέφανος ὁ τοῦ Χριστοῦ μαθητής, καὶ οἱ κατ' αὐτόν. Καὶ αὐτὸς ὁ Σωτὴρ ὑπὲρ τῶν φονευτῶν εὐχόμενος τῷ Πατρί, καὶ συγγνώμην παρ' αὐτοῦ ὡς ἀγνοοῦσιν αἰτούμενος.*

38 *Εἰ τῆς ἀγάπης ἐστὶ τὸ μακροθυμεῖν καὶ χρηστεύεσθαι, ὁ θυμομαχῶν καὶ πονηρευόμενος, ἀλλότριος δηλονότι τῆς ἀγάπης καθίσταται· ὁ δὲ ἀγάπης ἀλλότριος, τοῦ Θεοῦ ἐστιν ἀλλότριος, εἴπερ ὁ Θεὸς ἀγάπη ἐστί.*

39 *«Μὴ εἴπητε», φησὶν ὁ θεῖος Ἱερεμίας, «ὅτι ναὸς Κυρίου ἐστέ». Καὶ σὺ μὴ εἴπῃς, ὅτι 'ἡ ψιλὴ πίστις ἡ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύναταί με σῶσαι'. Ἀμήχανον γὰρ τοῦτο, ἐὰν μὴ καὶ τὴν ἀγάπην εἰς αὐτὸν διὰ τῶν ἔργων κτήσῃ. Τὸ δὲ ψιλῶς πιστεύειν· «καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσι».*

40 *Ἔργον ἀγάπης ἐστὶν ἡ εἰς τὸν πλησίον ἐκ διαθέσεως εὐερ-*

---

7. Πρά. 7,59.
8. Λουκᾶ 24,34.
9. Α' Κορ. 13,4.

33 Νοῦς καθαρός εἶναι ἐκεῖνος πού ἀποχωρίσθηκε τήν ἄγνοια καί καταφωτίζεται ἀπό τό θεῖο φῶς.

34 Ψυχή καθαρή εἶναι ἐκείνη πού ἐλευθερώθηκε ἀπό τά πάθη καί νιώθει ἀδιάκοπα εὐφροσύνη ἀπό τή θεία ἀγάπη.

35 Ἕνα πάθος εἶναι ἀξιοκατάκριτο, ὅταν ἡ ψυχή ἐνεργεῖ παρά φύση.

36 Ἀπάθεια εἶναι ἡ εἰρηνική κατάσταση τῆς ψυχῆς κατά τήν ὁποία ἡ ψυχή γίνεται δυσκίνητη πρός τήν κακία.

37 Ἐκεῖνος πού μέ πολλή φροντίδα ἀπέκτησε τούς καρπούς τῆς ἀγάπης δέν ἀπομακρύνεται ἀπό αὐτήν καί ἄν ἀκόμα πάσχει ἀμέτρητα κακά. Καί ἄς σέ πείθουν ὁ Στέφανος ὁ μαθητής τοῦ Χριστοῦ καί ὅλοι οἱ παρόμοιοί του[7]. Καί ὁ ἴδιος ὁ Σωτήρ προσεύχεται στόν Πατέρα του γιά τούς φονευτές του καί ζητεῖ συγχώρηση ἀπ' αὐτόν γι' αὐτούς, διότι τό ἔκαμναν ἀπό ἄγνοια[8].

38 Ἐάν ἡ μακροθυμία καί ἡ καλωσύνη εἶναι γνώρισμα τῆς ἀγάπης[9], ἐκεῖνος πού εἶναι κυριευμένος ἀπό ὀργή καί κακία καθίσταται ἀσφαλῶς ξένος τῆς ἀγάπης, ἐνῶ ἐκεῖνος πού εἶναι ξένος τῆς ἀγάπης, εἶναι ξένος τοῦ Θεοῦ, ἐφόσον ὁ Θεός εἶναι ἀγάπη[10].

39 «Μή πεῖτε», λέγει ὁ θεῖος Ἱερεμίας, «ὅτι εἶστε ναός τοῦ Κυρίου»[11]. Καί σύ μή πεῖς, ὅτι ἡ ἁπλή πίστη μου πρός τόν Κύριό μας τόν Ἰησοῦ Χριστό μπορεῖ νά μέ σώσει. Διότι αὐτό εἶναι ἀδύνατο, ἐάν δέν ἀποκτήσεις καί τήν ἀγάπη πρός αὐτόν μέ τά ἔργα. Καθόσον τήν ἁπλή πίστη τήν ἔχουν καί τά δαιμόνια· «καί τά δαιμόνια πιστεύουν καί φρίττουν»[12].

40 Ἔργο τῆς ἀγάπης εἶναι ἡ πρός τόν πλησίον εὐεργεσία,

---

10. Α΄ Ἰω. 4,8.
11. Ἱερ. 7,4.
12. Ἰακ. 2,19.

*γεσία καὶ μακροθυμία καὶ ὑπομονή· καὶ τὸ μετὰ ὀρθοῦ λόγου χρήσασθαι τοῖς πράγμασι.*

41 *Ὁ ἀγαπῶν τὸν Θεὸν οὐ λυπεῖ, οὐδὲ λυπεῖται πρός τινα διὰ πρόσκαιρα· μίαν δὲ λύπην καὶ λυπεῖ καὶ λυπεῖται σωτήριον, ἣν ὁ μακάριος Παῦλος καὶ ἐλυπήθη καὶ ἐλύπησε τοὺς Κορινθίους.*

42 *Ὁ ἀγαπῶν τὸν Θεόν, ἀγγελικὸν βίον ἐπὶ τῆς γῆς ζῇ, νηστεύων καὶ ἀγρυπνῶν, ψάλλων καὶ προσευχόμενος, καὶ περὶ παντὸς ἀνθρώπου ἀεὶ καλὰ λογιζόμενος.*

43 *Εἰ οὗτινός τις ἐπιθυμεῖ, τούτου καὶ τυχεῖν ἀγωνίζεται, πάντων δὲ τῶν ἀγαθῶν καὶ ἐπιθυμητῶν ἀγαθώτερον τὸ Θεῖον καὶ ἐπιθυμητότερον ἀσυγκρίτως, πόσην ἄρα σπουδὴν ὀφείλομεν ἐνδείξασθαι, ἵνα τούτου τοῦ φύσει ἀγαθοῦ καὶ ἐπιθυμητοῦ τύχωμεν;*

44 *Μὴ μολύνῃς τὴν σάρκα σου ἐν αἰσχραῖς πράξεσι, καὶ μὴ μιάνῃς τὴν ψυχὴν πονηροῖς λογισμοῖς, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἐπελεύσεται ἐπὶ σέ, τὴν ἀγάπην φέρουσα.*

45 *Αἴκιζε τὴν σάρκα σου ἀστιτίᾳ καὶ ἀγρυπνίᾳ, καὶ σχόλασον ἀόκνως ψαλμῳδίᾳ καὶ προσευχῇ· καὶ ὁ ἁγιασμὸς τῆς σωφροσύνης ἐπὶ σὲ ἐπελεύσεται, τὴν ἀγάπην φέρων.*

46 *Ὁ τῆς θείας καταξιωθεὶς γνώσεως, καὶ τὸν ταύτης φωτισμὸν διὰ τῆς ἀγάπης κτησάμενος, οὐ ῥιπισθήσεταί ποτε ὑπὸ τοῦ τῆς κενοδοξίας πνεύματος, ὁ δὲ ταύτης μήπω καταξιωθείς, εὐχερῶς ὑπ' αὐτῆς περιφέρεται. Ἐὰν οὖν ὁ τοιοῦτος ἐν πᾶσι τοῖς ὑπ' αὐτοῦ πραττομένοις πρὸς τὸν Θεὸν ἀποβλέψῃ, ὡς δι' αὐτὸν πάντα ποιῶν, ῥᾳδίως σὺν Θεῷ ἐκφεύξεται αὐτήν.*

47 *Ὁ μήπω τυχὼν τῆς θείας γνώσεως τῆς διὰ ἀγάπης ἐνερ-*

13. Β' Κορ. 7,8.

μακροθυμία καί ὑπομονή μέ ὅλη τή διάθεση τῆς ψυχῆς καί ἡ χρησιμοποίηση τῶν πραγμάτων μέ ὀρθή σκέψη.

41 Ἐκεῖνος πού ἀγαπᾶ τό Θεό δέν λυπεῖ κάποιον γιά πρόσκαιρα πράγματα οὔτε ὁ ἴδιος λυπεῖται· μία λύπη σωτήρια ὑπάρχει μέ τήν ὁποία μπορεῖ νά λυπεῖ τούς ἄλλους καί νά λυπεῖται ὁ ἴδιος, ἐκείνη μέν τήν ὁποία ὁ μακάριος Παῦλος καί λυπήθηκε καί λύπησε τού Κορινθίους[13].

42 Ἐκεῖνος πού ἀγαπᾶ τό Θεό κάμνει ἐπάνω στή γῆ ἀγγελική ζωή, νηστεύοντας καί ἀγρυπνώντας, ψάλλοντας καί προσευχόμενος, καί γιά κάθε ἄνθρωπο σκέπτεται πάντοτε καλά.

43 Ἐάν κάποιος ἐκεῖνο πού ἐπιθυμεῖ, αὐτό ἀγωνίζεται καί νά ἐπιτύχει, ἀπό ὅλα δέ τά ἀγαθά καί τά ἐπιθυμητά τό πιό ἀγαθό καί τό πιό ἐπιθυμητό ἀσύγκριτα εἶναι τό Θεῖο, πόση ἐπομένως φροντίδα ὀφείλουμε νά δείξουμε, γιά νά ἐπιτύχουμε αὐτό πού ἀπό τή φύση του εἶναι ἀγαθό καί ἐπιθυμητό;

44 Μή μολύνεις τή σάρκα σου μέ αἰσχρές πράξεις καί μή λερώνεις τήν ψυχή σου μέ πονηρές σκέψεις, καί ἡ εἰρήνη τοῦ Θεοῦ θά ἔρθει σέ σένα, φέροντάς σου τήν ἀγάπη.

45 Βασάνιζε τή σάρκα σου μέ ἀσιτία καί ἀγρύπνια καί νά καταγίνεσαι μέ ὅλη τήν προθυμία σου καί ἀκούραστα μέ τήν ψαλμωδία καί τήν προσευχή καί ὁ ἁγιασμός τῆς σωφροσύνης θά ρθεῖ σέ σένα, φέροντάς σου τήν ἀγάπη.

46 Ἐκεῖνος πού ἀξιώθηκε νά λάβει τή θεία γνώση καί ἀπέκτησε τόν φωτισμό αὐτῆς μέ τήν ἀγάπη δέν θά ἐνοχληθεῖ ποτέ ἀπό τόν δαίμονα τῆς ματαιοδοξίας, ἐνῶ ἐκεῖνος πού δέν ἀξιώθηκε ἀκόμη νά λάβει αὐτήν μέ μεγάλη εὐκολία ὁδηγεῖται ἀπό τή ματαιοδοξία. Ἐάν λοιπόν αὐτός σ᾽ ὅλα ὅσα κάμνει στρέφει τό βλέμμα του πρός τό Θεό σάν νά τά κάμνει ὅλα γιά τή δόξα αὐτοῦ, εὔκολα μέ τή βοήθεια τοῦ Θεοῦ θ᾽ ἀποφύγει αὐτήν.

47 Ἐκεῖνος πού δέν ἀπέκτησε ἀκόμα τή γνώση πού ἐνεργεῖται

*γουμένης, μέγα φρονεῖ ἐπὶ τοῖς ὑπ' αὐτοῦ κατὰ Θεὸν πραττομένοις, ὁ δὲ ταύτης τυχεῖν καταξιωθείς, μετὰ διαθέσεως λέγει τὰ τοῦ πατριάρχου Ἀβραὰμ ῥήματα, ἅπερ, ἡνίκα τῆς θείας κατηξιώθη ἐπιφανείας, εἶπεν· «ἐγώ εἰμι γῆ καὶ σποδός».*

48 *Ὁ φοβούμενος τὸν Κύριον, συνόμιλον ἀεὶ ἔχει τὴν ταπεινοφροσύνην, καὶ διὰ τῶν ταύτης ἐνθυμημάτων εἰ τὴν θείαν ἀγάπην καὶ εὐχαριστίαν ἔρχεται. Μνημονεύει γὰρ τῆς κατὰ τὸν κόσμον προτέρας διαγωγῆς, καὶ τῶν ποικίλων παραπτωμάτων, καὶ τῶν ἐκ νεότητος συμβάντων αὐτῷ πειρασμῶν, καὶ πῶς πάντων ἐκείνων ἐρρύσατο αὐτὸν ὁ Κύριος καὶ μετέστησεν ἀπὸ τῆς ἐμπαθοῦς ζωῆς, εἰς τὸν κατὰ Θεὸν βίον· καὶ σὺν τῷ φόβῳ προσλαμβάνεται καὶ τὴν ἀγάπην, εὐχαριστῶν ἀεὶ μετὰ ταπεινοφροσύνης πολλῆς τῷ εὐεργέτῃ καὶ κυβερνήτῃ τῆς ζωῆς ἡμῶν.*

49 *Μὴ ῥυπώσῃς τὸν νοῦν σου λογισμῶν ἀνεχόμενος ἐπιθυμίας καὶ θυμοῦ, ἵνα μὴ τῆς καθαρᾶς προσευχῆς ἐκπεσών, τῷ τῆς ἀκηδίας πνεύματι περιπέσῃς.*

50 *Τὸ τηνικαῦτα ὁ νοῦς τῆς πρὸς Θεὸν παρρησίας ἐκπίπτει, ὁπηνίκα πονηροῖς ἢ ῥυπαροῖς λογισμοῖς συνόμιλος γένηται.*

51 *Ὁ μὲν ἄφρων ὑπὸ τῶν παθῶν ἀγόμενος, ὅτε μὲν ὑπὸ τοῦ θυμοῦ κινούμενος ἐκταράσσεται, φεύγειν ἀλογίστως τοὺς ἀδελφοὺς ἐπείγεται, ὅτε δὲ πάλιν ὑπὸ τῆς ἐπιθυμίας ἐκθερμαίνεται, μεταμελόμενος αὖθις προστρέχων ἀπαντᾷ. Ἐπὶ μὲν γὰρ τοῦ θυμοῦ, τὰς αἰτίας τῆς ταραχῆς ἐκκόψας, τῆς πρὸς τοὺς ἀδελφοὺς λύπης ἑαυτὸν ἀπαλλάττει, ἐπὶ δὲ τῆς ἐπιθυμίας, τῆς ἀλόγου ὁρμῆς καὶ συντυχίας ἐγκρατεύεται.*

---

14. Γαλ. 5,6.
15. Γεν. 19,27.

μέ τήν ἀγάπη[14], μεγαλοφρονεῖ γιά ἐκεῖνα πού κάμνει αὐτός μέ τή βοήθεια τοῦ Θεοῦ, ἐνῶ ἐκεῖνος πού ἀξιώθηκε ν' ἀποκτήσει αὐτήν μέ ὅλη τή διάθεση τῆς ψυχῆς του λέγει τά λόγια τοῦ πατριάρχη Ἀβραάμ, τά ὁποῖα εἶπε ὅταν ἀξιώθηκε νά δεῖ τό Θεό· «Ἐγώ εἶμαι χῶμα καί στάχτη»[15].

48 Ἐκεῖνος πού φοβᾶται τόν Κύριο ἔχει πάντοτε σύντροφο τήν ταπεινοφροσύνη καί μέ τίς σκέψεις πού πηγάζουν ἀπ' αὐτήν ὁδηγεῖται στή θεία ἀγάπη καί εὐχαριστία. Διότι θυμᾶται τήν προηγούμενη κοσμική ζωή του καί τά διάφορα παραπτώματά του, καθώς καί τούς πειρασμούς πού δέχθηκε κατά τά νεανικά του χρόνια, καί πῶς ὁ Κύριος τόν ἐλευθέρωσε ἀπό ὅλα ἐκεῖνα καί τόν μετέφερε ἀπό τή ζωή ἐκείνη τή γεμάτη ἀπό πάθη, στή ζωή τή σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ· παράλληλα μέ τό φόβο ἀποκτᾶ καί τήν ἀγάπη πρός τό Θεό καί εὐχαριστεῖ πάντοτε μέ πολλή ταπεινοφροσύνη τόν εὐεργέτη καί κυβερνήτη τῆς ζωῆς μας.

49 Μή λερώσεις τό νοῦ σου δείχνοντας ἀνοχή σέ σκέψεις ἐπιθυμίας καί θυμοῦ, γιά νά μή συμβεῖ, ἀφοῦ ἀπομακρυνθεῖς ἀπό τήν καθαρή προσευχή, νά ὑποπέσεις στό δαίμονα τῆς πνευματικῆς ἀδιαφορίας.

50 Τότε ὁ νοῦς τοῦ ἀνθρώπου χάνει τήν παρρησία πρός τό Θεό, ὅταν δηλαδή κυριευθεῖ ἀπό τίς πονηρές καί ἀκάθαρτες σκέψεις.

51 Ὁ ἄφρονας πού ὁδηγεῖται ἀπό τά πάθη, ὅταν ταράσσεται κινούμενος ἀπό τό θυμό, ἐντελῶς παράλογα ἀπομακρύνεται ἀπό τούς ἀδελφούς, ἐνῶ ὅταν πάλι κυριεύεται ἀπό θερμή ἐπιθυμία, μετανοώντας τότε τρέχει ἀμέσως καί συναντᾶ τούς ἀδελφούς. Ὁ φρόνιμος καί στίς δύο περιπτώσεις ἐνεργεῖ ἀντίθετα. Διότι στήν περίπτωση τοῦ θυμοῦ, ἀφοῦ ξερριζώσε τίς αἰτίες τῆς ταραχῆς, ἀπαλλάσσει τόν ἑαυτό του ἀπό τή λύπη πρός τούς ἀδελφούς, ἐνῶ στή περίπτωση τῆς ἐπιθυμίας δείχνει ἐγκράτεια πρός τήν παράλογη ὁρμή καί τά δυσάρεστα γεγονότα.

52 *Ἐν τῷ καιρῷ τῶν πειρασμῶν μὴ καταλίπῃς τὸ μοναστήριόν σου, ἀλλὰ φέρε γενναίως τὰ κύματα τῶν λογισμῶν, καὶ μάλιστα τῶν τῆς λύπης καὶ ἀκηδίας. Οὕτω γὰρ οἰκονομικῶς διὰ τῶν θλίψεων δοκιμασθείς, ἕξεις βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα. Ἐὰν δὲ καταλιμπάνῃς, ἀδόκιμος καὶ ἄνανδρος καὶ ἄστατος εὑρεθήσῃ.*

53 *Ἐὰν θέλῃς τῆς κατὰ Θεὸν ἀγάπης μὴ ἐκπεσεῖν, μήτε τὸν ἀδελφὸν ἀφῇς κοιμηθῆναι λυπούμενον κατὰ σοῦ, μήτε σὺ κοιμηθῇς λυπούμενος κατ' αὐτοῦ, ἀλλ', «ὕπαγε, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ ἐλθών, πρόσφερε» Χριστῷ καθαρῷ τῷ συνειδότι δι' ἐκτενοῦς προσευχῆς τὸ δῶρον τῆς ἀγάπης.*

54 *Εἰ ὁ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος ἔχων, ἀγάπην δὲ μὴ ἔχων, οὐδὲν ὠφελεῖται, κατὰ τὸν θεῖον Ἀπόστολον, πόσην ὀφείλομεν ἐνδείξασθαι σπουδήν, ἵνα ταύτην κτησώμεθα;*

55 *Εἰ «ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται», ὁ φθονῶν τῷ ἀδελφῷ καὶ λυπούμενος ἐπὶ τῇ εὐδοκιμήσει αὐτοῦ καὶ σκώμμασι χραίνων τὴν ὑπόληψιν αὐτοῦ, ἢ ἔν τινι κακοήθειᾳ ἐπιβουλεύων αὐτῷ, πῶς οὐκ ἀλλότριον ἑαυτόν τῆς ἀγάπης καθίστησι καὶ ἔνοχον τῆς αἰωνίου κρίσεως;*

56 *Εἰ «Πλήρωμα νόμου ἡ ἀγάπη», ὁ μνησικακῶν τῷ ἀδελφῷ καὶ δόλους κατ' αὐτοῦ συσκευάζων καὶ κατευχόμενος αὐτοῦ καὶ ἐπιχαίρων τῷ πτώματι αὐτοῦ, πῶς οὐ παράνομός ἐστι καὶ τῆς αἰωνίου κολάσεως ἄξιος;*

57 *Εἰ «ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων ἀδελφόν, καταλαλεῖ*

---

16. Ματθ. 5,24.
17. Α' Κορ. 13,1-4.
18. Ρωμ. 13,10.

52 Κατά τόν καιρό τῶν πειρασμῶν νά μή ἐγκαταλείπεις τό μοναστήρι σου, ἀλλά νά ὑπομένεις μέ γενναιότητα τά κύματα τῶν λογισμῶν, καί μάλιστα τῶν λογισμῶν τῆς λύπης καί τῆς πνευματικῆς ἀδιαφορίας. Διότι ἔτσι, ἀφοῦ δοκιμασθεῖς, κατά θεία παραχώρηση, μέ τίς θλίψεις, θ' ἀποκτήσεις σταθερή ἐλπίδα πρός τό Θεό. Ἐάν ὅμως ἐγκαταλείπεις τό μοναστήρι σου θά βρεθεῖς ἀνάξιος καί ἄνανδρος.

53 Ἐάν θέλεις νά μή ἐκπέσεις ἀπό τήν ἀγάπη τοῦ Θεοῦ, μή ἀφήσεις τόν ἀδελφό σου νά κοιμηθεῖ λυπημένος ἐναντίον σου. Οὔτε νά κοιμηθεῖς λυπημένος ἐναντίον αὐτοῦ, ἀλλά, «πήγαινε συμφιλιώσου μέ τόν ἀδελφό σου, καί τότε ἔλα καί πρόσφερε τό δῶρο»[16] τῆς ἀγάπης σου στό Χριστό μέ καθαρή συνείδηση καί ἐκτενή προσευχή.

54 Ἐάν ἐκεῖνος πού ἔχει ὅλα τά χαρίσματα τοῦ Πνεύματος, δέν ἔχει ὅμως ἀγάπη, δέν ὠφελεῖται σέ τίποτε, σύμφωνα μέ τόν θεῖο Ἀπόστολο[17], πόση προσπάθεια ὀφείλουμε νά καταβάλουμε ἐμεῖς για ν' ἀποκτήσουμε αὐτήν;

55 Ἐάν «ἡ ἀγάπη δέν κάμνει κακό στόν πλησίον»[18], ἐκεῖνος πού φθονεῖ τόν ἀδελφό του καί στεναχωριέται γιά τήν προκοπή του καί μέ κακόλογα μολύνει τήν ὑπόληψή του, ἤ τόν συκοφαντεῖ μέ κάποια αἰσχρή κατηγορία, πῶς δέν καθιστᾶ τόν ἑαυτό του ξένο τῆς ἀγάπης καί ἔνοχο τῆς αἰώνιας κρίσεως;

56 Ἐάν ἡ ἀγάπη εἶναι τό πλήρωμα τοῦ νόμου[19], ἐκεῖνος πού τρέφει μνησικακία γιά τόν ἀδελφό του, ἐπινοεῖ δόλους ἐναντίον αὐτοῦ, προσεύχεται γιά τό κακό του καί χαίρεται γιά τήν πτώση του, πῶς δέν εἶναι παράνομος καί ἄξιος τῆς αἰώνιας κολάσεως;

57 Ἐάν «ἐκεῖνος πού κακολογεῖ τόν ἀδελφό του καί κατηγο-

19. Ρωμ. 13,10.

*καὶ κρίνει νόμον», ὁ δὲ νόμος τοῦ Χριστοῦ ἐστιν ἡ ἀγάπη, πῶς τῆς ἀγάπης τοῦ Χριστοῦ ὁ κατάλαλος οὐκ ἐκπίπτει καὶ αἴτιος ἑαυτῷ γίνεται κολάσεως αἰωνίου;*

58 *Μὴ δῴης τὴν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου, μηδὲ τὴν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως λαλῶν ἢ ἀκούων κατὰ τοῦ πέλας, ἵνα μὴ ἐκπέσῃς τῆς θείας ἀγάπης καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς.*

59 *Μὴ καταδέχου κατὰ τοῦ πατρός σου λοιδορίαν, μηδὲ προθυμοποιήσῃς τὸν ἀτιμάζοντα αὐτόν, ἵνα μὴ ὀργισθῇ ὁ Κύριος ἐπὶ τοῖς ἔργοις σου καὶ ἐξολοθρεύσῃ σε ἐκ γῆς ζώντων.*

60 *Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς· καὶ σαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων, κακεῖνον κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ ἀνακόπτων.*

61 *«Ἐγὼ δὲ λέγω ὑμῖν», φησίν ὁ Κύριος, «ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς». Διὰ τί ταῦτα προσέταξεν; Ἵνα σε μίσους καὶ λύπης καὶ ὀργῆς καὶ μνησικακίας ἐλευθερώσῃ, καὶ τοῦ μεγίστου κτήματος τῆς τελείας ἀγάπης καταξίωσῃ, ἣν ἀμήχανον ἔχειν, τὸν μὴ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντα κατὰ μίμησιν Θεοῦ, τοῦ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντος καὶ θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.*

---

20. Ἰακ. 4,11.
21. Ἰω. 13,34.
22. Δευτ. 6,15.

ρεῖ αὐτόν, κακολογεῖ καί κατηγορεῖ τό νόμο»[20], ὁ δέ νόμος τοῦ Χριστοῦ εἶναι ἡ ἀγάπη[21], πῶς ὁ κακολόγος δέν ἐκπίπτει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ καί δέν γίνεται αἴτιος τῆς αἰώνιας κολάσεως γιά τόν ἑαυτό του;

58 Μή ἀφήνεις τά αὐτιά σου ν' ἀκοῦν τά λόγια τοῦ κακολόγου, οὔτε τά λόγια σου νά φθάνουν στ' αὐτιά ἐκείνου πού τοῦ ἀρέσει νά κατηγορεῖ, μιλώντας ἤ ἀκούοντας μέ εὐχαρίστηση λόγια ἐναντίον τοῦ πλησίον σου, γιά νά μή ἐκπέσεις ἀπό τή θεία ἀγάπη καί βρεθεῖς ἔτσι ξένος τῆς αἰώνιας ζωῆς.

59 Μή ἀνέχεσαι ν' ἀκοῦς κακόλογα ἐναντίον τοῦ πνευματικοῦ πατέρα σου, οὔτε νά κάνεις πιό πρόθυμο ἐκεῖνον πού ὁμιλεῖ προσβλητικά γι' αὐτόν, γιά νά μή ὀργισθεῖ ὁ Κύριος γιά τά ἔργα σου καί σέ ἐξαφανίσει ἀπό τή γῆ τῶν ζώντων[22].

60 Ἀποστόμωνε ἐκεῖνον πού γεμίζει τ' αὐτιά σου μέ κακόλογα, γιά νά μή προξενήσεις στόν ἑαυτό σου μαζί μ' αὐτόν διπλή ἁμαρτία· καί συνηθίζοντας τόν ἑαυτό σου στό ὀλέθριο αὐτό πάθος, καί μή σταματώντας ἐκεῖνον νά φλυαρεῖ ἐναντίον τοῦ πλησίον σου.

61 «Ἐγώ ὅμως», λέγει ὁ Κύριος, «σᾶς λέγω ν' ἀγαπᾶτε τούς ἐχθρούς σας, νά εὐεργετεῖτε ἐκείνους πού σᾶς μισοῦν, καί νά προσεύχεσθε γιά ἐκείνους πού σᾶς βλάπτουν»[23]. Γιατί ἔδωσε αὐτές τίς ἐντολές; Γιά νά σέ ἐλευθερώσει ἀπό τό μίσος, τή λύπη, τήν ὀργή καί τή μνησικακία καί νά σέ καταξιώσει ν' ἀποκτήσεις τό πιό μεγαλύτερο ἀπόκτημα τῆς τέλειας ἀγάπης, τήν ὁποία εἶναι ἀδύνατο νά τήν ἔχει ἐκεῖνος πού δέν ἀγαπᾶ ἐξ ἴσου ὅλου τούς ἀνθρώπους κατά μίμηση τοῦ Θεοῦ, πού ἀγαπᾶ ἐξ ἴσου ὅλους τούς ἀνθρώπους καί θέλει νά σωθοῦν καί νά γνωρίσουν τήν ἀλήθεια[24].

---

23. Ματθ. 5,44.
24. Α΄ Τιμ. 2,4.

62 *«Ἐγὼ δὲ λέγω ὑμῖν· Μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ραπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καί τὸ ἱμάτιον· καὶ τῷ ἀγγαρεύοντί σε μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο». Διὰ τί; Ἵνα καὶ σὲ ἀόργητον καὶ ἀτάραχον διαφυλάξῃ καὶ ἄλυπον, κἀκεῖνον διὰ τῆς σῆς ἀνεξικακίας παιδεύσῃ, καὶ ἀμφοτέρους, ὡς ἀγαθός, ὑπὸ τὸν ζυγὸν τῆς ἀγάπης ἀγάγῃ.*

63 *Πρὸς ἅπερ πράγματά ποτε πεπόνθαμεν, τούτων καὶ τὰς φαντασίας ἐμπαθεῖς περιφέρομεν. Ὁ οὖν τὰς ἐμπαθεῖς νικῶν φαντασίας, καὶ τῶν πραγμάτων ὧν αἱ φαντασίαι πάντως καταφρονεῖ· ἐπειδὴ τοῦ πρὸς τὰ πράγματα πολέμου ὁ πρὸς τὰς μνήμας τοσοῦτόν ἐστι χαλεπώτερος, ὅσον τοῦ κατ' ἐνέργειαν ἁμαρτάνειν, τὸ κατὰ διάνοιάν ἐστιν εὐκοπώτερον.*

64 *Τῶν παθῶν τὰ μέν ἐστι σωματικά, τὰ δὲ ψυχικά. Καὶ τὰ μὲν σωματικὰ ἐκ τοῦ σώματος ἔχει τὰς ἀφορμάς, τὰ δὲ ψυχικὰ ἐκ τῶν ἔξωθεν πραγμάτων. Ἀμφότερα δὲ περικόπτει ἀγάπη καὶ ἐγκράτεια· ἡ μέν, τὰ ψυχικά, ἡ δέ, τὰ σωματικά.*

65 *Τὰ μὲν τῶν παθῶν, τοῦ θυμικοῦ, τὰ δὲ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς τυγχάνει. Ἀμφότερα δὲ διὰ τῶν αἰσθήσεων κινεῖται. Τότε δὲ κινεῖται, ὅτε ἀγάπης ἡ ψυχὴ καὶ ἐγκρατείας ἐκτὸς εὑρίσκεται.*

66 *Δυσκαταγώνιστα μᾶλλον τὰ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς πάθη, παρὰ τὰ τοῦ ἐπιθυμητικοῦ τυγχάνει. Διὸ καὶ μεῖζον τὸ φάρμακον κατ' αὐτοῦ, ἡ ἐντολὴ τῆς ἀγάπης τοῦ Κυρίου ἐδόθη.*

67 *Πάντα τὰ ἄλλα πάθη, ἢ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς, ἢ*

---

25. Ματθ. 5,34-41.

62 «Ἐγώ ὅμως σᾶς λέγω· Μήν ἀντιστέκεσθε στό πονηρό, ἀλλ' ὅποιος σέ χτυπήσει στό δεξί σαγόνι, στρέψε του καί τό ἄλλο· καί σ' ἐκεῖνον πού θέλει νά σέ πάει στό δικαστήριο καί νά σοῦ πάρει τό πουκάμισό σου, ἄφησέ του καί τό ἐπανωφόρι σου· καί σ' ἐκεῖνον πού σέ ἀγγαρεύει γιά ἕνα μίλι, πήγαινε μαζί του δύο»[25]. Γιατί; Γιά νά διαφυλάξει ἐσένα χωρίς ὀργή, ἀτάραχο καί χωρίς λύπη, καί ἐκεῖνον νά τόν διδάξει μέ τή δική σου ἀνεξικακία, καί ἔτσι νά σᾶς ὁδηγήσει καί τούς δύο, σάν ἀγαθός πού εἶναι, κάτω ἀπό τό ζυγό τῆς ἀγάπης.

63 Ὅσες κακές πράξεις κάναμε κάποτε, αὐτῶν τίς ἐμπαθεῖς φαντασίες περιφέρομε στή σκέψη μας. Ἐκεῖνος λοιπόν πού νικᾶ τίς ἐμπαθεῖς φαντασίες, ὁπωσδήποτε περιφρονεῖ καί τίς ἁμαρτωλές ἐκεῖνες πράξεις του στίς ὁποῖες ἀναφέρονται οἱ φαντασίες του· διότι ὁ πόλεμος πρός τίς ἐμπαθεῖς φαντασίες εἶναι τόσο πολύ φοβερός ἀπό τόν πόλεμο πρός τίς ἴδιες τίς ἁμαρτωλές πράξεις, ὅσο εὐκολότερο εἶναι τό ν' ἁμαρτάνει κανείς μέ τή σκέψη παρά μέ τά ἔργα του.

64 Ἀπό τά πάθη ἄλλα εἶναι σωματικά, καί ἄλλα ψυχικά. Τά σωματικά ἔχουν τίς ἀφορμές ἀπό τό σῶμα, ἐνῶ τά ψυχικά ἀπό τά ἐξωτερικά πράγματα. Καί τά δύο ὅμως τά ἀφαιρεῖ ἡ ἀγάπη καί ἡ ἐγκράτεια· ἡ ἀγάπη ἀφαιρεῖ τά ψυχικά, ἐνῶ ἡ ἐγκράτεια τά σωματικά.

65 Ἄλλα ἀπό τά πάθη συμβαίνει ν' ἀνήκουν στό θυμικό μέρος τῆς ψυχῆς, καί ἄλλα στό ἐπιθυμητικό, καί τά δύο ὅμως τίθενται σέ ἐνέργεια μέ τίς αἰσθήσεις. Ἀλλά τότε τίθενται σέ ἐνέργεια, ὅταν ἡ ψυχή βρίσκεται ἔξω ἀπό τήν ἀγάπη καί τήν ἐγκράτεια.

66 Πολύ περισσότερο δυσκολονίκητα συμβαίνει νά εἶναι τά πάθη τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς, παρά τά πάθη τοῦ ἐπιθυμητικοῦ μέρους αὐτῆς. Γι' αὐτό καί δόθηκε ἀπό τόν Κύριο σάν μεγαλύτερο φάρμακο γι' αὐτά ἡ ἐντολή τῆς ἀγάπης.

67 Ὅλα τά ἄλλα πάθη προσβάλλουν ἤ τό θυμικό μέρος τῆς

*τοῦ ἐπιθυμητικοῦ μόνον ἐφάπτεται, ἢ καὶ τοῦ λογιστικοῦ, ὡς ἡ λήθη καὶ ἡ ἄγνοια· ἡ δὲ ἀκηδία, πασῶν τῶν τῆς ψυχῆς δυνάμεων ἐπιδραττομένη, πάντα σχεδὸν ὁμοθυμαδὸν κινεῖ τὰ πάθη. Διὸ καὶ πάντων τῶν ἄλλων παθῶν ἐστι βαρύτατον. Καλῶς οὖν ὁ Κύριος τὸ κατ' αὐτῆς φάρμακον δεδωκώς, «ἐν τῇ ὑπομονῇ ὑμῶν», λέγει, «κτήσασθε τὰς ψυχὰς ὑμῶν».*

*68 Μή πλήξῃς ποτέ τινα τῶν ἀδελφῶν παραλόγως μάλιστα, μή ποτε μὴ φέρων τὴν θλῖψιν, ὑποχωρήσῃ· καί οὐ μὴ ἐκφεύξῃ ποτὲ τὸν ἔλεγχον τοῦ συνειδότος, ἀεί σοι λύπην ἐν τῷ καιρῷ τῆς προσευχῆς προξενοῦντα, καὶ τῆς θείας παρρησίας τὸν νοῦν ἀπελαύνοντα.*

*69 Μὴ ἀνάσχῃ τῶν σκάνδαλά σοι φερουσῶν ὑπονοιῶν, ἢ καὶ ἀνθρώπων, κατά τινων. Οἱ γὰρ παραδεχόμενοι σκάνδαλα ἐν οἵῳ δήποτε τρόπῳ τῶν κατὰ προαίρεσιν ἢ παρὰ προαίρεσιν συμβαινόντων, οὐκ ἴσασι τὴν ὁδὸν τῆς εἰρήνης, τὴν φέρουσαν διὰ τῆς ἀγάπης εἰς τὴν γνῶσιν τοῦ Θεοῦ τοὺς ταύτης ἐραστάς.*

*70 Οὔπω ἔχει τελείαν τὴν ἀγάπην, ὁ ἔτι ταῖς γνώμαις τῶν ἀνθρώπων συνδιατιθέμενος. Οἷον, τὸν μὲν ἀγαπῶν, τὸν δὲ μισῶν, διὰ τόδε ἢ τόδε, ἢ καὶ τὸν αὐτὸν ποτὲ μὲν ἀγαπῶν, ποτὲ δὲ μισῶν, διὰ τὰς αὐτὰς αἰτίας.*

*71 Ἡ τελεία ἀγάπη οὐ συνδιασχίζει τὴν μίαν τῶν ἀνθρώπων φύσιν, ταῖς διαφόροις αὐτῶν γνώμαις, ἀλλ' εἰς αὐτὴν ἀεὶ ἀποβλεπομένη, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ, εὐεργετοῦσα καὶ μακροθυμοῦσα καὶ ὑπομένουσα τὰ παρ' αὐτῶν ἐπαγόμενα· τὸ κακὸν τὸ συνόλως μὴ λογιζομένη, ἀλλὰ καὶ πάσχουσα ὑπὲρ αὐτῶν, εἰ καιρὸς καλέσειεν, ἵνα καὶ αὐτοὺς ποιήσῃ φίλους εἰ οἷόν*

---

26. Λουκᾶ 21,19.

ψυχῆς, ἤ μόνο τό ἐπιθυμητικό, ἤ ἀκόμα καί τό λογιστικό μέρος αὐτῆς, ὅπως εἶναι ἡ λησμοσύνη καί ἡ ἄγνοια, ἀλλά τό πάθος τῆς πνευματικῆς ἀδιαφορίας, κυριεύοντας ὅλες τίς δυνάμεις τῆς ψυχῆς, θέτει σέ ἐνέργεια ὅλα σχεδόν τά πάθη μαζί. Γι' αὐτό καί εἶναι βαρύτερο ἀπό ὅλα τά ἄλλα. Πολύ καλά λοιπόν ὁ Κύριος ἔδωσε τό φάρμακο ἐναντίον αὐτῆς, λέγοντας· «μέ τήν ὑπομονή σας θά κερδίσετε καί θά σώσετε τίς ψυχές σας»[26].

68 Μή πληγώσεις ποτέ κάποιον ἀπό τούς ἀδελφούς σου καί μάλιστα παράλογα, γιά νά μή συμβεῖ κάποτε, μή ὑποφέροντας τή θλίψη, νά ἐγκαταλείψει τήν προσπάθεια, ἀλλά καί σύ δέν θ' ἀποφύγεις ποτέ τόν ἔλεγχο τῆς συνειδήσεως, πού θά σοῦ προξενεῖ πάντοτε λύπη κατά τήν ὥρα τῆς προσευχῆς καί θ' ἀπομακρύνει τό νοῦ σου ἀπό τήν παρρησία ἀπέναντι στό Θεό.

69 Νά μή ἀνέχεσαι τίς ὑπόνοιές σου ἤ καί ἄλλων ἀνθρώπων γιά σκάνδαλα σέ βάρος ὡρισμένων ἄλλων. Διότι ἐκεῖνοι πού παραδέχονται σκάνδαλα πού συμβαίνουν μέ ὁποιοδήποτε τρόπο ἤ μέ τή διάθεση τῆς ψυχῆς ἤ χωρίς αὐτήν, δέν γνωρίζουν τήν ὁδό τῆς εἰρήνης πού ὁδηγεῖ μέ τήν ἀγάπη τούς ἐραστές αὐτῆς στή γνώση τοῦ Θεοῦ.

70 Δέν ἔχει ἀκόμα τέλεια ἀγάπη ἐκεῖνος πού ἐπηρεάζεται καί συμφωνεῖ μέ τίς γνῶμες τῶν ἀνθρώπων. Ὅπως γιά παράδειγμα, τόν ἕνα τόν ἀγαπᾶ, καί τόν ἄλλο τόν μισεῖ γι' αὐτό τό λόγο ἤ γιά ἐκεῖνον, ἤ καί τόν ἴδιο ἄνθρωπο ἄλλοτε τόν ἀγαπᾶ, καί ἄλλοτε τόν μισεῖ γιά τίς ἴδιες αἰτίες.

71 Ἡ τέλεια ἀγάπη δέν διαχωρίζει τή μία ἀνθρώπινη φύση ἀνάλογα μέ τίς διάφορες γνῶμες τῶν ἀνθρώπων, ἀλλ' ἀποβλέποντας πάντοτε σ' αὐτήν, ἀγαπᾶ ἐξ ἴσου ὅλους τούς ἀνθρώπους. Τούς ἐνάρετους τούς ἀγαπᾶ σάν φίλους, ἐνῶ τούς κακούς τούς ἀγαπᾶ σάν ἐχθρούς, εὐεργετώντας αὐτούς, δείχνοντας μακροθυμία πρός αὐτούς καί ὑπομένοντας ὅλες τίς κατηγορίες καί τίς κακίες πού δέχεται ἀπ' αὐτούς. Δέν σκέπτεται γενικά τό κακό πού τῆς γίνεται ἀπ' αὐτούς, ἀλλά καί πάσχει γι' αὐτούς, ἐάν τό

*τε· εἰ δὲ μή, τῆς γε ἰδίας διαθέσεως οὐκ ἐκπίπτει, τοὺς τῆς ἀγάπης καρποὺς ἀεὶ ἐξ ἴσου πρὸς πάντας ἀνθρώπους ἐνδεικνυμένη. Διὸ καὶ ὁ Κύριος ἡμῶν καὶ ὁ Θεὸς Ἰησοῦς Χριστός, τὴν αὐτοῦ ἀγάπην εἰς ἡμᾶς ἐνδειξάμενος, ὑπὲρ ὅλης τῆς ἀνθρωπότητος ἔπαθεν, καὶ πᾶσιν ἐξ ἴσου τὴν ἐλπίδα τῆς ἀναστάσεως ἐχαρίσατο, εἰ καὶ ἕκαστος ἑαυτὸν εἴτε δόξης, εἴτε κολάσεως καθίστησιν ἄξιον.*

72 *Ὁ μὴ καταφρονῶν δόξης καὶ ἀτιμίας, πλούτου καὶ πενίας, ἡδονῆς τε καὶ λύπης, τελείαν ἀγάπην οὔπω ἐκτήσατο. Ἡ γὰρ τελεία ἀγάπη οὐ μόνον τούτων καταφρονεῖ, ἀλλὰ καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς τε καὶ τοῦ θανάτου.*

73 *Ἄκουε τῶν καταξιωθέντων τῆς τελείας ἀγάπης, ποῖα λέγουσι· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; καθὼς γέγραπται· ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπό τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.*

74 *Περὶ δὲ τῆς εἰς τὸν πλησίον ἀγάπης, ἄκουε πάλιν οἷα λέγουσιν· «ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι καὶ τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ· ὅτι λύπη μοί ἐστι πολλή, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην*

---

27. Ρωμ. 5,8.
28. Ρωμ. 8,35.

καλέσουν οἱ περιστάσεις, γιά νά κάνει καί αὐτούς, ἄν εἶναι δυνατό, φίλους, ἀλλά καί στῆν ἀντίθετη περίπτωση καί ἄν ἀκόμα ἀποτύχει νά τούς κάνει φίλους, δέν ἀλλάζει τή διάθεσή της πρός αὐτούς, παρουσιάζοντας πάντοτε ἐξ ἴσου πρός ὅλους τούς ἀνθρώπους τούς καρπούς τῆς ἀγάπης. Γι' αὐτό καί ὁ Κύριος μας καί Θεός μας Ἰησοῦς Χριστός, δείχνοντας τήν ἀγάπη του πρός ἐμᾶς, ἔπαθε πρός χάρη ὅλης τῆς ἀνθρωπότητας καί χάρισε ἐξ ἴσου πρός ὅλους τήν ἐλπίδα τῆς ἀναστάσεως[27], ἄσχετα βέβαια ἐάν ὁ καθένας καθιστᾶ τόν ἑαυτό του ἄξιο τῆς δόξας τοῦ Θεοῦ ἤ τῆς τιμωρίας.

72 Ἐκεῖνος πού δέν περιφρονεῖ τή δόξα καί τῆν ἀτιμία, τόν πλοῦτο καί τή φτώχεια, τίς ἀπολαύσεις τῆς ζωῆς καί τίς λύπες, δέν ἀπέκτησε ἀκόμα τέλεια ἀγάπη. Διότι ἡ τέλεια ἀγάπη ὄχι μόνο περιφρονεῖ αὐτά, ἀλλά περιφρονεῖ καί τήν ἴδια τήν πρόσκαιρη ζωή καί τό θάνατο.

73 Ἄκου ἐκείνους πού ἀξιώθηκαν νά ἐπιτύχουν τήν τέλεια ἀγάπη τί λένε· «ποιός θά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ; θλίψη ἤ στενοχώρια; ὁ διωγμός ἤ ἡ πείνα; ἡ γυμνότητα ἤ ὁ κίνδυνος καί ἡ μάχαιρα; Ὅπως ἔχει γραφεῖ· ἐξ αἰτίας σου θανατωνόμαστε καθημερινά· θεωρηθήκαμε σάν πρόβατα σφαγῆς. Ὅμως σ' ὅλα αὐτά βγαίνομε μέ τό παραπάνω νικητές μέ τή βοήθεια τοῦ Χριστοῦ πού μᾶς ἀγάπησε. Διότι εἶμαι ἀπόλυτα πεπεισμένος, ὅτι οὔτε ὁ θάνατος, οὔτε ἡ ζωή, οὔτε οἱ ἄγγελοι, οὔτε οἱ ἀρχές, οὔτε οἱ δυνάμεις, οὔτε τίποτε ἀπό τά παρόντα, οὔτε ἀπό τά μέλλοντα, οὔτε ὕψος, οὔτε βάθος, οὔτε κανένα ἄλλο ἀπό τά κτίσματα θά μπορέσει νά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Θεοῦ, πού μᾶς τήν ἔδειξε μέ τόν Ἰησοῦ Χριστό τόν Κύριό μας»[28].

74 Γιά τήν ἀγάπη πρός τό συνάνθρωπό μας ἄκου πάλι ποιά λόγια λένε· «τήν ἀλήθεια λέγω ἐνώπιον τοῦ Χριστοῦ, δέν λέγω ψέματα, καί μοῦ τό ἐπιβεβαιώνει αὐτό ἡ συνείδησή μου μέ τό φωτισμό τοῦ ἁγίου Πνεύματος, ὅτι δηλαδή ὑπάρχει μέσα στήν καρδιά μου μεγάλη λύπη καί ἀδιάκοπος πόνος. Θά εὐχόμουν

*γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται», καὶ τὰ ἑξῆς. Ὡσαύτως καὶ ὁ Μωϋσῆς καὶ πάντες οἱ ἅγιοι.*

75 *Ὁ μὴ καταφρονῶν δόξης καὶ ἡδονῆς, καὶ τῆς τούτων αὐξητικῆς, καὶ δι' αὐτὰς συνισταμένης, φιλαργυρίας, τὰς τοῦ θυμοῦ προφάσεις ἐκκόπτειν οὐ δύναται. Ὁ δὲ ταύτας μὴ ἐκόπτων, τῆς τελείας ἀγάπης τυχεῖν οὐ δύναται.*

76 *Ταπείνωσις καὶ κακοπάθεια πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον· ἡ μέν, τὰ τῆς ψυχῆς, ἡ δέ, τὰ τοῦ σώματος περικόπτουσα πάθη. Τοῦτο γὰρ ποιῶν καὶ ὁ μακάριος φαίνεται Δαβίδ, ἐν οἷς εὔχεται πρὸς τὸν Θεόν, λέγων· «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου».*

77 *Διὰ μὲν τῶν ἐντολῶν ὁ Κύριος, ἀπαθεῖς τοὺς ἐργαζομένους αὐτὰς ἀποτελεῖ, διὰ δὲ τῶν θείων δογμάτων τὸν φωτισμὸν τῆς γνώσεως αὐτοῖς χαρίζεται.*

78 *Πάντα τὰ δόγματα, ἢ περὶ Θεοῦ εἰσιν, ἢ περὶ ὁρατῶν καὶ ἀοράτων, ἢ περὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως.*

79 *Ἡ μὲν ἐλεημοσύνη τὸ θυμικὸν μέρος τῆς ψυχῆς θεραπεύει, ἡ δὲ νηστεία, τὴν μὲν ἐπιθυμίαν μαραίνει, ἡ δὲ προσευχὴ τὸν νοῦν καθαίρει, καὶ πρὸς τὴν τῶν ὄντων θεωρίαν παρασκευάζει. Πρὸς γὰρ τὰς δυνάμεις τῆς ψυχῆς καὶ τὰς ἐντολὰς ὁ Κύριος ἡμῖν ἐχαρίσατο.*

80 *«Μάθετε ἀπ' ἐμοῦ», φησίν, «ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ», καὶ τὰ ἑξῆς. Ἡ μὲν πρᾳότης ἀτάραχον τὸν θυμὸν δια-*

---

29. Ρωμ. 9,1-4.
30. Ἐξ. 32,32.
31. Ψαλμ. 24,18.

πράγματι ν' ἀποχωρισθῶ ἐγώ τόν Χριστό γιά χάρη τῶν ἀδελφῶν μου τῶν κατά φύση συγγενῶν μου, πού εἶναι οἱ Ἰσραηλίτες»[29], καί τά ἑξῆς. Κατά τόν ἴδιο τρόπο μίλησε καί ὁ Μωυσῆς[30] καί ὅλοι οἱ ἅγιοι.

75 Ἐκεῖνος πού δέν περιφρονεῖ τήν κοσμική δόξα καί τίς ὑλικές ἀπολαύσεις καθώς καί τή φιλαργυρία πού αὐξάνει αὐτές καί παρέχει ὅλη τή βοήθειά της πρός αὐτές, δέν μπορεῖ νά ξερριζώσει τίς ἀφορμές τοῦ θυμοῦ, καί ἐκεῖνος πού δέν ξερριζώνει αὐτές, δέν μπορεῖ νά ἐπιτύχει τήν τέλεια ἀγάπη.

76 Ἡ ταπείνωση καί ἡ κακοπάθεια ἐλευθερώνει τόν ἄνθρωπο ἀπό κάθε ἁμαρτία. Ἡ ταπείνωση ξερριζώνει τά πάθη τῆς ψυχῆς, ἐνῶ ἡ κακοπάθεια ἀφαιρεῖ τά πάθη τοῦ σώματος. Αὐτό λοιπόν φαίνεται νά κάμνει καί ὁ μακάριος Δαβίδ, μέ ἐκεῖνες τίς εὐχές πού ἀπευθύνει πρός τό Θεό, λέγοντας· «πρόσεξε τήν ταπείνωσή μου καί τόν κόπο μου καί συγχρώρησε ὅλες τίς ἁμαρτίες μου»[31].

77 Μέ τίς ἐντολές του ὁ Κύριος καθιστᾶ ἀπαθεῖς ἐκείνους πού τίς ἐφαρμόζουν, ἐνῶ μέ τά θεῖα δόγματα χαρίζει σ' αὐτούς τό φωτισμό τῆς γνώσεως.

78 Ὅλα τά δόγματα ἤ ἀναφέρονται στό Θεό, ἤ στά ὁρατά καί τά ἀόρατα, ἤ στήν πρόνοιά του γι' αὐτά καί στή κρίση.

79 Ἡ ἐλεημοσύνη θεραπεύει τό θυμικό μέρος τῆς ψυχῆς, ἡ νηστεία μαραίνει τήν ἐπιθυμία, καί ἡ προσευχή καθαρίζει τό νοῦ καί προετοιμάζει γιά τή θεωρία τῶν ὄντων. Διότι ὁ Κύριος μᾶς χάρισε τίς ἐντολές του ἀνάλογα μέ τίς δυνάμεις τῆς ψυχῆς.

80 «Μάθετε ἀπό ἐμένα», λέγει ὁ Κύριος, «ὅτι εἶμαι πρᾶος καί ταπεινός στήν καρδιά»[33], καί τά ἑξῆς. Ἡ πραότητα διαφυλάσσει

32. Τό θυμικό εἶναι τό μέρος τῆς ψυχῆς, ὅπου ὑπάρχει ἡ ἕδρα τοῦ θάρρους, τῆς ἐλπίδας, τῆς ὀργῆς, τό συναίσθημα.

33. Ματθ. 11,29.

*φυλάττει, ἡ δὲ ταπείνωσις τύφου καὶ κενοδοξίας τὸν νοῦν ἐλευθεροῖ.*

81 *Διττός ἐστιν ὁ τοῦ Θεοῦ φόβος· ὁ μὲν ἐκ τῶν ἀπειλῶν τῆς κολάσεως ἡμῖν ἐντικτόμενος, δι' ὃν ἡ ἐγκράτεια καὶ ἡ ὑπομονή, καὶ ἡ εἰς Θεὸν ἐλπίς, καὶ ἡ ἀπάθεια, ἐξ ἧς ἡ ἀγάπη, κατὰ τάξιν ἡμῖν ἐγγίνονται· ὁ δέ, αὐτῇ τῇ ἀγάπῃ συνέζευκται, εὐλάβειαν τῇ ψυχῇ ἀεὶ ἐμποιῶν, ἵνα μή, διὰ τὴν τῆς ἀγάπης παρρησίαν, εἰς καταφρόνησιν Θεοῦ ἔλθῃ.*

82 *Τὸν μὲν πρῶτον «φόβον ἔξω βάλλει ἡ τελεία ἀγάπη» τῆς ψυχῆς τῆς κεκτημένης αὐτήν, μηκέτι τὴν κόλασιν φοβουμένης, τὸν δὲ δεύτερον, ἑαυτῇ ἔχει ἀεί, ὡς εἴρηται, συνεζευγμένον. Καὶ τῷ μὲν πρώτῳ φόβῳ ἁρμόζει τό, «τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ», καί, «ἀρχὴ σοφίας φόβος Κυρίου», τῷ δὲ δευτέρῳ, τό, «ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος», καὶ τό, «οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν».*

83 *«Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν», καὶ τὰ ἑξῆς. Γῆν μὲν ὠνόμασε τὸ φρόνημα τῆς σαρκός· πορνείαν δὲ εἶπε, τὴν κατ' ἐνέργειαν ἁμαρτίαν· ἀκαθαρσίαν δὲ τὴν συγκατάθεσιν ἐκάλεσε· πάθος δὲ τὸν ἐμπαθῆ λογισμὸν ὠνόμασεν· ἐπιθυμίαν δὲ κακὴν τὴν ψιλὴν τοῦ λογισμοῦ τῆς ἐπιθυμίας παραδοχήν· πλεονεξίαν δὲ τὴν γεννητικήν τε καὶ αὐξητικὴν τοῦ πάθους ὠνόμασεν ὕλην. Ταῦτα οὖν πάντα ὡς μέλη ὄντα τοῦ φρονήματος τῆς σαρκός, ἐκέλευσεν ὁ θεῖος Ἀπόστολος νεκρῶσαι.*

---

34. Ἰω. 4,18.
35. Παροιμ. 15,27.
36. Παροιμ. 1,7 καί Ψαλμ. 110,10.
37. Ψαλμ. 18,10.

τό θυμό ἀτάραχο, ἐνῶ ἡ ταπείνωση ἐλευθερώνει τό νοῦ ἀπό τήν ἀλαζονεία καί τή ματαιοδοξία.

81 Διπλός εἶναι ὁ φόβος τοῦ Θεοῦ· ὁ ἕνας γεννιέται μέσα μας ἀπό τίς ἀπειλές τῆς κολάσεως, ἐξ αἰτίας τοῦ ὁποίου ἀναπτύσσονται μέσα μας μέ τή σειρά ἡ ἐγκράτεια καί ἡ ὑπομονή, ἡ ἐλπίδα πρός τό Θεό καί ἡ ἀπάθεια, ἀπό τήν ὁποία πηγάζει ἡ ἀγάπη· ὁ ἄλλος φόβος εἶναι στενά ἑνωμένος μέ τήν ἀγάπη, δημιουργῶντας πάντοτε εὐλάβεια στήν ψυχή, ὥστε νά μή φθάσει ἡ ψυχή, μέ τό θάρρος πού τῆς δίνει ἡ ἀγάπη, νά περιφρονήσει τό Θεό.

82 Τόν πρῶτο «φόβο τόν διῶχνει ἡ τέλεια ἀγάπη»[34] τῆς ψυχῆς πού ἔχει ἀποκτήσει αὐτήν, καί δέν φοβᾶται πλέον τήν κόλαση, ἐνῶ τόν δεύτερο φόβο τόν ἔχει πάντοτε, ὅπως ἔχει λεχθεῖ προηγουμένως, στενά ἑνωμένο μέ τόν ἑαυτό της. Στόν πρῶτο φόβο ταιριάζει τό, «μέ τόν φόβο τοῦ Κυρίου ἀποφεύγει ὁ καθένας τό κακό»[35], καί, «ἀρχή τῆς σοφίας εἶναι ὁ φόβος τοῦ Κυρίου»[36], ἐνῶ στόν δεύτερο τό, «ὁ φόβος τοῦ Κυρίου πού πηγάζει ἀπό τό νόμο του εἶναι ἁγνός καί παραμένει αἰώνια»[37], καί τό, «ὅσοι φοβοῦνται τόν Κύριο καμιά στέρηση δέν θά δοκιμάσουν»[38].

83 «Νεκρώσατε τά μέλη σας ἐκεῖνα πού ρέπουν πρός τά γήϊνα, δηλαδή τήν πορνεία, τήν ἀκαθαρσία, τό πάθος, τήν κακή ἐπιθυμία καί τήν πλεονεξία»[39], καί τά ἑξῆς. Γῆ ὀνόμασε τό φρόνημα τῆς σάρκας· πορνεία εἶπε τόν ἔμπρακτη ἁμαρτία· ἀκαθαρσία κάλεσε τή συγκατάθεση τοῦ νοῦ· πάθος ὀνόμασε τόν ἐμπαθή λογισμό· ἐπιθυμία κακή χαρακτήρισε τήν ἁπλή ἀποδοχή τοῦ λογισμοῦ τῆς ἐπιθυμίας, καί τέλος πλεονεξία ὀνόμασε τήν ὕλη πού γεννᾶ καί αὐξάνει τό πάθος. Ὅλα αὐτά λοιπόν, σάν μέλη πού εἶναι τοῦ σαρκικοῦ φρονήματος, ἔδωσε ἐντολή ὁ θεῖος Ἀπόστολος νά τά νεκρώσουμε.

38. Ψαλμ. 33,10.
39. Κολοσ. 3.5.

84 *Πρῶτον μὲν ἡ μνήμη, ψιλὸν τὸν λογισμὸν ἐπὶ τὸν νοῦν ἀναφέρει· καὶ τούτου ἐγχρονίζοντος, κινεῖται τὸ πάθος· τούτου δὲ μὴ ἀναιρουμένου, κάμπτει τὸν νοῦν εἰς συγκατάθεσιν· ταύτης δὲ γενομένης ἔρχεται λοιπὸν εἰς τὴν κατ' ἐνέργειαν ἁμαρτίαν. Ὁ οὖν πάνσοφος Ἀπόστολος πρὸς τοὺς ἀπὸ ἐθνῶν γράφων, τὸ ἀποτέλεσμα πρῶτον κελεύει ἀναιρεῖν τῆς ἁμαρτίας, εἶτα, κατὰ τάξιν ἀναποδίζοντας, εἰς τὴν αἰτίαν καταλήγειν. Ἡ δὲ αἰτία ἐστίν, ἡ γεννητική, ὡς προείρηται, καὶ αὐξητικὴ τοῦ πάθους πλεονεξία. Οἶμαι δὲ ἐνταῦθα τὴν γαστριμαργίαν σημαίνειν, ὡς μητέρα καὶ τροφὸν τῆς πορνείας ὑπάρχουσαν. Ἡ γὰρ πλεονεξία, οὐ μόνον ἐπὶ βρωμάτων, ἀλλὰ καὶ ἐπὶ χρημάτων καλή.*

85 *Ὥσπερ στρουθίον τὸν πόδα δεδεμένον ἀρχόμενον πέτεσθαι, ἐπὶ τὴν γῆν κατασπᾶται σχοινίῳ ἑλκόμενον, οὕτω καὶ ὁ νοῦς μήπω ἀπάθειαν κτησάμενος, καὶ ἐπὶ τὴν τῶν οὐρανίων γνῶσιν πετόμενος, ὑπὸ τῶν παθῶν καθελκόμενος, ἐπὶ τὴν γῆν κατασπᾶται.*

86 *Ὅτε νοῦς τελείως τῶν παθῶν ἐλευθερωθῇ τότε καὶ ἐπὶ τὴν θεωρίαν τῶν ὄντων ἀμεταστρεπτὶ ὁδεύει, ἐπὶ τὴν γνῶσιν τῆς ἁγίας Τριάδος τὴν πορείαν ποιούμενος.*

87 *Καθαρὸς ὑπάρχων ὁ νοῦς, τὰ νοήματα τῶν πραγμάτων ἀναλαμβάνων, εἰς τὴν πνευματικὴν θεωρίαν αὐτῶν κινεῖται, ἀκάθαρτος δὲ ἐκ ῥᾳθυμίας γεγονώς, τὰ μὲν τῶν λοιπῶν πραγμάτων νοήματα ψιλὰ φαντάζεται, τὰ δὲ ἀνθρώπινα δεχόμενος, εἰς αἰσχροὺς ἢ πονηροὺς λογισμοὺς μετατρέπεται.*

88 *Ὅταν ἀεὶ ἐν τῷ καιρῷ τῆς προσευχῆς μηδὲν τῶν τοῦ κό-*

84 Στήν ἀρχή ἡ μνήμη εἰσάγει στό νοῦ λογισμό ἁπλό, ἐφόσον ὅμως αὐτό διαρκεῖ γιά πολύ χρόνο, τότε ἀρχίζει νά ἐκδηλώνεται τό πάθος, καί ἄν αὐτό δέν νικηθεῖ καί ἀπομακρυνθεῖ, λυγίζει ὁ νοῦς καί δίνει τή συγκατάθεσή του, καί ἀφοῦ δοθεῖ ἡ συγκατάθεση αὐτή, τότε πλέον προχωρεῖ ὁ ἄνθρωπος στήν διάπραξη τῆς ἁμαρτίας. Ὁ πάνσοφος λοιπόν Ἀπόστολος γράφοντας πρός τούς προερχομένους ἀπό τούς Ἐθνικούς Χριστιανούς δίνει ἐντολή νά καταστρέφεται πρῶτα τό ἀποτέλεσμα τῆς ἁμαρτίας, καί μετά, ἀντιστρέφοντας τή σειρά τῶν πραγμάτων, καταλήγει στήν αἰτία. Καί ἡ αἰτία, ὅπως προαναφέρθηκε, εἶναι ἡ πλεονεξία πού γεννᾶ καί αὐξάνει τό πάθος. Νομίζω ἐδῶ ὅτι ἐννοεῖ τή γαστριμαργία, πού εἶναι μητέρα καί τροφός τῆς πορνείας. Διότι ἡ πλεονεξία εἶναι κακή ὄχι μόνο στήν περίπτωση τῶν χρημάτων, ἀλλά καί στήν περίπτωση τῶν τροφῶν. Ὅπως πάλι καί ἡ ἐγκράτεια εἶναι καλή ὄχι μόνο στήν περίπτωση τῶν τροφῶν, ἀλλά καί στήν περίπτωση τῶν χρημάτων.

85 Ὅπως ἀκριβῶς τό σπουργιτάκι, πού εἶναι δεμένο ἀπό τό πόδι του, ἐπιχειρώντας νά πετάξει, σύρεται πρός τή γῆ ἐπειδή ἕλκεται ἀπό τό σχοινί, ἔτσι καί ὁ νοῦς πού δέν ἀπέκτησε ἀκόμα ἀπάθεια, πετώντας πρός τά ἐπάνω στήν προσπάθειά του νά γνωρίσει τά οὐράνια, συρόμενος ἀπό τά πάθη, πέφτει πρός τά γήϊνα.

86 Ὅταν ὁ νοῦς ἐλευθερωθεῖ τέλεια ἀπό τά πάθη, τότε χωρίς μεταστροφή προχωρεῖ στή θεωρία τῶν ὄντων καί ἡ πορεία αὐτή τόν ὁδηγεῖ στή γνώση τῆς ἁγίας Τριάδος.

87 Ὅταν ὁ νοῦς εἶναι καθαρός προσλαμβάνει τά νοήματα τῶν πραγμάτων καί προχωρεῖ στήν πνευματική θεωρία αὐτῶν, ὅταν ὅμως ἀπό πνευματική ἀδιαφορία καταστεῖ ἀκάθαρτος, τότε τίς ἔννοιες τῶν πνευματικῶν πραγμάτων τίς θεωρεῖ σάν ἁπλές καί χωρίς σημασία ἔννοιες, ἐνῶ, δεχόμενος τίς ἀνθρώπινες ἔννοιες, τίς μετατρέπει σέ αἰσχρούς ἤ πονηρούς λογισμούς.

88 Ὅταν φθάσεις, ὥστε πάντοτε κατά τήν ὥρα τῆς προσευχῆς

*σμου νοημάτων διενοχλήσῃ τῷ νῷ, τότε γίνωσκε σαυτὸν μὴ ἔξω εἶναι τῶν ὅρων τῆς ἀπαθείας.*

89 *Ὅταν ἡ ψυχὴ ἄρχηται τῆς ἰδίας ὑγείας ἐπαισθάνεσθαι, τότε καὶ τὰς ἐν τοῖς ὕπνοις φαντασίας ψιλὰς καὶ ἀταράχους ἄρχεται βλέπειν.*

90 *Ὥσπερ τὸν αἰσθητὸν ὀφθαλμὸν ἡ καλλονὴ τῶν ὁρατῶν, οὕτω καὶ τὸν καθαρὸν νοῦν, ἡ γνῶσις τῶν ἀοράτων πρὸς ἑαυτὴν ἐπισπᾶται. Ἀόρατα δὲ λέγω, τὰ ἀσώματα.*

91 *Μέγα μὲν τὸ πρὸς τὰ πράγματα μὴ πάσχειν, μεῖζον δὲ πολλῷ τὸ πρὸς τὰς φαντασίας αὐτῶν ἀπαθῆ διαμεῖναι. Διότι ὁ διὰ τῶν λογισμῶν πρὸς ἡμᾶς τῶν δαιμόνων πόλεμος, τοῦ διὰ τῶν πραγμάτων πολέμου ἐστὶ χαλεπώτερος.*

92 *Ὁ τὰς ἀρετὰς κατορθώσας καὶ τῇ γνώσει πλουτήσας, ὡς φυσικῶς λοιπὸν τὰ πράγματα διορῶν, πάντα κατὰ τὸν ὀρθὸν λόγον καὶ πράττει καὶ διαλέγεται, τὸ σύνολον μὴ παρατρεπόμενος. Ἐκ γὰρ τοῦ εὐλόγως ἢ παραλόγως τοῖς πράγμασι χρήσασθαι, ἢ ἐνάρετοι ἢ φαῦλοι γινόμεθα.*

93 *Σημεῖον ἄκρας ἀπαθείας, τὸ ψιλὰ τὰ νοήματα τῶν πραγμάτων ἀεὶ ἀναβαίνειν ἐπὶ τὴν καρδίαν, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.*

94 *Διὰ μὲν τῆς ἐργασίας τῶν ἐντολῶν τὰ πάθη ὁ νοῦς ἀποδύεται, διὰ δὲ τῆς τῶν ὁρατῶν πνευματικῆς θεωρίας, τὰ ἐμπαθῆ τῶν πραγμάτων νοήματα. Διὰ δὲ τῆς τῶν ἀοράτων γνώσεως τὴν τῶν ὁρατῶν θεωρίαν· ταύτην δέ, διὰ τῆς γνώσεως τῆς ἁγίας Τριάδος.*

νά μήν ἐνοχλεῖ τό νοῦ σου καμιά ἀπό τίς ἔννοιες τοῦ κόσμου, τότε γνώριζε ὅτι δέν βρίσκεται ἔξω ἀπό τό χῶρο τῆς ἀπάθειας.

89 Ὅταν ἡ ψυχή ἀρχίζει νά αἰσθάνεται τήν ὑγεία της, τότε ἀρχίζει νά βλέπει καί τίς φαντασίες τῶν ὀνείρων σάν ἁπλές φαντασίες καί χωρίς νά νιώθει καμιά ταραχή.

90 Ὅπως ἀκριβῶς τόν αἰσθητό ὀφθαλμό τόν προσελκύει τό κάλλος τῶν ὁρατῶν πραγμάτων, ἔτσι καί τόν καθαρό νοῦ τόν ἀποσπᾶ ἡ γνώση τῶν ἀόρατων πραγμάτων. Ἀόρατα ὀνομάζω τά ἀσώματα.

91 Εἶναι πάρα πολύ σπουδαῖο πράγμα τό νά παραμένει ὁ νοῦς ἀπαθής ἀπό τά πράγματα τοῦ κόσμου, πολύ περισσότερο ὅμως τό νά παραμένει ἀπαθής ἀπό τίς φαντασίες αὐτῶν. Διότι ὁ πόλεμος τῶν δαιμόνων πρός ἐμᾶς μέ τούς λογισμούς εἶναι πολύ πιό φοβερός ἀπό τόν πόλεμο μέσω τῶν πραγμάτων.

92 Ἐκεῖνος πού κατόρθωσε τίς ἀρετές καί ἀπέκτησε τόν πλοῦτο τῆς γνώσεως, θεωρώντας πλέον τά πράγματα μέ τή φυσική τους ἔννοια, ὅλα τά κάμνει καί γιά ὅλα ὁμιλεῖ σύμφωνα μέ τόν ὀρθό λόγο, χωρίς νά διαστρέφει κανένα ἀπ' αὐτά. Διότι ἀνάλογα μέ τή λογική ἤ παράλογη χρησιμοποίηση τῶν πραγμάτων γινόμαστε ἐνάρετοι ἤ κακοί.

93 Ἀπόδειξη τέλειας ἀπάθειας τῆς ψυχῆς εἶναι ὅταν οἱ ἔννοιες τῶν πραγμάτων ἀνεβαίνουν πάντοτε στήν καρδιά σάν ἁπλές ἔννοιες καί ὅταν τό σῶμα δέν κοιμᾶται καί ὅταν κοιμᾶται.

94 Μέ τήν ἐφαρμογή τῶν ἐντολῶν τοῦ Χριστοῦ ὁ νοῦς ἀποβάλλει τά πάθη, ἐνῶ μέ τήν πνευματική θεωρία τῶν ὁρατῶν πραγμάτων ἀποβάλλει τίς ἐμπαθεῖς ἔννοιες τῶν πραγμάτων· μέ τή γνώση τῶν ὁρατῶν πραγμάτων ἀποβάλλει τή θεωρία τῶν ὁρατῶν, καί τέλος τή γνώση αὐτή τῶν ἀοράτων τήν ἀποβάλλει μέ τή γνώση τῆς ἁγίας Τριάδος.

95 *Ὥσπερ ὁ ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτὸν καὶ τὰ ὑπ' αὐτοῦ φωτιζόμενα πράγματα, οὕτω καὶ ὁ τῆς δικαιοσύνης Ἥλιος, τῷ καθαρῷ νῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι, καὶ πάντων τῶν ὑπ' αὐτοῦ γεγονότων καὶ γενησομένων τοὺς λόγους.*

96 *Οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ τὸν Θεὸν γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας αὐτοῦ καὶ προνοίας τῶν ὄντων. Διὰ τούτων γάρ, ὡς δι' ἐσόπτρων, τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν κατανοοῦμεν.*

97 *Ὁ καθαρὸς νοῦς, ἢ ἐν τοῖς ψιλοῖς νοήμασι τῶν ἀνθρωπίνων πραγμάτων εὑρίσκεται, ἢ ἐν τῇ τῶν ὁρατῶν φυσικῇ θεωρίᾳ, ἢ ἐν τῇ τῶν ἀοράτων, ἢ ἐν τῷ φωτὶ τῆς ἁγίας Τριάδος.*

98 *Ἐν τῇ τῶν ὁρατῶν θεωρίᾳ γενόμενος ὁ νοῦς, ἢ τοὺς φυσικοὺς αὐτῶν λόγους ἐρευνᾷ, ἢ τοὺς δι' αὐτῶν σημαινομένους, ἢ αὐτὴν τὴν αἰτίαν ζητεῖ.*

99 *Ἐν δὲ τῇ τῶν ἀοράτων διατρίβων, τούς τε φυσικοὺς αὐτῶν λόγους ζητεῖ, καὶ τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν, καὶ τὰ τούτοις ἀκόλουθα. Καὶ τίς ἡ περὶ αὐτοὺς πρόνοια καὶ κρίσις.*

100 *Ἐν δὲ Θεῷ γενόμενος, τοὺς περὶ τῆς οὐσίας αὐτοῦ πρῶτον λόγους ζητεῖ μὲν ὑπὸ τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ' αὐτὸν δὲ τὴν παραμυθίαν εὑρίσκει (ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γενητῇ φύσει ἐξ ἴσου), ἐκ δὲ τῶν περὶ αὐτὸν παραμυθεῖται· λέγω δή, τῶν περὶ ἀϊδιότητος, ἀπειρίας τε καὶ*

95 Ὅπως ἀκριβῶς ὁ ἥλιος ἀνατέλλοντας καί φωτίζοντας τόν κόσμο, καί τόν ἑαυτό του δείχνει καί τά πράγματα πού φωτίζονται ἀπ' αὐτόν, ἔτσι καί ὁ Ἥλιος τῆς δικαιοσύνης, ἀνατέλλοντας μέσα στόν καθαρό νοῦ, καί τόν ἑαυτό του δείχνει, καί τίς αἰτίες ὅλων ἐκείνων πού ἔχουν γίνει ἀπ' αὐτόν καί πρόκειται νά γίνουν.

96 Δέν γνωρίζουμε τό Θεό ἀπό τήν οὐσία του, ἀλλ' ἀπό τά μαγαλοπρεπή ἔργα αὐτοῦ καί ἀπό τήν πρόνοιά του γιά τά ὄντα. Διότι μέσα ἀπ' αὐτά, σάν μέσα ἀπό καθρέφτη, κατανοοῦμε τήν ἄπειρη ἀγαθότητα καί σοφία καί δύναμη αὐτοῦ.

97 Ὁ καθαρός νοῦς κινεῖται ἤ μέσα στίς ἁπλές ἔννοιες τῶν ἀνθρωπίνων πραγμάτων, ἤ μέσα στή φυσική θεωρία τῶν ὁρατῶν πραγμάτων, ἤ μέσα στή θεωρία τῶν ἀοράτων, ἤ μέσα στό φῶς τῆς ἁγίας Τριάδος.

98 Κινούμενος ὁ νοῦς μέσα στή θεωρία τῶν ὁρατῶν πραγμάτων ἐρευνά ἤ τίς φυσικές αἰτίες αὐτῶν, ἤ τό βαθύτερο νόημα πού ὑποσημαίνεται ἀπ' αὐτά, ἤ ψάχνει νά βρεῖ τήν αἰτία πού ἔκανε αὐτά.

99 Ὁ νοῦς πού ἀσχολεῖται μέ τή θεωρία τῶν ἀοράτων πραγμάτων, ψάχνει νά βρεῖ καί τίς φυσικές αἰτίες αὐτῶν, καί τήν αἰτία τῆς δημιουργίας αὐτῶν καί τά ὅσα συνεπάγονται ἀπ' αὐτά, καί τέλος ποιά εἶναι ἡ πρόνοια καί ἡ κρίση τοῦ Θεοῦ γι' αὐτά.

100 Ὅταν ὁ νοῦς βρεθεῖ μέσα στό χῶρο τοῦ Θεοῦ, φλεγόμενος ἀπό τόν πόθο νά γνωρίσει αὐτόν, ψάχνει νά βρεῖ πρῶτα τούς λόγους τῆς οὐσίας αὐτοῦ, δέν βρίσκει ὅμως τήν ἐξήγηση αὐτή ἀπό ἐκεῖνα πού ἔχουν ἄμεση σχέση μέ τήν οὐσία αὐτοῦ (διότι αὐτό εἶναι ἀδύνατο καί ἐξ ἴσου ἀκατόρθωτο γιά κάθε γεννητή φύση), ἀλλά παρηγορεῖται ἀπό ἐκεῖνα πού ἀναφέρονται σ' αὐτόν· ἐννοῶ δηλαδή τήν αἰωνιότητα αὐτοῦ, τήν ἀπειρία καί τήν ἀοριστία του, τήν ἀγαθότητα καί σοφία του, καθώς καί τή δύναμή του τόσο τή δημιουργική, ὅσο καί τήν προνοητική καί

*ἀοριστίας, ἀγαθότητός τε καὶ σοφίας καὶ δυνάμεως δημιουργικῆς τε καὶ προνοητικῆς καὶ κριτικῆς τῶν ὄντων. Καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία, καὶ αὐτὸ τὸ μηδὲν γινώσκειν, ὑπὲρ νοῦν γινώσκειν, ὥσπερ οἱ θεολόγοι ἄνδρες εἰρήκασι, Γρηγόριός τε καὶ Διονύσιος.*



κριτική τῶν ὄντων. Καί αὐτοῦ αὐτό μόνο εἶναι τελείως καταληπτό, ἡ ἀπειρία δηλαδή καί ἡ μή γνώση αὐτοῦ, διότι ἡ γνώση αὐτοῦ βρίσκεται πέρα ἀπό τίς δυνάμεις τοῦ ἀνθρώπου, ὅπως ἀκριβῶς εἶπαν οἱ θεολόγοι ἄνδρες Γρηγόριος ὁ Θεολόγος καί Διονύσιος ὁ Ἀρειοπαγίτης



## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ

1 Ὁ γνησίως τὸν Θεὸν ἀγαπῶν, οὗτος καὶ ἀπερισπάστως πάντως προσεύχεται· καὶ ἀπερισπάστως πάντως προσευχόμενος, οὗτος γνησίως τὸν Θεὸν ἀγαπᾷ. Οὐκ εὔχεται δὲ ἀπερισπάστως ὅ τινι ἐπιγείων ἔχων τὸν νοῦν προσηλωμένον· οὐκ ἄρα ἀγαπᾷ τὸν Θεόν, ὅ τινι τῶν ἐπιγείων ἔχων τὸν νοῦν δεδεμένον.

2 Ὁ νοῦς πράγματι χρονίζων αἰσθητῷ, πάθος ἔχει πάντως πρὸς αὐτό· οἷον ἐπιθυμίας ἢ λύπης ἢ ὀργῆς ἢ μνησικακίας· καὶ εἰ μὴ τοῦ πράγματος ἐκείνου καταφρονεῖ, τοῦ πάθους ἐκείνου ἐλευθεροῦσθαι οὐ δύναται.

3 Τὰ μὲν πάθη τοῦ νοῦ κρατοῦντα συνδεσμοῦσιν αὐτὸν τοῖς πράγμασι τοῖς ὑλικοῖς, καί, τοῦ Θεοῦ χωρίσαντα, αὐτοῖς ἐνασχολεῖσθαι ποιοῦσιν. Ἡ δὲ τοῦ Θεοῦ ἀγάπη κρατήσασα, λύει αὐτὸν τῶν δεσμῶν, παραφρονεῖν πείθουσα οὐ μόνον τῶν αἰσθητῶν πραγμάτων, ἀλλὰ καὶ αὐτῆς ἡμῶν τῆς προσκαίρου ζωῆς.

4 Ἔργον τῶν ἐντολῶν ψιλὰ ποιεῖν τὰ τῶν πραγμάτων νοήματα· ἀναγνώσεως δὲ καὶ θεωρίας, ἄϋλον καὶ ἀνείδεον τὸν νοῦν ἀπεργάζεσθαι, ἐκ δὲ τούτου συμβαίνει, τὸ ἀπερισπάστως προσεύχεσθαι.

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΕΚΑΤΟΝΤΑΔΑ ΔΕΥΤΕΡΗ

1 Ἐκεῖνος πού ἀγαπᾶ γνήσια τό Θεό, αὐτός ὁπωσδήποτε προσεύχεται καί ἀπερίσπαστα πρός αὐτόν, καί ἐκεῖνος πού προσεύχεται ὁπωσδήποτε ἀπερίσπαστα, αὐτὸς καί ἀγαπᾶ γνήσια τό Θεό. Δέν προσεύχεται ἀπερίσπαστα ἐκεῖνος πού ἔχει προσηλωμένο τό νοῦ σέ κάποιο ἀπό τά ἐπίγεια πράγματα, καί ἑπομένως δέν ἀγαπᾶ τό Θεό ἐκεῖνος πού ἔχει δεμένο τό νοῦ του σέ κάποιο ἀπό τά ἐπίγεια.

2 Ὁ νοῦς πού ἀσχολεῖται ἐπίμονα μέ κάποιο πράγμα αἰσθητό, ὁπωσδήποτε ἔχει πάθος πρός αὐτό, ὅπως γιά παράδειγμα πάθος ἐπιθυμίας ἤ λύπης ἤ ὀργῆς ἤ μνησικακίας, καί ἄν δέν περιφρονήσει τό πράγμα ἐκεῖνο δέν μπορεῖ νά ἐλευθερωθεῖ ἀπό τό πάθος ἐκεῖνο.

3 Τά πάθη, ἐξουσιάζοντας τό νοῦ, δεσμεύουν αὐτόν μέ τά ὑλικά πράγματα, καί, ἀφοῦ τόν χωρίσουν ἀπό τό Θεό, τόν κάνουν ν' ἀσχολεῖται μέ αὐτά. Ὅταν ὅμως ἡ ἀγάπη τοῦ Θεοῦ κυριαρχήσει στό νοῦ, ἐλευθερώνει αὐτόν ἀπό τά δεσμά καί τόν πείθει νά περιφρονεῖ ὄχι μόνο τά αἰσθητά πράγματα, ἀλλά καί τήν ἴδια τήν πρόσκαιρη ζωή μας.

4 Ἔργο τῶν ἐντολῶν εἶναι νά κάνουν φανερά τά νοήματα τῶν πραγμάτων, ἡ δέ ἀνάγνωση τῶν ἐντολῶν καί ἡ θεωρία τῶν πνευματικῶν πραγμάτων καθιστοῦν τό νοῦ ἄϋλο καί ἀπαλλαγμένο ἀπό τά πράγματα τοῦ κόσμου, καί αὐτό συντελεῖ ὥστε ἡ προσευχή νά γίνεται ἀπερίσπαστα.

5 *Οὐκ ἀρκεῖ πρακτικὴ μέθοδος πρὸς τὸ τελείως τὸν νοῦν παθῶν ἐλευθερωθῆναι, ὥστε δυνηθῆναι αὐτὸν ἀπερισπάστως προσεύχεσθαι, εἰ μὴ καὶ διάφοροι αὐτὸν διαδέξονται πνευματικαὶ θεωρίαι. Ἡ μὲν γάρ, ἀκρασίας καὶ μίσους μόνον τὸν νοῦν ἐλευθεροῖ, αἱ δέ, καὶ λήθης καὶ ἀγνοίας αὐτὸν ἀπαλλάτουσι· καὶ οὕτω δυνήσεται ὡς δεῖ προσεύξασθαι.*

6 *Τῆς καθαρᾶς προσευχῆς δύο εἰσὶν ἀκρόταται καταστάσεις· ἡ μέν, τοῖς πρακτικοῖς, ἡ δέ, τοῖς θεωρητικοῖς ἐπισυμβαίνουσα. Καὶ ἡ μέν, ἐκ φόβου Θεοῦ καὶ ἐλπίδος ἀγαθῆς τῇ ψυχῇ ἐγγίνεται, ἡ δέ, ἀπὸ θείου ἔρωτος καὶ ἀκροτάτης καθάρσεως. Γνωρίσματα δὲ τοῦ μὲν πρώτου μέτρου, τὸν ἐν τῷ συναγαγεῖν τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καὶ ὡς αὐτῷ αὐτοῦ περισταμένου τοῦ Θεοῦ, ὥσπερ καὶ παρέστη, ποιεῖσθαι τὰς προσευχὰς ἀπερισπάστως καὶ ἀνενοχλήτως· τοῦ δὲ δευτέρου, τὸν ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπαγῆναι τὸν νοῦν ὑπὸ τοῦ θείου καὶ ἀπείρου φωτός, καὶ μήτε ἑαυτοῦ μήτε τινὸς ἄλλου τῶν ὄντων τὸ σύνολον ἐπαισθάνεσθαι, εἰ μὴ μόνου τοῦ διὰ τῆς ἀγάπης ἐν αὐτῷ τὴν τοιαύτην ἔλλαμψιν ἐνεργοῦντος. Τότε δὲ καὶ περὶ τοὺς περὶ Θεοῦ λόγους κινούμενος, καθαρὰς καὶ τρανὰς τὰς περὶ αὐτοῦ λαμβάνει ἐμφάσεις.*

7 *Ὅ τις ἀγαπᾷ, τούτου καὶ ἀντέχεται πάντως· καὶ πάντων τῶν πρὸς τοῦτο ἐμποδιζόντων αὐτῷ, καταφρονεῖ, ἵνα μὴ αὐτοῦ στερηθῇ· καὶ τὸν Θεὸν ἀγαπῶν, ἐπιμελεῖται καθαρᾶς προσευχῆς, καὶ πᾶν πάθος πρὸς τοῦτο ἐμποδίζων αὐτῷ, ἀποβάλλει ἐξ ἑαυτοῦ.*

8 *Ὁ τὴν μητέρα τῶν παθῶν ἀποβαλὼν φιλαυτίαν, καὶ τὰ λοιπὰ εὐχερῶς σὺν Θεῷ ἀποτίθεται· οἷον ὀργήν, λύπην, μνησικα-*

5 Δέν ἀρκεῖ ἡ πρακτική μόνο μέθοδος γιά νά ἐλευθερωθεῖ ἐξ ὁλοκλήρου ὁ νοῦς ἀπό τά πάθη, ὥστε νά μπορεῖ αὐτός νά προσεύχεται ἀπερίσπαστα, ἐάν δέν ἀκολουθήσουν καί διάφορες πνευματικές θεωρίες. Διότι ἡ πρακτική μέθοδος ἐλευθερώνει τό νοῦ μόνο ἀπό τήν ἀκράτεια καί τό μίσος, ἐνῶ οἱ πνευματικές θεωρίες ἀπαλλάσσουν αὐτόν ἀπό τή λησμοσύνη καί τήν ἄγνοια καί ἔτσι μπορεῖ νά προσεύχεται ὅπως πρέπει.

6 Τῆς καθαρῆς προσευχῆς δύο εἶναι οἱ πιό τελειότερες καταστάσεις· ἡ μία συμβαίνει στούς πρακτικούς, ἐνῶ ἡ ἄλλη στούς θεωρητικούς. Ἡ πρώτη γεννιέται στήν ψυχή ἀπό τό φόβο τοῦ Θεοῦ καί τήν ἀγαθή ἐλπίδα, ἐνῶ ἡ ἄλλη γεννιέται ἀπό τόν θεῖο ἔρωτα καί ἀπό τήν τέλεια κάθαρση. Γνωρίσματα τῆς πρώτης καταστάσεως εἶναι ὁ περιορισμός τοῦ νοῦ ἀπό ὅλες τίς ἔννοιες τοῦ κόσμου, ὥστε στή συνέχεια νά μπορεῖ νά προσεύχεται πρός τό Θεό ἀπερίσπαστα καί ἀνενόχλητα καί σάν νά εἶναι ὁ Θεός παρών, ὅπως καί εἶναι πραγματικά παρών, ἐνῶ τῆς δεύτερης καταστάσεως γνώρισμα εἶναι τό ν' ἁρπαγεῖ ἀπό τό θεῖο καί ἄπειρο φῶς κατά τή στιγμή ἀκριβῶς πού εἶναι κυριευμένος ἀπό τόν ὁρμητικό πόθο τῆς προσευχῆς, ὥστε νά μή αἰσθάνεται οὔτε τόν ἑαυτό του, οὔτε κανένα γενικά ἀπό ὅλα τά ἄλλα ὄντα, παρά μόνο ἐκεῖνον πού ἀπό ἀγάπη ἐνεργεῖ σ' αὐτόν τήν ἔλλαμψη αὐτοῦ τοῦ εἴδους. Τότε, προχωρώντας ὁ νοῦς στήν ἀναζήτηση ὅλων τῶν αἰτίων πού σχετίζονται μέ τό Θεό, δέχεται καθαρές καί σαφεῖς ἀποκαλύψεις περί αὐτοῦ.

7 Ἐκεῖνο πού ἀγαπᾶ κάποιος, σ' αὐτό ὁπωσδήποτε καί προσηλώνεται, περιφρονώντας ὅλα ἐκεῖνα πού τόν ἐμποδίζουν στήν ἀπόκτηση αὐτοῦ, ὥστε νά μή στερηθεῖ αὐτό· ἔτσι καί ἐκεῖνος πού ἀγαπᾶ τό Θεό, φροντίζει ἡ προσευχή του νά εἶναι καθαρή, καί ἀπομακρύνει ἀπό τόν ἑαυτό του κάθε πάθος πού γίνεται ἐμπόδιο στό στόχο του αὐτό.

8 Ἐκεῖνος πού ἀπομάκρυνε ἀπό τόν ἑαυτό του τή μητέρα τῶν παθῶν, δηλαδή τή φιλαυτία, μέ τή βοήθεια τοῦ Θεοῦ ἀπομα-

*κίαν, καὶ τὰ ἑξῆς, ὁ δὲ ὑπὸ τοῦ πρώτου κρατούμενος, ὑπὸ τοῦ δευτέρου, κἂν μὴ θέλῃ, τιτρώσκεται. Φιλαυτία δέ ἐστι, τὸ πρὸς τὸ σῶμα πάθος.*

9 *Διὰ τὰς πέντε ταύτας αἰτίας οἱ ἄνθρωποι ἀγαπῶσιν ἀλλήλους, εἴτε ἐπαινετῶς, εἴτε ψεκτῶς. Οἷον, ἢ διὰ τὸν Θεόν, ὡς ὁ ἐνάρετος πάντας, καὶ ὡς ὁ τὸν ἐνάρετον κἂν μήπω ἐνάρετος· ἢ διὰ φύσιν, ὡς οἱ γονεῖς τὰ τέκνα, καὶ ἔμπαλιν· ἢ διὰ κενοδοξίαν, ὡς ὁ δοξαζόμενος τὸν δοξάζοντα· ἢ διὰ φιλαργυρίαν, ὡς ὁ τὸν πλούσιον διὰ λῆψιν· ἢ διὰ φιληδονίαν, ὡς ὁ τὴν γαστέρα θεραπευόμενος καὶ τὰ ὑπὸ γαστέρα. Καὶ ἡ μὲν πρώτη ἐπαινετή, ἡ δὲ δευτέρα μέση, αἱ δὲ λοιπαὶ ἐμπαθεῖς.*

10 *Ἐὰν τινὰς μὲν μισῇς, τινὰς δὲ οὐδὲ ἀγαπᾷς οὐδὲ μισῇς· ἑτέρους δὲ ἀγαπᾷς, ἀλλὰ συμμέτρως, ἄλλους δὲ σφόδρα ἀγαπᾷς, ἐκ ταύτης τῆς ἀνισότητος γνῶθι ὅτι μακρὰν εἶ τῆς τελείας ἀγάπης, ἥτις ὑποτίθεται πάντα ἄνθρωπον ἐξ ἴσου ἀγαπᾶν.*

11 *«Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν». Τουτέστι, πολέμησον τοὺς ἐχθρούς, ἵνα μειώσῃς τὰ πάθη, ἔπειτα δὲ νῆφε, ἵνα μὴ αὐξήσωσι. Καὶ πάλιν· Πολέμησον, ἵνα κτήσῃ τὰς ἀρετάς· καὶ μετέπειτα νῆφε, ἵνα αὐτὰς διαφυλάξῃς. Καὶ τοῦτο ἂν εἴη, τὸ ἐργάζεσθαι, καὶ φυλάσσειν.*

12 *Οἱ κατὰ συγχώρησιν Θεοῦ πειράζοντες ἡμᾶς, ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐκθερμαίνουσιν, ἢ τὸ θυμικὸν ἐκταράσσουσιν,*

---

1. Ψαλμ. 36,27.
2. Γεν. 2,15.

κρύνει μέ εὐκολία καί τά ὑπόλοιπα, ὅπως τήν ὀργή, τή λύπη, τή μνησικακία, καί τά ὑπόλοιπα, ἐνῶ ἐκεῖνος πού βρίσκεται κάτω ἀπό τήν ἐξουσία τοῦ πρώτου, καί ἄν ἀκόμα δέ θέλει, πληγώνεται ἀπό τό δεύτερο. Φιλαυτία εἶναι τό πάθος τῆς ὑπερβολικῆς ἀγάπης πρός τό σῶμα.

9 Γιά τίς πέντε αὐτές αἰτίες ἀγαπῶνται οἱ ἄνθρωποι ἀναμεταξύ τους, εἴτε εἶναι αὐτές ἀξιέπαινες, εἴτε ἀξιοκατάκριτες. Ἤ δηλαδή ἀγαπῶνται ἐξ αἰτίας τοῦ Θεοῦ, ὅπως ὁ ἐνάρετος πού ἀγαπᾶ ὅλους, καί ὅπως ἐκεῖνος πού ἀγαπᾶ τόν ἐνάρετο καί ἄν ἀκόμα δέν εἶναι ἐνάρετος· ἤ ἐξ αἰτίας τῆς φύσεως, ὅπως οἱ γονεῖς τά τέκνα καί ἀντιστροφα· ἤ ἀπό ματαιοδοξία, ὅπως ἀγαπᾶ ἐκεῖνος πού τιμᾶται ἐκεῖνον πού τόν τιμᾶ· ἤ ἀπό φιλαργυρία, ὅπως ἐκεῖνος πού ἀγαπᾶ τόν πλούσιο μέ σκοπό νά λάβει χρήματα ἀπ' αὐτόν· ἤ ἀπό φιληδονία, ὅπως ἐκεῖνος πού ὑπηρετεῖ δουλικά τή γαστέρα καί ὅλα τά σχετικά μέ τήν ἀκολασία. Ἡ πρώτη αἰτία εἶναι ἐπαινετή, ἡ δεύτερη βρίσκεται στή μεσαία κατάσταση, ἐνῶ οἱ ὑπόλοιπες εἶναι ἐκδηλώσεις πάθους.

10 Ἐάν κάποιους τούς μισεῖς, ἄλλους οὔτε τούς ἀγαπᾶς οὔτε τούς μισεῖς, ἄλλους πάλι τούς ἀγαπᾶς ἀλλά περιορισμένα, καί ἄλλους τούς ἀγαπᾶς ὑπερβολικά, ἐξ αἰτίας αὐτῆς τῆς ἀνισότητας γνώριζε ὅτι βρίσκεσαι μακριά ἀπό τήν τέλεια ἀγάπη, ἡ ὁποία προυποθέτει ν' ἀγαπᾶ κανείς ἐξ ἴσου τόν κάθε ἄνθρωπο.

11 «Ἀπόφυγε τό κακό καί κάνε τό καλό»[1]. Δηλαδή, πολέμησε τούς ἐχθρούς, γιά νά μειώσεις τά πάθη, στή συνέχεια ὅμως νά ἐπαγρυπνεῖς καί νά προσέχεις γιά νά μή αὐξηθοῦν. Καί πάλι συνέχισε τόν ἀγῶνα γιά ν' ἀποκτήσεις τίς ἀρετές, καί, ἀφοῦ τίς ἀποκτήσεις, ἐπαγρύπνησε μετά καί πρόσεχε γιά νά διαφυλάξεις αὐτές. Καί αὐτήν τήν ἔννοια θά μποροῦσε νά ἔχει τό, «νά ἐργάζεσθε καί νά φυλάσσετε αὐτόν»[2].

12 Ἐκεῖνοι πού μᾶς πειράζουν κατά παραχώρηση τοῦ Θεοῦ, ἤ θερμαίνουν τό ἐπιθυμητικό τῆς ψυχῆς μας, ἤ δημιουργοῦν ταραχή στό θυμικό αὐτῆς, ἤ συσκοτίζουν τό λογικό, ἤ περιβάλ-

*ἢ τὸ λογικὸν ἐπισκοτίζουσιν, ἢ τὸ σῶμα ὀδύναις περιβάλλουσιν, ἢ τὰ σωματικὰ διαρπάζουσιν.*

*13* *Ἢ δι' ἑαυτῶν ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Κύριον καθ' ἡμῶν ἐφοπλίζουσιν. Καὶ δι' ἑαυτῶν μέν, ὅταν ἐκ τῶν ἀνθρώπων ἰδιάσωμεν, ὥσπερ τὸν Κύριον ἐν τῇ ἐρήμῳ· διὰ τῶν ἀνθρώπων δέ, ὅταν μετὰ τῶν ἀνθρώπων συνδιατρίψωμεν, ὥσπερ καὶ τὸν Κύριον διὰ τῶν Φαρισαίων. Ἀλλ' ἡμεῖς εἰς τὸν τύπον ἡμῶν ἀποβλεπόμενοι, ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσώμεθα.*

*14* *Ὅταν ἄρχηται ὁ νοῦς εἰς τὴν ἀγάπην τοῦ Θεοῦ προκόπτειν, τότε καὶ ὁ δαίμων τῆς βλασφημίας ἄρχεται ἐκπειράζειν αὐτόν, καὶ τοιούτους αὐτῷ λογισμοὺς ὑποβάλλει, οἵους ἀνθρώπων μὲν οὐδείς, μόνος δὲ ὁ τούτων πατὴρ διάβολος ἐφευρίσκει. Τοῦτο δὲ ποιεῖ, φθονῶν τῷ θεοφιλεῖ· ἵνα εἰς ἀπόγνωσιν ἐλθὼν ὡς τοιαῦτα διανοηθείς, μηκέτι τολμήσῃ διὰ τῆς συνήθους προσευχῆς πρὸς αὐτὸν ἀναπτῆναι. Οὐδὲν δὲ ἐντεῦθεν ὠφελεῖται ὁ ἀλάστωρ πρὸς τὸν ἴδιον σκοπόν, ἀλλὰ καὶ μᾶλλον βεβαιοτέρους ἡμᾶς ἀπεργάζεται. Πολεμούμενοι γὰρ καὶ ἀντιπολεμοῦντες, δοκιμώτεροι καὶ γνησιώτεροι εἰς τὴν ἀγάπην τοῦ Θεοῦ εὑρισκόμεθα. «Ἡ δὲ ρομφαία αὐτοῦ εἰσέλθοι εἰς καρδίαν αὐτοῦ, καὶ τὰ τόξα αὐτοῦ συντριβείη».*

*15* *Ὁ νοῦς ἐπιβάλλων τοῖς ὁρατοῖς, κατὰ φύσιν νοεῖ τὰ πράγματα διὰ μέσης τῆς αἰσθήσεως· καὶ οὔτε ὁ νοῦς κακόν, οὔτε τὸ κατὰ φύσιν νοεῖν· οὔτε δὲ τὰ πράγματα, οὔτε ἡ αἴσθησις· Θεοῦ*

3. Ψαλμ. 36,15.

λουν τό σῶμα μέ πόνους, ἤ μᾶς ἁρπάζουν τά ὑλικά πράγματά μας.

13 Οἱ δαίμονες ἤ μᾶς πειράζουν αὐτοί οἱ ἴδιοι, ἤ ξεσηκώνουν ἐναντίον μας ἐκείνους πού δέν φοβοῦνται τόν Κύριο. Οἱ ἴδιοι οἱ δαίμονες μᾶς πειράζουν ὅταν ἀπομακρυνθοῦμε ἀπό τούς ἀνθρώπους καί ζοῦμε μόνοι μας, ὅπως ἀκριβῶς πείραξαν τόν Κύριο στήν ἔρημο· μέ τούς ἀνθρώπους μᾶς πειράζουν ὅταν ζοῦμε μαζί μέ τούς ἀνθρώπους, ὅπως ἀκριβῶς πείραζαν καί τόν Κύριο μέ τούς Φαρισαίους. Ἀλλ' ἐμεῖς, ἔχοντας στραμμένη ὅλη τήν προσοχή μας πρός ἐκεῖνον πού ἀποτελεῖ τό φωτεινό παράδειγμά μας, θ' ἀποκρούσουμε τήν ἐπίθεση αὐτῶν καί ἀπό τίς δύο κατευθύνσεις.

14 Ὅταν ἀρχίζει ὁ νοῦς νά προκόβει στήν ἀγάπη πρός τό Θεό, τότε καί ὁ δαίμονας τῆς βλασφημίας ἀρχίζει νά πειράζει αὐτόν, καί τέτοιους λογισμούς δημιουργεῖ μέσα σ' αὐτόν, τούς ὁποίους κανένας ἀπό τούς ἀνθρώπους, παρά μόνο ὁ πατέρας αὐτῶν ὁ διάβολος μπορεῖ καί τούς ἐπινοεῖ. Αὐτό τό κάμνει ἐπειδή φθονεῖ τόν ἄνθρωπο πού ἀγαπᾶ τό Θεό, ὥστε, ἀφοῦ αὐτός περιέλθει σέ ἀπόγνωση ἐξ αἰτίας τοῦ ὅτι σκέφθηκε τέτοια πράγματα, νά μή τολμήσει ποτέ στό ἑξῆς ν' ἀπευθυνθεῖ πρός τό Θεό μέ τή συνήθη προσευχή. Βέβαια ὁ ἄθλιος καμιά ὠφέλεια δέν ἀποκομίζει ἀπό αὐτό γιά τό δικό του σκοπό, ἀλλ' ἀντίθετα μᾶς κάνει καί πιό σταθερούς στήν ἀγάπη μας πρός τό Θεό. Διότι πολεμούμενοι ἀπ' αὐτόν καί ἀντιπαρατάσσοντας στόν πόλεμό του αὐτόν τό δικό μας φθάνομε στό νά γίνουμε περισσότερο ἄξιοι καί πιό γνήσιοι στήν ἀγάπη τοῦ Θεοῦ. «Ἡ ρομφαία αὐτοῦ θά εἰσέλθει στήν καρδιά αὐτοῦ καί τά τόξα του θά συντριβοῦν»[3].

15 Ὁ νοῦς προσέχοντας τά ὁρατά πράγματα, νοεῖ τά πράγματα μέσω τῆς αἰσθήσεως τῆς ὁράσεως ὅπως παρουσιάζονται στή φύση· καί οὔτε ὁ νοῦς εἶναι κακό, οὔτε ἡ φυσική νόηση τῶν πραγμάτων, ἀλλ' οὔτε καί τά ἴδια τά πράγματα καί ἡ αἴσθηση

*γάρ εἰσι ταῦτα τὰ ἔργα. Τί οὖν ἐστι τὸ κακόν; Δῆλον ὅτι πάθος τοῦ κατὰ φύσιν νοήματος, ὅπερ δύναται μὴ εἶναι ἐν τῇ τῶν νοημάτων χρήσει, ἐὰν ὁ νοῦς γρηγορῇ.*

16 *Πάθος ἐστὶ κίνησις ψυχῆς παρὰ φύσιν, ἢ ἐπὶ φιλίαν ἄλογον, ἢ ἐπὶ μῖσος ἄκριτον, ἤ τινος, ἢ διά τι τῶν αἰσθητῶν. Οἷον ἐπὶ μὲν φιλίαν ἄλογον, ἢ βρωμάτων ἢ γυναικὸς ἢ χρημάτων ἢ δόξης παρερχομένης ἤ τινος ἄλλου τῶν αἰσθητῶν ἢ διὰ ταῦτα. Ἐπὶ μῖσος δὲ ἄκριτον, οἷον ἤ τινος τῶν προειρημένων, ὡς εἴρηται, ἢ πρός τινα διὰ ταῦτα.*

17 *Ἡ πάλιν κακία ἐστίν, ἡ ἐσφαλμένη κρίσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων. Οἷον ὡς ἐπὶ τῆς γυναικός, ἡ ὀρθὴ κρίσις τῆς συνουσίας, ὁ σκοπός ἐστι τῆς παιδοποιίας. Ὁ οὖν εἰς τὴν ἡδονὴν ἀποβλεψάμενος, ἐσφάλη περὶ τὴν κρίσιν, τὸ μὴ καλὸν ὡς καλὸν ἡγησάμενος. Ὁ γοῦν τοιοῦτος, παραχρῆται γυναικὶ συνουσιαζόμενος. Καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων καὶ νοημάτων ὁμοίως.*

18 *Ὅταν τοίνυν τὸν νοῦν οἱ δαίμονες τῆς σωφροσύνης ἐκβαλόντες τοῖς τῆς πορνείας λογισμοῖς περικυκλώσωσι, τότε μετὰ δακρύων λέγε πρὸς τὸν Δεσπότην· «ἐκβαλόντες με νῦν περιεκύκλωσάν με· τὸ ἀγαλλίαμά μου λύτρωσαί με, ἀπὸ τῶν κυκλωσάντων με», καὶ σώζῃ.*

19 *Βαρὺς ὁ τῆς πορνείας δαίμων καὶ σφοδρῶς ἐπιτίθεται τοῖς κατὰ τοῦ πάθους ἀγωνιζομένοις, καὶ μάλιστα ἐν τῇ ἀμελείᾳ τῆς διαίτης καὶ ἐν ταῖς συντυχίαις τῶν γυναικῶν. Λεληθότως γὰρ τῇ*

---

4. Ψαλμ. 16,1 καί 31,7.

τῆς ὁράσεως, διότι αὐτά τά ἔργα εἶναι τοῦ Θεοῦ. Καί τί λοιπόν εἶναι τό κακό; Εἶναι ὁλοφάνερο ὅτι εἶναι τό πάθος πού δημιουργεῖται ἀπό τή φυσική νόηση τῶν πραγμάτων, πράγμα πού εἶναι δυνατό νά μή δημιουργηθεῖ κατά τή χρήση τῶν νοημάτων, ἐάν ὁ νοῦς εἶναι ἐπάγρυπνος καί προσεκτικός.

16 Πάθος εἶναι παρά τή φύση κίνηση τῆς ψυχῆς ἤ πρός ἀγάπη παράλογη, ἤ πρός μίσος ἀπερίσκεπτο ἐναντίον κάποιου ἀνθρώπου, ἤ γιά κάποιο ἀπό τά αἰσθητά. «Γιά παράδειγμα περιπτώσεις τῆς κινήσεως αὐτῆς πρός παράλογη ἀγάπη εἶναι ὅταν κανείς ἀγαπᾶ ἤ τά φαγητά ἤ τίς γυναῖκες ἤ τά χρήματα ἤ τή δόξα τήν κοσμική πού φεύγει καί χάνεται ἤ κάποιο ἄλλο ἀπό τά αἰσθητά ἤ ὅλα αὐτά πού ἀναφέρθηκαν. Περίπτωση τῆς κινήσεως αὐτῆς πρός μίσος ἀπερίσκεπτο εἶναι ἤ κάποιο ἀπό ὅλες αὐτές πού προαναφέρθηκαν ἤ ὅταν μισεῖ κάποιον ἐξ αἰτίας αὐτῶν.

17 Ἐπίσης κακία εἶναι ἡ ἐσφαλμένη κρίση τῶν νοημάτων, πού ἔχει σάν ἐπακόλουθο τήν κακή χρησιμοποίηση τῶν πραγμάτων. Ὅπως γιά παράδειγμα στήν περίπτωση τῆς σχέσεως μέ γυναίκα, ἡ ὀρθή κρίση τῆς συζυγικῆς σχέσως εἶναι ὁ σκοπός τῆς ἀποκτήσεως παιδιῶν. Ἐκεῖνος πού ἀπέβλεψε στήν ἡδονή ἔσφαλε στήν κρίση του, διότι θεώρησε σάν καλό ἐκεῖνο πού δέν εἶναι καλό. Ὁ ἄνθρωπος λοιπόν μέ κρίση παρόμοια, ἐρχόμενος σέ σωματική σχέση μέ τή γυναίκα του, κάνει κακή χρησιμοποίηση τοῦ πράγματος. Τό ἴδιο συμβαίνει καί στίς περιπτώσεις τῶν ἄλλων πραγμάτων καί νοημάτων.

18 Ὅταν λοιπόν οἱ δαίμονες ἀπομακρύνουν τό νοῦ ἀπό τή σωφροσύνη καί τόν περικυκλώνουν μέ τούς λογισμούς τῆς πορνείας, τότε μέ δάκρυα λέγε στό Κύριο, «ἀφοῦ μέ ἀπομάκρυναν ἀπό κοντά σου μέ περικύκλωσαν, ἀλλά λύτρωσέ με σύ πού εἶσαι ἡ ἀγαλλίαση τῆς ψυχῆς μου»[4], καί θά σωθεῖς.

19 Εἶναι φοβερός ὁ δαίμονας τῆς πορνείας καί ἐπιτίθεται μέ μεγάλη σφοδρότητα ἐναντίον ἐκείνων πού ἀγωνίζονται κατά τοῦ πάθους αὐτοῦ, καί πρό πάντων ἐναντίον ἐκείνων πού δέν

*λειότητι τῆς ἡδονῆς ὑποκλέπτων τὸν νοῦν, μετέπειτα ἐπεμβαίνει διὰ τῆς μνήμης ἡσυχάζοντι, τό τε σῶμα ἐμπυρίζων, καὶ ποικίλας μορφὰς τῷ νῷ παριστῶν. Διὸ καὶ πρὸς τὴν συγκατάθεσιν τῆς ἁμαρτίας αὐτὸν ἐκκαλεῖται. Ἂς ἐὰν θέλῃς μὴ ἐγχρονίζειν ἐν σοί, νηστείαν ἀναλαβοῦ καὶ κόπον καὶ ἀγρυπνίαν καὶ τὴν καλὴν ἡσυχίαν μετὰ ἐκτενοῦς προσευχῆς.*

20 *Οἱ τὴν ψυχὴν ἡμῶν ἀεὶ ζητοῦντες, διὰ τῶν ἐμπαθῶν λογισμῶν ζητοῦσιν, ἵνα αὐτὴν εἰς τὴν κατὰ διάνοιαν, ἢ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν ἐμβάλωσιν. Ὅταν οὖν εὕρωσι τὸν νοῦν μὴ παραδεχόμενον, τότε αἰσχυνθήσονται καὶ ἐντραπήσονται, ὅταν δὲ τῇ πνευματικῇ θεωρίᾳ ἐνασχολούμενον, τότε ἀποστραφήσονται καὶ καταισχυνθήσονται σφόδρα διὰ τάχους.*

21 *Διακόνου λόγον ἐπέχει ὁ πρὸς τοὺς ἱεροὺς ἀγῶνας ἀλείφων τὸν νοῦν καὶ τοὺς ἐμπαθεῖς λογισμοὺς ἀπελαύνων ἀπ' αὐτοῦ· πρεσβυτέρου δὲ ὁ εἰς τὴν γνῶσιν τῶν ὄντων φωτίζων καὶ τὴν ψευδώνυμον γνῶσιν ἐξαφανίζων· ἐπισκοποῦ δὲ ὁ τῷ ἁγίῳ μύρῳ τελειῶν τῆς γνώσεως τῆς προσκυνητῆς καὶ ἁγίας Τριάδος.*

22 *Ἀσθενοῦσι μὲν οἱ δαίμονες ὅταν διὰ τῶν ἐντολῶν μειῶνται τὰ πάθη τὰ ἐν ἡμῖν, ἀπόλλυνται δὲ ὅταν εἰς τέλος διὰ τῆς ἀπαθείας τῆς ψυχῆς ἐξαφανίζωνται, μηκέτι εὑρίσκοντες τὰ δι' ὧν*

---

5. Ψαλμ. 6,11.

ἀσκοῦν ἐγκράτεια ἀπό τροφές καί συναναστρέφονται γυναῖκες. Διότι, χωρίς νά γίνεται ἀντιληπτός, ἀποσπᾶ μέ τή γλύκα τῆς ἡδονῆς τό νοῦ, καί στή συνέχεια, ἐνῶ αὐτός ἡσυχάζει, ἐπεμβαίνει χρησιμοποιώντας τή μνήμη του, καί μέ τίς διάφορες μορφές, πού παρουσιάζει στό νοῦ, ἀνάβει τή φλόγα τοῦ σώματος, καί ἔτσι τόν ὁδηγεῖ στό νά συγκατατεθεῖ νά διαπράξει τήν ἁμαρτία. Ἐάν λοιπόν θέλεις νά μή δημιουργοῦνται μέσα σου τέτοιες παραστάσεις νά ἐπιδοθεῖς στή νηστεία, τόν κόπο, τήν ἀγρυπνία καί τήν καλή ἡσυχία τή συνοδευόμενη ἀπό ἀδιάκοπη προσευχή.

20 Ἐκεῖνοι πού πάντοτε ζητοῦν νά κερδίσουν τήν ψυχή μας, προσπαθοῦν νά τό ἐπιτύχουν αὐτό μέ τούς ἐμπαθεῖς λογισμούς, ὥστε νά ὁδηγήσουν αὐτήν στή διάπραξη τῆς ἁμαρτίας ἤ μέ τή σκέψη ἤ μέ τήν πράξη. Ὅταν λοιπόν βροῦν τό νοῦ νά μή ἀποδέχεται τούς ἐμπαθεῖς αὐτούς λογισμούς, τότε θά καταισχυνθοῦν καί θά ὑποχωρήσουν, ὅταν πάλι τόν βροῦν ν' ἀσχολεῖται μέ τήν πνευματική θεωρία, τότε τήν ἴδια στιγμή καταντροπιασμένοι θά τραποῦν σέ φυγή[5].

21 Θέση διακόνου κατέχει ἐκεῖνος πού ἀσκεῖ τό νοῦ του γιά τούς ἱερούς ἀγῶνες καί ἀπομακρύνει ἀπ' αὐτόν τούς ἐμπαθεῖς λογισμούς, ἐνῶ ἐκεῖνος πού φωτίζει τό νοῦ του βυθίζοντάς τον στή γνῶση τῶν ὄντων καί ἐξαφανίζοντας ἔτσι τήν ἀπατηλή γνώση αὐτός κατέχει θέση πρεσβυτέρου, καί τέλος ἐκεῖνος πού τελειοποιεῖ τό νοῦ του μέ τό ἅγιο μῦρο τῆς γνώσεως τῆς προσκυνητῆς καί ἁγίας Τριάδος αὐτός κατέχει θέση ἐπισκόπου.

22 Καθίστανται ἀδύναμοι οἱ δαίμονες ἀπέναντί μας ὅταν τά πάθη τῆς ψυχῆς μας λιγοστεύουν μέ τήν ἐκτέλεση τῶν ἐντολῶν τοῦ Κυρίου, ἐνῶ ὑφίστανται ὄλεθρο ὅταν ἐξαφανίζονται τά πάθη ἐξ ὁλοκλήρου μέ τήν ἀπάθεια τῆς ψυχῆς, μή βρίσκοντας πλέον τά πάθη ἐξ αἰτίας τῶν ὁποίων ὑπῆρχαν μέσα στήν ψυχή καί πολεμοῦσαν αὐτήν· καί αὐτή τή σημασία θά μπορούσαμε νά δοῦμε στά λόγια τοῦ ψαλμωδοῦ· «θά ἐξασθενήσει ἡ δύναμή

*ἐν αὐτῇ εὑρίσκοντο καὶ ἐπολέμουν αὐτήν· καὶ τοῦτο ἂν εἴη τό, «Ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου».*

23 *Οἱ μὲν τῶν ἀνθρώπων διὰ φόβον ἀνθρώπινον τῶν παθῶν ἀπέχονται, οἱ δὲ διὰ κενοδοξίαν, ἄλλοι δὲ δι' ἐγκράτειαν, ἕτεροι δὲ διὰ θείων κριμάτων τῶν παθῶν ἐλευθεροῦνται.*

24 *Πάντες οἱ λόγοι τοῦ Κυρίου, τὰ τέσσαρα ταῦτα περιέχουσι· τὰς ἐντολάς, τὰ δόγματα, τὰς ἀπειλάς, τὰς ἐπαγγελίας. Καὶ πᾶσαν σκληραγωγίαν διὰ ταῦτα ὑπομένομεν· οἷον, νηστείας, ἀγρυπνίας, χαμευνίας, κόπους καὶ μόχθους ἐν διακονίαις, ὕβρεις, ἀτιμίας, στρεβλώσεις, θανάτους, καὶ τὰ ὅμοια. «Διὰ» γὰρ «τοὺς λόγους τῶν χειλῶν σου», φησίν, «ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς».*

25 *Μισθὸς τῆς ἐγκρατείας ἡ ἀπάθεια, τῆς δὲ πίστεως ἡ γνῶσις. Καὶ ἡ μὲν ἀπάθεια τίκτει τὴν διάκρισιν, ἡ δὲ γνῶσις τὴν εἰς Θεὸν ἀγάπην.*

26 *Πρακτικὴν μὲν ὁ νοῦς κατορθῶν, εἰς φρόνησιν προκόπτει, θεωρητικὴν δέ, εἰς γνῶσιν. Τῆς μὲν γάρ ἐστιν, εἰς διάκρισιν ἀρετῆς καὶ κακίας φέρειν τὸν ἀγωνιζόμενον, τῆς δέ, εἰς τοὺς περὶ ἀσωμάτων καὶ σωμάτων λόγους ἄγειν τὸ μέτοχον. Τῆς δὲ θεολογικῆς χάριτος, τοτηνικαῦτα καταξιοῦται, ὁπηνίκα τὰ προειρημένα πάντα διὰ τῶν τῆς ἀγάπης πτερῶν διαπεράσας, καὶ ἐν Θεῷ γενόμενος, τὸν περὶ αὐτοῦ λόγον διὰ τοῦ Πνεύματος, ὡς ἀνθρωπίνῳ νῷ δυνατόν, διασκοπήσει.*

27 *Θεολογεῖν μέλλων, μὴ τοὺς κατ' αὐτὸν ζητήσῃς λόγους (οὐ*

---

6. Ψαλμ. 9,4.
7. Ψαλμ. 16,4.

τους καί θά ἐξολοθρευθοῦν ἐξαφανιζόμενοι ἀπό μπροστά σου»[6].

23 Ἀπό τούς ἀνθρώπους ἄλλοι ἀπέχουν ἀπό τά πάθη ἀπό φόβο πρός τούς ἀνθρώπους, ἄλλοι ἀπο ματαιοδοξία, ἄλλοι ἀπό ἐγκράτεια, καί ἄλλοι τέλος ἐλευθερώνονται ἀπό τά πάθη ἐκτελώντας τίς θεῖες ἐντολές.

24 Ὅλοι οἱ λόγοι τοῦ Κυρίου περιέχουν αὐτά τά τέσσερα· τίς ἐντολές, τά δόγματα, τίς ἀπειλές, τίς ὑποσχέσεις. Καί κάθε σκληραγωγία τήν ὑπομένουμε ἐξ αἰτίας αὐτῶν, δηλαδή τίς νηστεῖες, τίς ἀγρυπνίες, τίς κατακλίσεις στό χῶμα, τούς κόπους καί τούς μόχθους στίς διακονίες, τίς ὕβρεις, τίς περιφρονήσεις, τά βασανιστήρια, τίς θανατώσεις καί τά παρόμοια. Διότι λέγει· «γιά χάρη τῶν λόγων σου ἐγώ φύλαξα τίς σκληρές ἐντολές σου»[7].

25 Μισθός τῆς ἐγκράτειας εἶναι ἡ ἀπάθεια, ἐνῶ τῆς πίστεως εἶναι ἡ γνώση. Ἡ ἀπάθεια γεννᾶ τήν ἱκανότητα νά βλέπει κανείς τόν πνευματικό κόσμο καί νά τόν διακρίνει, ἐνῶ ἡ γνώση γεννᾶ τήν ἀγάπη πρός τό Θεό.

26 Ὁ νοῦς κατορθώνοντας τίς πρακτικές ἀρετές προκόβει σέ φρόνηση, ἐνῶ κατορθώνοντας τίς πνευματικές θεωρίες προκόβει σέ γνώση. Ἡ ἱκανότητα τῶν πρακτικῶν ἀρετῶν εἶναι νά ὁδηγοῦν τόν ἀγωνιζόμενο στή διάκριση τῆς ἀρετῆς καί τῆς κακίας, ἐνῶ τῶν πνευματικῶν θεωριῶν εἶναι νά ὁδηγοῦν ἐκεῖνον πού μετέχει σ' αὐτές στούς λόγους περί τῶν ἀσωμάτων καί σωματικῶν φύσεων. Στή συνέχεια ὁ νοῦς, ἀφοῦ μέ τά φτερά τῆς ἀγάπης περάσει ὅλα τά προηγούμενα στάδια, ἀξιώνεται νά λάβει τή θεία χάρη, καί, βρισκόμενος πλέον μέσα στό χῶρο τοῦ Θεοῦ, μέ τή βοήθεια τοῦ ἁγίου Πνεύματος, θά μπορέσει νά γνωρίσει τόν ἑαυτό του, ὅσο βέβαια εἶναι δυνατό στόν ἀνθρώπινο νοῦ.

27 Ὅταν πρόκειται νά θεολογήσεις μή προσπαθήσεις νά

*μὴ γὰρ εὕρῃ ἀνθρώπινος νοῦς· ἀλλ' οὐδὲ ἄλλου τινὸς τῶν μετὰ Θεόν), ἀλλὰ τοὺς περὶ αὐτόν, ὡς οἷόν τε, διασκόπει. Οἷον τοὺς περὶ ἀϊδιότητος, ἀπειρίας τε καὶ ἀοριστίας, ἀγαθότητός τε καὶ σοφίας, καὶ δυνάμεως, δημιουργικῆς τε καὶ προνοητικῆς, καὶ κριτικῆς τῶν ὄντων. Οὗτος γὰρ ἐν ἀνθρώποις μέγας θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς ἐξευρίσκων.*

28 *Δυνατὸς ἀνὴρ ὁ τῇ πράξει τὴν γνῶσιν συζεύξας. Τῇ μὲν γὰρ τὴν ἐπιθυμίαν μαραίνει καὶ τὸν θυμὸν ἡμεροῖ, τῇ δὲ τὸν νοῦν πτεροῖ καὶ πρὸς Θεὸν ἐκδημεῖ.*

29 *Ὅταν λέγῃ Κύριος, «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», τὸ ταυτὸν τῆς οὐσίας σημαίνει. Ὅταν δὲ πάλιν λέγῃ, «ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», τὸ ἀχώριστον δηλοῖ τῶν ὑποστάσεων. Οἱ οὖν Τριθεῖται, χωρίζοντες τοῦ Πατρὸς τὸν Υἱόν, εἰς ἀμφίκρημνον ἐμπίπτουσιν. Ἢ γάρ, συναΐδιον λέγοντες τῷ Πατρὶ τὸν Υἱόν, χωρίζοντες δὲ αὐτὸν ἐξ αὐτοῦ, ἀναγκάζονται λέγειν μὴ ἐξ αὐτοῦ γεγεννῆσθαι, καὶ ἐμπεσεῖν εἰς τὸ τρεῖς λέγειν Θεούς, καὶ τρεῖς ἀρχάς, ἢ ἐξ αὐτοῦ γεγεννῆσθαι λέγοντες, χωρίζοντες δέ, ἀναγκάζονται λέγειν μὴ συναΐδιον εἶναι τῷ Πατρί, καὶ ποιῆσαι ὑπὸ χρόνον τὸν τῶν χρόνων δεσπότην. Χρὴ γὰρ καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, κατὰ τὸν μέγαν Γρηγόριον, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. Καὶ γὰρ 'διαιρεῖται' μέν, ἀλλ' 'ἀδιαιρέτως', κατὰ τὸν αὐτόν, καὶ 'συνάπτεται μέν, διῃρημένως δέ'. Καὶ διὰ τοῦτο παράδοξος καὶ ἡ διαίρεσις καὶ ἡ ἕνωσις. Ἐπεὶ τί ἔχει τὸ παράδοξον, εἰ ὡς ἄνθρωπος ἀν-*

8. Ἰω. 10,30.
9. Ἰω. 14,11.

βρεῖς τούς λόγους τῆς φύσεως τοῦ Θεοῦ (διότι δέν θά μπορέσει νά τούς βρεῖ ἀνθρώπινος νοῦς, ἀλλ' οὔτε καί κάποιος ἄλλος ἀπό τίς νοερές ὑπάρξεις πού περιβάλλουν τό Θεό), ἀλλ' ἐρεύνα, ὅσο εἶναι δυνατό, τούς λόγους γύρω ἀπό τό Θεό. Ἐρεύνα δηλαδή τούς λόγους τῆς αἰωνιότητάς του, τῆς ἀπειρίας καί ἀοριστίας του, τῆς ἀγαθότητας του καί σοφίας του, τῆς δυνάμεώς του, δημιουργικῆς καί προνοητικῆς, καί τῆς κρίσεως τῶν ὄντων ὑπ' αὐτοῦ. Διότι αὐτός εἶναι μεταξύ τῶν ἀνθρώπων μεγάλος θεολόγος, αὐτός πού βρίσκει ἔστω καί κατά τό ἐλάχιστο τούς λόγους αὐτούς.

28 Δυνατός πνευματικά ἄνδρας εἶναι ἐκεῖνος πού σύνδεσε τή γνώση μέ τήν πράξη. Διότι μέ τήν πράξη μαραίνει τήν ἐπιθυμία καί ἡμερώνει τό θυμό, ἐνῶ μέ τή γνώση δίνει φτερά στό νοῦ καί μεταφέρεται πρός τό Θεό.

29 Ὅταν λέγει ὁ Κύριος, «ἐγώ καί ὁ Πατέρας μου εἶμαστε ἕνα»[8], ἐννοεῖ τήν ὁμοιότητα ὡς πρός τῆν οὐσία. Ὅταν πάλι λέγει, «ἐγώ ὑπάρχω μέσα στόν Πατέρα καί ὁ Πατέρας μέσα σ' ἐμένα»[9], δηλώνει τό ἀχώριστο τῶν ὑποστάσεων. Οἱ Τριθεΐτες λοιπόν, χωρίζοντας τόν Υἱό ἀπό τόν Πατέρα, πέφτουν σέ διπλό γκρεμό. Ἤ δηλαδή, ὀνομάζοντας τόν Υἱό συναιώνιο μέ τόν Πατέρα, ἀλλά χωρίζοντας αὐτόν ἀπό τόν Πατέρα, ἀναγκάζονται νά λένε ὅτι δέν γεννήθηκε ἀπ' αὐτόν, καί ἔτσι καταλῆγουν στό νά δέχονται τρεῖς θεούς καί τρεῖς ἀρχές, ἤ λένε ὅτι γεννήθηκε ἀπ' αὐτόν, ὅμως τόν χωρίζουν ἀπ' αὐτόν, καί ἔτσι ἀναγκάζονται νά λένε ὅτι δέν εἶναι συναιώνιος μέ τόν Πατέρα, θέτοντας ὑπό τόν χρόνο τόν Κύριο τῶν χρόνων. Διότι πρέπει, κατά τόν Μέγα Γρηγόριο, καί στόν ἕνα Θεό νά πιστεύουμε καί τίς τρεῖς ὑποστάσεις νά ὁμολογοῦμε, καί τήν κάθε μία μέ τίς ἰδιότητές της. Καθόσον, σύμφωνα μέ τά λεγόμενα τοῦ ἰδίου, διαιρεῖται βέβαια, ἀλλά, 'κατά τρόπο ἀδιαίρετο' καί 'εἶναι ἑνωμένος, ἀλλά κατά τρόπο διαιρημένο'. Καί γι' αὐτό εἶναι παράδοξη καί ἡ διαίρεση καί ἡ ἕνωση. Ἐξ ἄλλου ποιό εἶναι τό παράδοξο, ἐάν, ὅπως σάν ἄνθρωπος καί ἑνώνεται μέ τόν ἄνθρωπο καί εἶναι

*θρώπῳ ἥνωταί τε καὶ κεχώρισται, οὕτω καὶ ὁ Υἱὸς τῷ Πατρί, καὶ οὐδὲν πλέον;*

30 *Ὁ τέλειος ἐν ἀγάπῃ, καὶ εἰς ἄκρον ἀπαθείας ἐλθών, οὐκ ἐπίσταται διαφορὰν ἰδίου καὶ ἀλλοτρίου, ἢ ἰδίας καὶ ἀλλοτρίας, ἢ πιστοῦ καὶ ἀπίστου, ἢ δούλου καὶ ἐλευθέρου, ἢ ὅλως ἄρσενος καὶ θηλείας, ἀλλ' ἀνώτερος τῆς τῶν παθῶν τυραννίδος γενόμενος καὶ εἰς τὴν μίαν φύσιν τῶν ἀνθρώπων ἀποβλεπόμενος, πάντας ἐξ ἴσου θεωρεῖ, καὶ πρὸς πάντας ἴσως διάκειται. «Οὐκ ἔστι γὰρ ἐν αὐτῷ Ἕλλην καὶ Ἰουδαῖος, οὐδὲ ἄρσεν καὶ θῆλυ, οὐδὲ δοῦλος καὶ ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός».*

31 *Ἐκ τῶν ὑποκειμένων ἐν τῇ ψυχῇ παθῶν, λαμβάνουσιν οἱ δαίμονες τὰς ἀφορμὰς τοῦ κινεῖν ἐν ἡμῖν τοὺς ἐμπαθεῖς λογισμούς. Εἶτα διὰ τούτων πολεμοῦντες τὸν νοῦν, ἐκβιάζονται αὐτὸν εἰς συγκατάθεσιν ἐλθεῖν τῆς ἁμαρτίας. Ἡττηθέντος δὲ αὐτοῦ, ἄγουσιν εἰς τὴν κατὰ διάνοιαν ἁμαρτίαν, καὶ ταύτης ἀποτελεσθείσης, φέρουσιν αὐτὸν λοιπὸν αἰχμάλωτον εἰς τὴν πρᾶξιν. Μετὰ δὲ ταύτην λοιπόν, οἱ τὴν ψυχὴν διὰ τῶν λογισμῶν ἐρημώσαντες, σὺν αὐτοῖς ὑποχωροῦσι. Μένει δὲ μόνον ἐν τῷ νῷ τὸ εἴδωλον τῆς ἁμαρτίας, περὶ οὗ φησιν ὁ Κύριος· «ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγιγνώσκων νοείτω». Ὅτι τόπος ἅγιος καὶ ναὸς Θεοῦ, ὁ νοῦς ὑπάρχει τοῦ ἀνθρώπου, ἐν ᾧ οἱ δαίμονες διὰ τῶν ἐμπαθῶν λογισμῶν τὴν ψυχὴν ἐρημώσαντες, τὸ εἴδωλον τῆς ἁμαρτίας ἔστησαν. Ὅτι δὲ καὶ ἱστορικῶς ἤδη ταῦτα γέγονεν, οὐδεὶς τῶν τὰ Ἰωσήππεια ἀνεγνωκότων, ὡς οἶμαι, ἀμφιβάλλει. Πλὴν τινές φασι καὶ ἐπὶ τοῦ Ἀντιχρίστου ταῦτα γενήσεσθαι.*

10. Γαλ. 3,28 καί Κολοσ. 3,11. 11. Ματθ. 24,15 καί Δαν. 9,27 . 11,31 . 12,11.

χωρισμένος ἀπ' αὐτόν, κατά τόν ἴδιο τρόπο καί ὁ Υἱός καί ἑνώνεται μέ τόν Πατέρα καί διαιρεῖται, χωρίς τίποτε παραπάνω;

30 Ἐκεῖνος πού εἶναι τέλειος στήν ἀγάπη καί ἔφθασε σέ πλήρη ἀπάθεια δέν γνωρίζει διαφορά μεταξύ τοῦ ἑαυτοῦ του καί τοῦ ξένου, μεταξύ τῆς δικῆς του ὑπάρξεως καί τῆς ξένης, μεταξύ τοῦ πιστοῦ καί τοῦ ἀπίστου, μεταξύ τοῦ δούλου καί τοῦ ἐλευθέρου, καί γενικά μεταξύ τοῦ ἄνδρα καί τῆς γυναίκας, ἀλλ' ἐπειδή κατόρθωσε νά ὑποτάξει τήν τυραννική ἐξουσία τῶν παθῶν καί ἀποβλέπει στή μία φύση τῶν ἀνθρώπων, ὅλους τούς θεωρεῖ ἴσους καί πρός ὅλους συμπεριφέρεται μέ τόν ἴδιο τρόπο. Διότι «δέν ὑπάρχει γι' αὐτόν Ἕλληνας καί Ἰουδαῖος, οὔτε ἄνδρας καί γυναῖκα, οὔτε δοῦλος καί ἐλεύθερος, ἀλλ' ὅλα γενικά καί σ' ὅλους εἶναι ὁ Χριστός»[10].

31 Ἀπό τά πάθη πού ὑπάρχουν μέσα στήν ψυχή παίρνουν οἱ δαίμονες τίς ἀφορμές γιά νά ὑποκινοῦν μέσα μας τούς ἐμπαθεῖς λογισμούς. Στή συνέχεια μέ αὐτούς τούς λογισμούς, πολεμώντας τό νοῦ, τόν ἐκβιάζουν νά δώσει τή συγκατάθεσή του γιά τή διάπραξη τῆς ἁμαρτίας. Ἀφοῦ λοιπόν νικηθεῖ αὐτός, τόν ὁδηγοῦν στή διάπραξη τῆς ἁμαρτίας μέ τή σκέψη, καί, ὅταν αὐτή πραγματοποιηθεῖ, ὁδηγοῦν αὐτόν πλέον αἰχμάλωτο στήν πράξη τῆς ἁμαρτίας. Μετά ἀπό τήν πράξη πλέον τῆς ἁμαρτίας, οἱ δαίμονες, πού μέ τούς λογισμούς ἐρήμωσαν τήν ψυχή, ὑποχωροῦν μαζί μέ τούς λογισμούς. Παραμένει μέσα στό νοῦ μόνο τό εἴδωλο τῆς ἁμαρτίας, γιά τό ὁποῖο ὁ Κύριος λέγει· «ὅταν δεῖτε τό βδέλυγμα τῆς ἐρημώσεως νά εἶναι τοποθετημένο μέσα στό ναό, αὐτός πού ἔχει διαβάσει τήν προφητεία θά ἐννοήσει τά λόγια αὐτά»[11]. Διότι τόπος ἅγιος καί ναός τοῦ Θεοῦ εἶναι ὁ νοῦς τοῦ ἀνθρώπου, μέσα στόν ὁποῖο οἱ δαίμονες, ἀφοῦ μέ τούς ἐμπαθεῖς λογισμούς ἐρήμωσαν τήν ψυχή, ἔστησαν τό εἴδωλο τῆς ἁμαρτίας. Τό ὅτι αὐτά ἱστορικά ἔχουν συμβεῖ κιόλας, κανένας δέν ἀμφιβάλλει νομίζω, ἀπό ἐκείνους πού ἔχουν διαβάσει τά ἔργα τοῦ Ἰωσήππου. Ἐκτός ἀπ' αὐτό ὅμως μερικοί λένε ὅτι αὐτά θά συμβοῦν καί κατά τό χρόνο τῆς ἐπικρατήσεως τοῦ Ἀντιχρίστου στόν κόσμο.

32 *Τρία εἰσὶ τὰ κινοῦντα ἡμᾶς ἐπὶ τὰ καλά· τὰ φυσικὰ σπέρματα, αἱ ἅγιαι Δυνάμεις, καὶ ἡ ἀγαθὴ προαίρεσις. Καὶ τὰ μὲν φυσικὰ σπέρματα, ὡς ὅταν «ὃ θέλομεν ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, καὶ ἡμεῖς ὁμοίως ποιῶμεν αὐτοῖς»· ἢ ὡς ὅταν ἴδωμέν τινα ἐν στενώσει ἢ ἐν ἀνάγκῃ, καὶ φυσικῶς ἐλεῶμεν. Αἱ δὲ ἅγιαι Δυνάμεις, οἷον ὅταν κινούμενοι ἐπὶ καλῷ πράγματι, εὕρωμεν συνεργίαν ἀγαθήν, καὶ κατευοδώμεθα. Ἡ δὲ ἀγαθὴ προαίρεσις, ὡς ὅταν διακρίνοντες ἀπὸ τοῦ κακοῦ τὸ καλόν, αἱρώμεθα τὸ ἀγαθόν.*

33 *Τρία δὲ πάλιν εἰσὶ τὰ κινοῦντα ἡμᾶς ἐπὶ τὰ κακά· τὰ πάθη, οἱ δαίμονες, καὶ ἡ κακὴ προαίρεσις. Καὶ τὰ μὲν πάθη, ὡς ὅταν ἐπιθυμῶμεν πράγματος παρὰ λόγον· οἷον ἢ βρώματος παρὰ τὸν καιρὸν ἢ παρὰ τὴν χρείαν, ἢ γυναικὸς παρὰ τὸν σκοπὸν τῆς παιδοποιίας καὶ τῆς μὴ νομίμου. Καὶ πάλιν, ὅταν ὀργιζώμεθα ἢ λυπώμεθα παρὰ τὸ εἰκός· οἷον, κατὰ τοῦ ἀτιμάσαντος ἢ ζημιώσαντος. Οἱ δὲ δαίμονες, οἷον ὅταν ἐν τῇ ἀμελείᾳ ἡμῶν, καιροσκοποῦντες ἐπιτίθενται ἡμῖν ἄφνω μετὰ πολλῆς σφοδρότητος κινοῦντες τὰ προειρημένα πάθη καὶ τὰ ὅμοια. Ἡ δὲ κακὴ προαίρεσις, οἷον, ὅτε, ἐν γνώσει τοῦ καλοῦ, κακῶν ἀνθαιρώμεθα.*

34 *Μισθοὶ τῶν πόνων τῆς ἀρετῆς εἰσιν ἡ ἀπάθεια καὶ ἡ γνῶσις. Αὗται γὰρ πρόξενοι γίνονται βασιλείας οὐρανῶν· ὡς καὶ τὰ πάθη καὶ ἡ ἀγνωσία κολάσεως αἰωνίου. Ὁ οὖν τούτους διὰ δόξαν ἀνθρώπων ζητῶν, καὶ μὴ δι' αὐτὸ τὸ καλόν, ἀκούει παρὰ τῆς Γραφῆς· «αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε».*

---

12. Δηλαδὴ οἱ ἄγγελοι.
13. Ματθ. 7,12.
14. Ἰακ. 4,3.

32 Τρία πράγματα εἶναι ἐκεῖνα πού μᾶς προτρέπουν στό νά κάμνομε τά καλά· τά φυσιακά σπέρματα, οἱ ἅγιες δυνάμεις[12], καί ἡ ἀγαθή προαίρεση. Τά φυσικά σπέρματα μᾶς παρακινοῦν ὅπως γιά παράδειγμα στίς περιπτώσεις ἐκεῖνες πού λέγει τό Εὐαγγέλιο· «ἐκεῖνο πού θέλουμε νά κάνουν οἱ ἄνθρωποι σέ μᾶς, τό ἴδιο πρέπει νά κάμνουμε καί ἐμεῖς[13]», ἐπίσης ὅταν δοῦμε κάποιον νά βρίσκεται σέ δύσκολη θέση ἤ σέ ἀνάγκη καί μέ ὅλη μας τή φυσική διάθεση τόν βοηθᾶμε. Οἱ ἅγιες δυνάμεις πάλι μᾶς βοηθοῦν, ὅπως ὅταν, προσπαθώντας νά κάνουμε κάποιο καλό ἔργο, βρίσκουμε σπουδαία βοήθεια ἀπ' αὐτές καί κατευοδώνεται ἡ προσπάθειά μας. Τέλος ἡ ἀγαθή προαίρεση μᾶς βοηθᾶ, ὅπως ὅταν, διακρίνοντας τό καλό ἀπό τό κακό, προτιμᾶμε τό καλό.

33 Ἐπίσης τρία εἶναι ἐκεῖνα πού μᾶς παρακινοῦν νά κάμνομε τά κακά· τά πάθη, οἱ δαίμονες, καί ἡ κακή προαίρεση. Τά πάθη μᾶς παρακινοῦν, ὅπως ὅταν ἐπιθυμοῦμε κάποιο παράλογο πράγμα· γιά παράδειγμα ἤ φαγητό σέ μή κατάλληλη ὥρα ἤ χωρίς νά ὑπάρχει ἀνάγκη, ἤ γυναίκα μέ σκοπό ὄχι τήν παιδοποιΐα καί χωρίς αὐτή νά εἶναι νόμιμη. Ἐπίσης καί ὅταν ὀργιζόμαστε ἤ λυπούμαστε ἀδικαιολόγητα, ὅπως γιά παράδειγμα ἐναντίον ἐκείνου πού μᾶς πρόσβαλε ἤ μᾶς ζημίωσε. Οἱ δαίμονες πάλι μᾶς παρακινοῦν, ὅπως ὅταν, ἐκμεταλλευόμενοι τήν ἀδιαφορία πού δείχνουμε ἐμεῖς, μᾶς ἐπιτίθενται ξαφνικά μέ μαγάλη σφοδρότητα, διεγείροντας τά προαναφερθέντα πάθη καί τά παρόμοια. Τέλος ἡ κακή προαίρεση μᾶς παρακινεῖ, ὅπως ὅταν, ἐνῶ γνωρίζουμε τό καλό, προτιμᾶμε τά κακά.

34 Οἱ μισθοί γιά τούς κόπους τῆς ἀρετῆς εἶναι ἡ ἀπάθεια καί ἡ γνώση. Αὐτές δηλαδή γίνονται πρόξενοι τῆς βασιλείας τῶν οὐρανῶν, ὅπως πάλι τά πάθη καί ἡ ἀγνωσία εἶναι πρόξενοι αἰώνιας κολάσεως. Ἐκεῖνος λοιπόν πού ἐπιδιώκει αὐτούς τούς κόπους τῆς ἀρετῆς μέ σκοπό τή δόξα τῶν ἀνθρώπων, καί ὄχι γιά τό ἴδιο τό καλό, ἀκούει ἀπό τή Γραφή· «ζητᾶτε καί δέν παίρνετε, διότι τά ζητᾶτε μέ κακό τρόπο»[14].

35 *Εἰσὶ πολλά τινα φύσει καλὰ ὑπὸ τῶν ἀνθρώπων γινόμενα, ἀλλ' οὐ καλὰ πάλιν διά τινα αἰτίαν· οἷον, νηστεία καὶ ἀγρυπνία, προσευχὴ καὶ ψαλμῳδία, ἐλεημοσύνη καὶ ξενοδοχία, φύσει καλὰ ἔργα εἰσίν, ἀλλ' ὅταν διὰ κενοδοξίαν γίνωνται, οὐκ ἔτι καλά.*

36 *Πάντων τῶν πραττομένων ὑφ' ἡμῶν τὸν σκοπὸν ζητεῖ ὁ Θεός· εἴτε δι' αὐτὸν πράττομεν, εἴτε δι' ἄλλην αἰτίαν.*

37 *Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, «ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ», οὐ τὰ παρὰ τὸν ὀρθὸν σκοπὸν πραττόμενα, εἰ καὶ δοκεῖ καλὰ εἶναι, ὁ Θεὸς καλὰ ἀποδίδωσιν, ἀλλὰ τὰ κατὰ τὸν ὀρθὸν δηλονότι. Οὐ γὰρ εἰς τὰ γινόμενα, ἀλλ' εἰς τὸν σκοπὸν τῶν γινομένων ἡ τοῦ Θεοῦ κρίσις ἐφορᾷ.*

38 *Ὁ τῆς ὑπερηφανίας δαίμων διπλῆν ἔχει τὴν πονηρίαν· ἢ γὰρ ἑαυτῷ ἀναπείθει τὸν μοναχὸν ἐπιγράφειν τὰ κατορθώματα, καὶ οὐχὶ τῷ Θεῷ, τῷ καὶ χορηγῷ τῶν καλῶν καὶ βοηθῷ πρὸς κατόρθωσιν, ἢ τούτῳ μὴ πειθόμενον, τοὺς ἔτι ἀτελεστέρους τῶν ἀδελφῶν ὑποβάλλει ἐξουθενεῖν. Ἀγνοεῖ δὲ καὶ οὕτως ὁ ἐνεργούμενος, ὅτι τὴν τοῦ Θεοῦ βοήθειαν ἀναπείθει αὐτὸν ἀπαρνεῖσθαι. Εἰ γὰρ ἐκείνους ὡς μὴ δυνηθέντας κατορθῶσαι ἐξουθενεῖ, ἑαυτὸν δηλονότι ὡς ἐξ ἰδίας δυνάμεως κατορθώσαντα εἰσάγει. Ὅπερ ἐστὶ ἀμήχανον, τοῦ Κυρίου εἰπόντος· «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν». Ἐπειδὴ ἡ ἡμετέρα ἀσθένεια κινουμένη ἐπὶ τὰ καλὰ ἄνευ τοῦ χορηγοῦ τῶν καλῶν εἰς τὸ τέλος ἄγειν οὐ δύναται.*

39 *Ὁ ἐγνωκὼς τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, οὗτος*

---

15. Ρωμ. 2,6.
16. Ἰω. 15,5.

35 Ὑπάρχουν πολλά πού γίνονται ἀπό τούς ἀνθρώπους καί εἶναι ἀπό τή φύση τους καλά, ἀλλά δέν εἶναι πάλι καλά γιά κάποια αἰτία· ὅπως γιά παράδειγμα ἡ νηστεία καί ἡ ἀγρυπνία, ἡ προσευχή καί ἡ ψαλμωδία, ἡ ἐλεημοσύνη καί ἡ φιλοξενία, εἶναι ἀπό τή φύση τους καλά ἔργα, ὅταν ὅμως γίνονται ἀπό ματαιοδοξία, δέν εἶναι πλέον καλά.

36 Ἀπό ὅλες τίς πράξεις μας ὁ Θεός ἐπιζητεῖ τό σκοπό αὐτῶν, ἐάν δηλαδή τίς κάνομε πρός χάρη αὐτοῦ ἤ γιά κάποια ἄλλη αἰτία.

37 Ὅταν ἀκούσεις τή Γραφή νά λέγει, «διότι σύ θ' ἀποδώσεις στόν καθένα σύμφωνα μέ τά ἔργα του»[15], δέν πρέπει νά νομίσεις ὅτι ὁ Θεός θ' ἀποδώσει καλά γιά τά ἔργα ἐκεῖνα πού δέν γίνονται μέ ὀρθό σκοπό, ἄν καί φαίνονται ὅτι εἶναι καλά, ἀλλά θ' ἀποδώσει, ὅπως εἶναι ὁλοφάνερο, καλά γιά ἐκεῖνα πού γίνονται μέ ὀρθό σκοπό. Διότι ἡ κρίση τοῦ Θεοῦ δέν ἀποβλέπει στά πραττόμενα ἔργα, ἀλλά στό σκοπό αὐτῶν.

38 Ὁ δαίμονας τῆς ὑπερηφάνειας ἔχει διπλή τήν πονηρία· ἤ δηλαδή πείθει τόν μοναχό ν' ἀποδείδει τά κατορθώματά του στόν ἑαυτό του καί ὄχι στό Θεό πού εἶναι καί ὁ χορηγός τῶν καλῶν καί βοηθός γιά τήν πραγματοποίηση αὐτῶν, ἤ, ἐάν δέν πείθεται σ' αὐτό, τόν παρακινεῖ νά δείχνει περιφρόνηση πρός τούς ἀτελέστερους ἀκόμα πνευματικά μοναχούς. Ἀγνοεῖ ὅμως ἐνεργώντας καί ἔτσι, ὅτι τόν πείθει ν' ἀπαρνεῖται τή βοήθεια τοῦ Θεοῦ. Διότι, ἐάν ἐκείνους τούς περιφρονεῖ ἐπειδή δέν μπόρεσαν νά κατορθώσουν μεγάλα πνευματικά ἔργα, εἶναι φανερό ὅτι παρουσιάζει τόν ἑαυτό σάν νά κατόρθωσε τά δικά του ἔργα μέ τή δική του δύναμη, πράγμα πού εἶναι ἀδύνατο, ἐφόσον ὁ Κύριος εἶπε· «χωρίς ἐμένα δέν μπορεῖτε νά κάνετε τίποτε»[16]. Ἐπειδή δηλαδή ἡ δική μας ἀδυναμία, προσπαθώντας νά κάνει τά καλά, δέν μπορεῖ νά πραγματοποιήσει αὐτά χωρίς τή βοήθεια ἐκείνου πού χορηγεῖ τά καλά.

39 Ἐκεῖνος πού ἔχει γνωρίσει τήν ἀδυναμία τῆς ἀνθρώπινης

*εἴληφε πεῖραν τῆς θείας δυνάμεως· καὶ ὁ τοιοῦτος δι' αὐτῆς τὰ μὲν κατορθώσας, τὰ δὲ σπεύδων κατορθῶσαι, οὐκ ἐξουθενεῖ ποτε οὐδένα ἀνθρώπων. Οἶδε γάρ, ὅτι, ὥσπερ αὐτῷ ἐβοήθησε καὶ πολλῶν παθῶν καὶ χαλεπῶν ἠλευθέρωσεν, οὕτω δυνατός ἐστι καὶ πᾶσι βοηθῆσαι ὅτε θέλει, καὶ μάλιστα τοῖς δι' αὐτὸν ἀγωνιζομένοις· εἰ καὶ κρίμασίν τισιν, ὑφ' ἓν πάντας τῶν παθῶν οὐκ ἀπαλλάττει, ἀλλ' ἰδίοις καιροῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἰατρός, ἕκαστον τῶν σπευδόντων ἰᾶται.*

40 *Ἐπὶ τῇ τῶν παθῶν ἀνενεργησίᾳ, ἡ ὑπερηφανία ἐπισυμβαίνει, ἢ τῶν αἰτιῶν ἀποκρυπτομένων, ἢ τῶν δαιμόνων δολερῶς ὑποχωρούντων.*

41 *Πᾶσα σχεδὸν ἁμαρτία, διὰ ἡδονὴν γίνεται, καὶ ἡ ταύτης ἀναίρεσις, διὰ κακοπαθείας καὶ λύπης, ἢ ἑκουσίου ἢ ἀκουσίου, διὰ μετανοίας, ἢ οἰκονομικῆς ἐπιφορᾶς, διὰ τῆς προνοίας ἐπαγομένης· «εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν», φησίν, «οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν».*

42 *Ὅταν σοι ἔλθῃ ἐξ ἀπροσδοκήτου πειρασμός, μὴ τὸν δι' οὗ αἰτιῶ, ἀλλὰ τὸ διὰ τί ζήτει, καὶ εὑρίσκεις διόρθωσιν. Ἐπεί, εἴτε δι' ἐκείνου, εἴτε δι' ἄλλου, ποιεῖν εἶχες τῶν τοῦ Θεοῦ κριμάτων τὸ ἀψίνθιον.*

43 *Ὅσον εἶ κακότροπος, τὸ κακοπαθεῖν μὴ ἀπαναίνου, ἵνα, δι' αὐτῆς τεπεινωθεὶς τὴν ὑπερηφανίαν ἐμέσῃ.*

44 *Οἱ μὲν τῶν πειρασμῶν ἡδονάς, οἱ δὲ λύπας, οἱ δὲ ὀδύνας*

---

17. Α' Κορ. 11,31-32.

φύσεως, αὐτός ἔλαβε γνώση καί τῆς θείας δυνάμεως, καί ὁ ἄνθρωπος αὐτός, γνωρίζοντας ὅτι ὅλα τά κατορθώματα τά πραγματοποίησε μέ τή δύναμη τοῦ Θεοῦ, καί ὅτι προχωρεῖ στήν πραγματοποίηση ἄλλων πιστεύοντας καί πάλι σ' αὐτήν, δέν περιφρονεῖ ποτέ κανένα ἀπό τούς ἀνθρώπους. Διότι γνωρίζει, ὅτι, ὅπως ἀκριβῶς βοήθησε αὐτόν καί τόν ἐλευθέρωσε ἀπό πολλά φοβερά πάθη, ἔτσι ἔχει τή δύναμη νά βοηθήσει ὅλους ὅταν θέλει, καί πρό πάντων ἐκείνους πού ἀγωνίζονται γι' αὐτόν, ἄν καί βέβαια γιά ὡρισμένους λόγους ἀνεξερεύνητους δέν ἀπαλλάσσει ὅλους τούς ἀνθρώπους ἀπό τά πάθη μέ τή μία, ἀλλά σάν ἀγαθός καί φιλάνθρωπος γιατρός θεραπεύει τόν καθένα πού καταφεύγει πρός αὐτόν στόν κατάλληλο καιρό.

40 Ὅταν τά πάθη βρίσκονται σέ ἀδράνεια, τότε ἤ ἐπειδή ἀπουσιάζουν τά αἴτια ἤ ἐπειδή οἱ δαίμονες ἀπό δολιότητα ἀποφεύγουν νά πειράξουν τόν ἄνθρωπο, κάνει τήν ἐμφάνισή της ἡ ὑπερηφάνεια.

41 Σχεδόν κάθε ἁμαρτία γίνεται μέ ἀφορμή τήν ἡδονή, καί ἡ ἐξάλειψη αὐτῆς κατορθώνεται μέ κακοπαθήματα καί λύπη, πού προξενοῦνται μέ τή θέληση ἤ μή τῶν ἀνθρώπων, μέ τή μετάνοια, ἤ τήν οἰκονομική προσφορά, καί μέ τή φροντίδα τοῦ Θεοῦ. Διότι λέγει· «ἐάν κρίναμε τούς ἑαυτούς μας, δέ θά κρινόμασταν. Ἀλλ' ὅταν κρινόμαστε ἀπό τόν Κύριο σωφρονιζόμαστε, γιά νά μή κατακριθοῦμε μαζί μέ τόν κόσμο»[17].

42 Ὅταν σοῦ ἔρθει πειρασμός ἀπροσδόκητος, μή κατηγορᾶς ἐκεῖνον ἀπό τόν ὁποῖο προῆλθε, ἀλλά προσπάθησε νά μάθεις τό λόγο γιά τόν ὁποῖο ἦρθε, καί τότε θά ἐπιτύχεις τή διόρθωσή του. Διότι, εἴτε μέ ἐκεῖνον, εἴτε μέ ἄλλον θά ἔπινες ὁπωσδήποτε τό πικρό ποτήρι τῆς ἀποφάσεως τοῦ Θεοῦ.

43 Ὅταν εἶσαι κακότροπος, μήν ἀρνεῖσαι τά κακοπαθήματα, ὥστε, ἀφοῦ μέ τόν τρόπο αὐτό ταπεινωθεῖς, ν' ἀποβάλεις τήν ὑπερηφάνειά σου.

44 Ἀπό τούς πειρασμούς ἄλλοι προξενοῦν στούς ἀνθρώπους

*σωματικὰς τοῖς ἀνθρώποις προσάγουσι. Κατὰ γὰρ τὴν ἐγκειμένην τῇ ψυχῇ αἰτίαν τῶν παθῶν, καὶ τὸ φάρμακον ὁ ἰατρὸς τῶν ψυχῶν διὰ τῶν αὐτοῦ κριμάτων ἐπιτίθησιν.*

45 *Αἱ ἐπιφοραὶ τῶν πειρασμῶν, τοῖς μὲν πρὸς ἤδη γεγονότων ἁμαρτημάτων ἀναίρεσιν, τοῖς δὲ πρὸς νῦν ἐνεργουμένων, ἄλλοις πρὸς μελλόντων ἐνεργεῖσθαι ἀνακοπήν, ἐπάγονται. Δίχα τῶν πρὸς δοκιμὴν ἐπισυμβαινόντων, ὡς ἐπὶ τοῦ Ἰώβ.*

46 *Ὁ μὲν ἐχέφρων, τῶν θείων κριμάτων τὴν ἰατρείαν ἀναλογιζόμενος, εὐχαρίστως φέρει τὰς διὰ τούτων ἐπισυμβαινούσας αὐτῷ συμφοράς, μηδένα ἄλλον τούτων αἴτιον, ἢ τὰς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος. Ὁ δὲ ἄφρων, τὴν τοῦ Θεοῦ ἀγνοῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καὶ παιδευόμενος, ἢ τὸν Θεόν, ἢ τοὺς ἀνθρώπους τῶν ἑαυτοῦ κακῶν αἰτίους λογίζεται.*

47 *Εἰσί τινα ἱστῶντα τὰ πάθη τῆς κινήσεως, καὶ μὴ ἐῶντα προβῆναι εἰς αὔξησιν· καὶ εἰσὶν ἕτερα ἐλαττοῦντα καὶ εἰς μείωσιν ἄγοντα. Οἷον, νηστεία καὶ κόπος καὶ ἀγρυπνία, οὐκ ἐῶσιν αὔξειν τὴν ἐπιθυμίαν, ἀναχώρησις δὲ καὶ θεωρία καὶ προσευχὴ καὶ ἔρως εἰς Θεόν, ἐλαττοῦσιν αὐτὴν καὶ εἰς ἀφανισμὸν ἄγουσι. Καὶ ἐπὶ τοῦ θυμοῦ δὲ ὁμοίως. Οἷον, μακροθυμία καὶ ἀμνησικακία καὶ πρᾳότης ἱστῶσιν αὐτὸν καὶ οὐκ ἐῶσιν αὔξειν, ἀγάπη δὲ καὶ ἐλεημοσύνη καὶ χρηστότης καὶ φιλανθρωπία εἰς μείωσιν ἄγουσιν.*

48 *Οὗτινος ὁ νοῦς διαπαντός ἐστι πρὸς Θεόν, τούτου καὶ ἡ ἐπιθυμία εἰς τὸν θεῖον ὑπερηύξησεν ἔρωτα καὶ ὁ θυμὸς ὁλοστὸς εἰς τὴν θείαν μετετράπη ἀγάπην. Τῇ γὰρ χρονίᾳ τῆς θείας ἐλλάμψε-*

ἡδονές, ἄλλοι λύπες καί ἄλλοι πόνους σωματικούς. Διότι, ἀνάλογα μέ τά αἴτια τῶν παθῶν πού ὑπάρχουν μέσα στήν ψυχή, χορηγεῖ καί τό φάρμακο ὁ γιατρός τῶν ψυχῶν σύμφωνα μέ τίς δίκαιες ἀποφάσεις του.

45 Οἱ πειρασμοί στέλνονται ἀπό τό Θεό μέ σκοπό, σ' ἄλλους νά ἐξαλείψουν τά ἁμαρτήματα πού ἤδη ἔχουν διαπράξει, σ' ἄλλους νά ἐμποδίσουν ἐκεῖνα πού διαπράττονται τώρα, καί σ' ἄλλους νά προλάβουν τή μελλοντική διάπραξη αὐτῶν. Κοντά σ' αὐτούς ὑπάρχουν καί οἱ πειρασμοί ἐκεῖνοι πού στέλνονται γιά δοκιμή, ὅπως στήν περίπτωση τοῦ Ἰώβ.

46 Ὁ σώφρονας ἄνθρωπος, σκεπτόμενος τή θεραπευτική δύναμη τῶν θείων τιμωριῶν, ὑπομένει μέ εὐχαρίστηση τίς συμφορές πού συμβαίνουν σ' αὐτόν, καί δέν θεωρεῖ κανένα ἄλλο αἴτιο γι' αὐτές παρά μόνο τίς ἁμαρτίες του. Ἀντίθετα ὁ ἄφρονας, ἀγνοώντας τή σοφότατη πρόνοια τοῦ Θεοῦ, ὅταν ἁμαρτάνει καί τιμωρεῖται, θεωρεῖ αἴτιους τῶν κακῶν πού τοῦ συμβαίνουν ἤ τό Θεό, ἤ τούς ἀνθρώπους.

47 Ὑπάρχουν ὡρισμένα πράγματα πού σταματοῦν τόν πόλεμο τῶν παθῶν καί δέν τ' ἀφήνουν ν' αὐξηθοῦν, καί ὑπάρχουν ἐπίσης ἄλλοι πού ἐλαττώνουν τόν πόλεμο τῶν παθῶν καί συντελοῦν στή μείωση αὐτῶν. Γιά παράδειγμα ἡ νηστεία, ὁ κόπος καί ἡ ἀγρυπνία δέν ἀφήνουν ν' αὐξηθεῖ ἡ ἐπιθυμία, ἐνῶ ἡ ἀναχώρηση ἀπό τόν κόσμο, ἡ πνευματική θεωρία, ἡ προσευχή καί ὁ ἔρωτας πρός τό Θεό, ἐλαττώνουν αὐτήν καί τήν ἐξαφανίζουν. Τό ἴδιο συμβαίνει καί στήν περίπτωση τοῦ θυμοῦ. Γιά παράδειγμα ἡ μακροθυμία, ἡ ἀμνησικακία καί ἡ πραότητα σταματοῦν αὐτόν καί δέν τόν ἀφήνουν ν' αὐξηθεῖ, ἐνῶ ἡ ἀγάπη, ἡ ἐλεημοσύνη, ἡ καλωσύνη καί ἡ φιλανθρωπία συντελοῦν στή μείωση αὐτοῦ.

48 Ἐκείνου πού ὁ νοῦς εἶναι γιά πάντα προσηλωμένος στό Θεό, αὐτοῦ καί ἡ ἐπιθυμία γιά τόν θεῖο ἔρωτα αὐξήθηκε ὑπερβολικά, καί ὁλόκληρος ὁ θυμός του μετατράπηκε πρός τή θεία

*ως μετουσίᾳ, ὅλος φωτοειδὴς γεγονὼς καὶ τὸ παθητικὸν αὐτοῦ μέρος πρὸς ἑαυτὸν συσφίγξας, εἰς ἔρωτα θεῖον, ὡς εἴρηται, ἀκατάληκτον καὶ ἀγάπην ἀκατάπαυστον ἔστρεψεν, ὅλως ἐκ τῶν ἐπιγείων ἐπὶ τὸ Θεῖον ματαγαγών.*

49 *Οὐ πάντως ὁ μὴ φθονῶν, μηδὲ ὀργιζόμενος, μηδὲ μνησικακῶν τῷ λυπήσαντι, ἤδη καὶ ἀγάπην ἔχει πρὸς αὐτόν. Δύναται γὰρ καὶ μήπω ἀγαπῶν κακὸν ἀντὶ κακοῦ μὴ ἀποδοῦναι, διὰ τὴν ἐντολήν· οὐ πάντως δὲ ἔτι καὶ καλὸν ἀνταποδοῦναι κακοῦ, ἀβιάστως. Τὸ γὰρ ἐκ διαθέσεως καλῶς ποιεῖν τοῖς μισοῦσι, μόνης ἐστὶ τῆς πνευματικῆς τελείας ἀγάπης.*

50 *Οὐχ ὁ μὴ ἀγαπῶν τινα, ἤδη πάντως καὶ μισεῖ αὐτόν· οὐδὲ πάλιν, ὁ μὴ μισῶν, ἤδη πάντως καὶ ἀγαπᾷ. Ἀλλὰ δύναται ὡς μέσος εἶναι πρὸς αὐτόν· τουτέστι, μήτε ἀγαπᾶν, μήτε μισεῖν. Τὴν γὰρ ἀγαπητικὴν διάθεσιν μόνοι οἱ ἐν τῷ ἐνάτῳ κεφαλαίῳ ταύτης τῆς ἑκατοντάδος εἰρημένοι πέντε τρόποι, ἐμποιεῖν πεφύκασιν, ὅ τε ἐπαινετὸς καὶ ὁ μέσος, καὶ οἱ ψεκτοί.*

51 ***Ὅταν ἴδῃς τὸν νοῦν σου τοῖς ὑλικοῖς ἡδέως ἐνασχολούμενον καὶ τοῖς τούτων νοήμασιν ἐμφιλοχωροῦντα, γίνωσκε σεαυτὸν ταῦτα μᾶλλον ἢ τὸν Θεὸν ἀγαπῶντα· «ὅπου γάρ ἐστιν ὁ θησαυρός σου», φησὶν ὁ Κύριος, «ἐκεῖ καὶ ἡ καρδία ἔσται».***

52 ***Νοῦς Θεῷ συναπτόμενος καὶ αὐτῷ ἐγχρονίζων διὰ προσευχῆς καὶ ἀγάπης, σοφὸς γίνεται καὶ ἀγαθὸς καὶ δυνατὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων καὶ μακρόθυμος, καί, ἁπλῶς εἰπεῖν, πάντα σχεδὸν τὰ θεῖα ἰδιώματα ἐν ἑαυτῷ περιφέρει. Τούτου δὲ ἀναχωρῶν καὶ τῶν ὑλικῶν προσχωρῶν, ἢ κτηνώδης γίνεται,***

---

18. Ματθ. 6,21.

ἀγάπη. Διότι μέ τήν πολυχρόνια συμμετοχή μέσα στή θεία ἔλλαμψη, ἀφοῦ ἔγινε ὁλόκληρος φωτοειδής καί ἀφοῦ ὑπέταξε τό παθητικό μέρος τῆς ψυχῆς του, μεταστράφηκε, ὅπως ἔχει λεχθεῖ, πρός ἀτέλειωτο θεῖο ἔρωτα καί ἀκατάπαυστη ἀγάπη, καί μεταφέρθηκε ἐξ ὁλοκλήρου ἀπό τά ἐπίγεια πρός τό θεῖο.

49 Ὁπωσδήποτε, ἐκεῖνος πού δέν φθονεῖ, οὔτε ὀργίζεται καί οὔτε τρέφει μνησικακία ἐναντίον ἐκείνου πού τόν λύπησε, δέν σημαίνει καί ὅτι ἀγαπᾶ αὐτόν. Διότι μπορεῖ, καί χωρίς ν' ἀγαπᾶ, νά μή ἀνταποδίδει κακό ἀντί κακοῦ, ἐξ αἰτίας τῆς ἐντολῆς, ὁπωσδήποτε ὅμως δέν εἶναι δυνατό ἀκόμα καί ν' ἀνταποδώσει ἀβίαστα καλό ἀντί κακοῦ, καθόσον τό νά εὐεργετεῖ κανείς μέ ὅλη τή διάθεση τῆς καρδιᾶς του ἐκείνους πού τόν μισοῦν, αὐτό εἶναι γνώρισμα μόνο τῆς τέλειας πνευματικῆς ἀγάπης.

50 Ἐκεῖνος πού δέν ἀγαπᾶ κάποιον δέν σημαίνει ὁπωσδήποτε καί ὅτι μισεῖ αὐτόν· οὔτε πάλι, ἐκεῖνος πού δέν μισεῖ κάποιον, σημαίνει ὅτι ἀγαπᾶ ὁπωσδῆποτε αὐτόν, ἀλλ' εἶναι δυνατό νά βρίσκεται σέ μιά μέση κατάσταση πρός αὐτόν· οὔτε δηλαδή νά τόν ἀγαπᾶ, οὔτε καί νά τόν μισεῖ. Διότι τήν ἀγαπητική διάθεση τή γεννοῦν μόνο οἱ πέντε τρόποι πού προαναφέρθηκαν στό ἔνατο κεφάλαιο αὐτῆς τῆς ἑκατοντάδας, πού εἶναι ὁ ἐπαινετός, ὁ μέσος καί οἱ τρεῖς ἄλλοι οἱ ἀξιοκατάκριτοι.

51 Ὅταν δεῖς τό νοῦ σου ν' ἀσχολεῖται μέ εὐχαρίστηση μέ τά ὑλικά πράγματα καί νά εἰσχωρεῖ μέσα στά νοήματα αὐτῶν, νά εἶσαι βέβαιος τότε ὅτι αὐτά ἀγαπᾶς περισσότερο παρά τό Θεό. Διότι λέγει, «ὅπου βρίσκεται ὁ θησαυρός σας, ἐκεῖ βρίσκεται καί ἡ καρδιά σας»[18].

52 **Νοῦς πού ἑνώνεται μέ τό Θεό καί παραμένει γιά πάντα ἑνωμένος μέ αὐτόν μέ τήν προσευχή καί τήν ἀγάπη, γίνεται σοφός, ἀγαθός, δυνατός, φιλάνθρωπος, εὐσπλαχνικός καί μακρόθυμος, καί γενικά φέρει μαζί του ὅλα σχεδόν τά θεῖα γνωρίσματα. Ἀντίθετα ἀπομακρυνόμενος ἀπ' αὐτόν καί προσκολλώμενος στά ὑλικά πράγματα, ἐπειδή ἔχει καταστεῖ φιλήδονος, γίνεται ἤ**

*φιλήδονος γεγονώς, ἢ θηριώδης, διὰ ταῦτα τοῖς ἀνθρώποις μαχόμενος.*

53 *Κόσμον λέγει ἡ Γραφὴ τὰ ὑλικὰ πράγματα, καὶ κοσμικοί εἰσι οἱ τούτοις τὸν νοῦν ἐνασχολοῦντες, πρὸς οὓς καὶ λέγει ἐντρεπτικώτερον· «μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἐπιθυμια τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί», καὶ τὰ ἑξῆς.*

54 *Μοναχός ἐστιν ὁ τῶν ὑλικῶν πραγμάτων τὸν νοῦν ἀποχωρίσας καὶ δι' ἐγκρατείας καὶ ἀγάπης καὶ ψαλμῳδίας καὶ προσευχῆς προσκαρτερῶν τῷ Θεῷ.*

55 *Κτηνοτρόφος μέν ἐστιν νοητός, ὁ πρακτικός· κτηνῶν γὰρ λόγον ἐπέχουσι τὰ ἠθικὰ κατορθώματα, διὸ καὶ ἔλεγεν ὁ Ἰακώβ· «ἄνδρες κτηνοτρόφοι εἰσὶν οἱ παῖδές σου». Ποιμὴν δὲ προβάτων, ὁ γνωστικός. Προβάτων γὰρ λόγον ἐπέχουσιν οἱ λογισμοί, ἐπὶ τὰ ὄρη τῶν θεωρημάτων ὑπὸ τοῦ νοῦ ποιμαινόμενοι. Διὰ τοῦτο καὶ «βδέλυγμα τοῖς Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων», ἤγουν ταῖς ἐναντίαις δυνάμεσι.*

56 *Ὁ μὲν φαῦλος νοῦς, κινουμένου τοῦ σώματος διὰ τῶν αἰσθήσεων ἐπὶ τὰς ἰδίας ἐπιθυμίας καὶ ἡδονάς, ἐξακολουθεῖ καὶ συγκατατίθεται ταῖς τούτου φαντασίαις καὶ ὁρμαῖς, ὁ δὲ ἐνάρετος ἐγκρατεύεται καὶ κατέχει ἑαυτὸν ἀπὸ τῶν ἐμπαθῶν φαντασιῶν καὶ ὁρμῶν, καὶ μᾶλλον φιλοσοφεῖ βελτίους ποιῆσαι τὰς τοιαύτας αὐτοῦ κινήσεις.*

57 *Τῶν ἀρετῶν αἱ μέν εἰσι σωματικαί, αἱ δὲ ψυχικαί. Καὶ*

---

19. Α' Ἰω. 2,15-16.
20. Γεν. 46,34.
21. Γεν. 43,31.

σάν κτῆνος ἤ σάν θηρίο, φιλονεικώντας ἐξ αἰτίας αὐτῶν μέ τούς ἀνθρώπους.

53 Κόσμο ἡ ἁγία Γραφή ὀνομάζει τά ὑλικά πράγματα, καί κοσμικοί εἶναι ἐκεῖνοι πού ἔχουν συγκεντρωμένο τό νοῦ τους σ' αὐτά, πρός τούς ὁποίους ἀπευθύνεται ἡ Γραφή καί λέγει μέ σκοπό νά τούς ἀπομακρύνει ἀπ' αὐτά· «μήν ἀγαπᾶτε τόν κόσμο, οὔτε τά πράγματα πού ὑπάρχουν μέσα στόν κόσμο. Ἡ σαρκική ἐπιθυμία καί ἡ ἐπιθυμία τῶν ματιῶν καί ἡ ἀλαζονεία γιά τά πράγματα τῆς ζωῆς αὐτῆς, δέν προέρχονται ἀπό τό Θεό, ἀλλά ἀπό τόν κόσμο»[19], καί τά ἑξῆς.

54 Μοναχός εἶναι ἐκεῖνος πού ἀπομάκρυνε τό νοῦ του ἀπό τά ὑλικά πράγματα καί εἶναι προσηλωμένος στό Θεό μέ ἐγκράτεια, ἀγάπη, ψαλμωδία καί προσευχή.

55 Ὁ ἄνθρωπος πού ἐνεργεῖ καί κάμνει πράξη τίς ἐντολές τοῦ Κυρίου εἶναι νοητός κτηνοτρόφος, διότι τά ἠθικά κατορθώματα ἐπέχουν τή θέση τῶν κτηνῶν, γι' αὐτό καί ἔλεγε ὁ Ἰακώβ· «ἄνδρες κτηνοτρόφοι εἶναι οἱ δοῦλοι σου»[20], ἐνῶ εἶναι ποιμένας τῶν προβάτων ὁ γνωστικός. Διότι οἱ λογισμοί ἐπέχουν τή θέση προβάτων, πού ποιμαίνονται ἀπό τό νοῦ στά ὄρη τῶν θεωρημάτων. Γι' αὐτό καί «θεωροῦνταν ἀπό τούς Αἰγυπτίους σάν κάτι τό ἀποτροπιαστικό ὁ κάθε ποιμένας προβάτων»[21], δηλαδή ἀπό τίς ἀντίθετες πνευματικές δυνάμεις, τούς διαβόλους.

56 Ὁ ἁμαρτωλός νοῦς, ὅταν τό σῶμα κινεῖται μέ τίς αἰσθήσεις πρός τίς σαρκικές ἐπιθυμίες καί ἡδονές, ἀκολουθεῖ καί αὐτός καί συγκατατίθεται στίς ἐμπαθεῖς φαντασίες καί ὁρμές αὐτοῦ, ἐνῶ ὁ ἐνάρετος νοῦς ἀσκεῖ ἐγκράτεια καί συγκρατεῖ τόν ἑαυτό του ἀπό τίς ἐμπαθεῖς φαντασίες καί ὁρμές, καί προσπαθεῖ νά διορθώσει καί νά ἐξαλείψει τίς ἁμαρτωλές αὐτές κινήσεις τοῦ σώματος.

57 Ἀπό τίς ἀρετές ἄλλες εἶναι σωματικές, καί ἄλλες ψυχικές.

*σωματικαὶ μέν εἰσιν, οἷον νηστεία, ἀγρυπνία, χαμευνία, διακονία, ἐργόχειρον πρὸς τὸ μὴ ἐπεβαρῆσαί τινα, ἢ πρὸς μετάδοσιν, καὶ τὰ ἑξῆς, ψυχικαὶ δέ εἰσιν, οἷον ἀγάπη, μακροθυμία, πραότης, ἐγκράτεια, προσευχή, καὶ τὰ ἑξῆς. Ἐὰν οὖν ἔκ τινος ἀνάγκης ἢ περιστάσεως σωματικῆς, οἷον ἀρρωστίας ἢ τινος τῶν τοιούτων, συμβῇ ἡμῖν μὴ ἐκτελέσαι δυνηθῆναι τὰς προειρημένας σωματικὰς ἀρετάς, συγγνώμην ἔχομεν παρὰ Κυρίου, τοῦ καὶ τᾶς αἰτίας εἰδότος, τὰς δὲ ψυχικὰς μὴ ἐκτελοῦντες οὐδεμίαν ἕξομεν ἀπολογίαν. Οὐ γάρ εἰσιν ὑπὸ ἀνάγκην.*

*58 Ἡ εἰς Θεὸν ἀγάπη πάσης ἡδονῆς παρερχομένης καὶ παντὸς πόνου καὶ λύπης πείθει καταφρονεῖν τὸν μέτοχον αὐτῆς. Καὶ πειθέτωσάν σε οἱ ἅγιοι πάντες, τοσαῦτα πεπονθότες διὰ Χριστόν.*

*59 Πρόσεχε σεαυτῷ ἀπὸ τῆς μητρὸς τῶν κακῶν, φιλαυτίας, ἥτις ἐστὶν ἡ τοῦ σώματος ἄλογος φιλία. Ἐκ ταύτης γἀρ εὐλογοφανῶς τίκτονται οἱ πρῶτοι καὶ ἐμπαθεῖς καὶ γενικώτατοι τρεῖς ἐμμανεῖς λογισμοί· ὁ τῆς γαστριμαργίας, λέγω, καὶ φιλαργυρίας καὶ κενοδοξίας· τὰς ἀφορμὰς ἐκ τῆς ἀναγκαίας τοῦ σώματος δῆθεν λαμβάνοντες χρείας, ἐξ ὧν γεννᾶται ἅπας ὁ τῶν κακῶν κατάλογος. Δεῖ οὖν, ὡς εἴρηται, προσέχειν ἀναγκαίως, καὶ ταύτῃ πολεμεῖν μετὰ πολλῆς νήψεως. Ταύτης γὰρ ἀναιρουμένης, συναναιροῦνται πάντες οἱ ἐξ αὐτῆς.*

*60 Τὸ τῆς φιλαυτίας πάθος, τῷ μὲν μοναχῷ ἐλεεῖν ὑποτίθεται τὸ σῶμα καὶ συνελθεῖν παρὰ τὸ προσῆκον εἰς τὰ βρώματα, οἰκονομίας δῆθεν χάριν καὶ κυβερνήσεως, ἵνα, κατὰ μικρὸν παρασυρόμενος, εἰς τὸ βόθρον τῆς φιληδονίας ἐμπέσῃ. Τῷ δὲ κο-*

Σωματικές εἶναι ὅπως ἡ νηστεία, ἡ ἀγρυπνία, τό πλάγιασμα ἐπάνω στό χῶμα, ἡ διακονία, τό ἐργόχειρο γιά νά μή ἐπιβαρύνει κανείς κάποιον ἤ καί γιά νά δίνει σ' ἄλλους, καί τά παρόμοια, ἐνῶ ψυχικές εἶναι ὅπως ἡ ἀγάπη, ἡ μακροθυμία, ἡ πραότητα, ἡ ἐγκράτεια, ἡ προσευχή καί τά παρόμοια. Ἐάν λοιπόν συμβεῖ ἐξ αἰτίας κάποιας ἀνάγκης ἤ σωματικῆς καταστάσεως, ὅπως εἶναι ἡ ἀρρώστια ἤ κάτι παρόμοιο, νά μή μπορέσουμε νά ἐκτελέσουμε τίς σωματικές ἀρετές πού προαναφέρθηκαν, συγχωρούμαστε ἀπό τόν Κύριο, πού γνωρίζει καί τίς αἰτίες, ἐνῶ ἐάν δέν ἐκτελοῦμε τίς ψυχικές, δέν θά ἔχουμε καμιά δικαιολογία. Διότι δέν ὑπάρχει καμιά ἀνάγκη πού νά δικαιολογεῖ τήν μή ἐκτέλεσή τους.

58 Ἡ ἀγάπη πρός τό Θεό παρακινεῖ καί πείθει ἐκεῖνον πού τήν ἔχει νά περιφρονεῖ κάθε ἡδονή προσωρινή καί κάθε κόπο καί λύπη. Ἄς σέ πείσουν γι' αὐτό ὅλοι ὁ ἅγιοι πού τόσα πολλά ἔπαθαν γιά τόν Χριστό.

59 Πρόσεχε τόν ἑαυτό σου ἀπό τή μητέρα τῶν κακῶν, δηλαδή τήν φιλαυτία, πού εἶναι ἡ παράλογη ἀγάπη τοῦ σώματος. Διότι ἀπό αὐτήν γεννιοῦνται ὁπωσδήποτε οἱ τρεῖς πρωταρχικοί, ἐμπαθεῖς καί οἱ πιό βασικοί μανιώδεις λογισμοί, ἐννοῶ τῆς γαστριμαργίας, τῆς φιλαργυρίας καί τῆς ματαιοδοξίας. Αὐτές λαμβάνουν τίς ἀφορμές ἀπό τίς δῆθεν ἀπαραίτητες σωματικές ἀνάγκες, ἀπό τίς ὁποῖες γεννιέται ὅλος ὁ κατάλογος τῶν κακῶν. Πρέπει λοιπόν, ὅπως προαναφέρθηκε, νά προσέχουμε πάρα πολύ καί νά πολεμᾶμε αὐτήν μέ μαγάλη προσοχή καί ἐπαγρύπνηση. Διότι, ὅταν ἐξαφανισθεῖ αὐτή, ἐξαφανίζονται καί ὅλα τά κακά πού προέρχονται ἀπ' αὐτήν.

60 Τό πάθος τῆς φιλαυτίας ὑποκινεῖ τόν μοναχό νά βοηθεῖ τό σῶμα καί νά τοῦ παρέχει περισσότερες ἀπό ὅ,τι πρέπει τροφές, τάχα ἀπό ὑπερβολική φροντίδα καί ἐνδιαφέρον γι' αὐτό, ὥστε, παρασυρόμενος σιγά - σιγά, νά πέσει μέσα στό βόθρο τῆς φιληδονίας. Στόν κοσμικό πάλι, ἐκδηλώνοντας πρός αὐτό τήν ἴδια

*σμικῷ ἐντεῦθεν ἤδη πρόνοιαν αὐτῷ ποιεῖσθαι εἰς ἐπιθυμίαν ὑποβάλλει.*

61 *Τὴν τῆς προσευχῆς ἀκροτάτην κατάστασιν, ταύτην εἶναι λέγουσι, τὸ ἔξω σαρκὸς καὶ κόσμου γενέσθαι τὸν νοῦν, καὶ ἄϋλον πάντη καὶ ἀνείδεον ἐν τῷ προσεύχεσθαι. Ὁ οὖν ταύτην ἀλώβητον διατηρῶν τὴν κατάστασιν, οὗτος ὄντως ἀδιαλείπτως προσεύχεται.*

62 *Ὥσπερ τὸ σῶμα ἀποθνῆσκον πάντων χωρίζεται τῶν τοῦ βίου πραγμάτων, οὕτω καὶ ὁ νοῦς, ἐν τῷ ἄκρως προσεύχεσθαι ἀποθνήσκων, πάντων χωρίζεται τῶν τοῦ κόσμου νοημάτων. Ἐὰν γὰρ μὴ τὸν τοιοῦτον θάνῃ θάνατον, μετὰ Θεοῦ εὑρεθῆναι καὶ ζῆσαι οὐ δύναται.*

63 *Μηδείς σε ἀπατήσῃ, μοναχέ, ὅτι ἔνι σε σωθῆναι ἡδονῇ καὶ κενοδοξίᾳ δουλεύοντα.*

64 *Ὥσπερ τὸ σῶμα διὰ τῶν πραγμάτων ἁμαρτάνει καὶ ἔχει πρὸς παιδαγωγίαν τὰς σωματικὰς ἀρετάς, ἵνα σωφρονῇ, οὕτω καὶ ὁ νοῦς διὰ τῶν ἐμπαθῶν νοημάτων, καὶ ἔχει ὡσαύτως πρὸς παιδαγωγίαν τὰς ψυχικὰς ἀρετάς, ἵνα, καθαρῶς καὶ ἀπαθῶς ὁρῶν τὰ πράγματα, σωφρονῇ.*

65 *Ὥσπερ τὰς ἡμέρας διαδέχονται αἱ νύκτες καὶ τὰ θέρη οἱ χειμῶνες, οὕτω κενοδοξίαν καὶ ἡδονήν, λύπαι καὶ ὀδύναι, εἴτε ἐν τῷ παρόντι, εἴτε ἐν τῷ μέλλοντι.*

66 *Οὐκ ἔστιν ἁμαρτήσαντα ἐκφυγεῖν τὴν μέλλουσαν κρίσιν ἄνευ ἑκουσίων ἐνταῦθα πόνων, ἢ ἀκουσίων ἐπιφορῶν.*

---

22. Ρωμ. 13,14.
23. Α' Θεσ. 5,17.

δῆθεν φροντίδα μέ τήν προηγούμενη, τόν παρακινεῖ στήν ἱκανοποίηση τῶν ἐπιθυμιῶν του[22].

61 Ἡ πιό ἀνώτερη κατάσταση τῆς προσευχῆς λένε ὅτι εἶναι αὐτή, τό ν' ἀποκοπεῖ τελείως ὁ νοῦς ἀπό τά σαρκικά καί κοσμικά πράγματα καί νά προσεύχεται ἀπαλλαγμένος ἐξ ὁλοκλήρου ἀπό τά ὑλικά πράγματα καί τά σχήματα τοῦ κόσμου. Ἐκεῖνος λοιπόν πού διατηρεῖ ἀκέραια αὐτήν τήν κατάσταση, αὐτός πραγματικά προσεύχεται ἀδιάκοπα[23].

62 Ὅπως ἀκριβῶς τό σῶμα ὅταν πεθάνει ἀποχωρίζεται ἀπό ὅλα τά πράγματα τοῦ κόσμου, ἔτσι καί ὁ νοῦς, ὅταν φθάσει στό ἀνώτερο στάδιο τῆς προσευχῆς, πεθαίνει κατά κάποιο τρόπο καί ἀποχωρίζεται ἀπό ὅλα τά νοήματα τοῦ κόσμου. Διότι, ἐάν δέν ὑποστεῖ τόν θάνατο αὐτοῦ τοῦ εἴδους, δέν μπορεῖ νά βρεθεῖ κοντά στό Θεό καί νά ζήσει.

63 Κανένας νά μή σέ ἐξαπατήσει, μοναχέ, λέγοντάς σου ὅτι μπορεῖς νά σωθεῖς δουλεύοντας στήν ἡδονή καί τή ματαιοδοξία.

64 Ὅπως ἀκριβῶς τό σῶμα ἁμαρτάνει μέ αἰσθητά πράγματα καί γιά παιδαγωγία ἔχει τίς σωματικές ἀρετές, ὥστε νά σωφρονεῖ, ἔτσι καί ὁ νοῦς ἁμαρτάνει μέ τούς ἐμπαθεῖς λογισμούς, καί κατά παρόμοιο τρόπο γιά παιδαγωγία ἔχει τίς ψυχικές ἀρετές, ὥστε, βλέποντας τά πράγματα καθαρά καί μέ ἀπάθεια, νά σωφρονεῖ.

65 Ὅπως ἀκριβῶς τίς ἡμέρες διαδέχονται οἱ νύχτες, καί τά καλοκαίρια οἱ χειμῶνες, ἔτσι καί τή ματαιοδοξία καί τήν ἡδονή τίς διαδέχονται λύπες καί στενοχώριες, εἴτε στήν παρούσα ζωή, εἴτε στή μέλλουσα.

66 Δέν εἶναι δυνατό κάποιος πού ἁμάρτησε ν' ἀποφύγει τή μέλλουσα κρίση χωρίς νά ὑποβάλει τόν ἑαυτό του, ὅσο ἀκόμα εἶναι ἐδῶ, σέ θεληματικούς κόπους, ἤ χωρίς τήν ἐπιβουλή ἐκ μέρους τοῦ Θεοῦ τιμωριῶν πρός διόρθωσή μας.

67 *Διὰ πέντε αἰτίας, φασί, παραχωρεῖσθαι ἡμᾶς ὑπὸ Θεοῦ πολεμεῖσθαι ὑπὸ δαιμόνων. Καὶ πρώτην μὲν εἶναί φασιν, ἵνα, πολεμούμενοι καὶ ἀντιπολεμοῦντες, εἰς διάκρισιν τῆς ἀρετῆς καὶ τῆς κακίας ἔλθωμεν. Δευτέραν δέ, ἵνα, πολέμῳ καὶ πόνῳ τὴν ἀρετὴν κτώμενοι, βεβαίαν αὐτὴν καὶ ἀμετάπτωτον ἔξωμεν. Τρίτην δέ, ἵνα, προκόπτοντες εἰς τὴν ἀρετήν, μὴ ὑψηλοφρονῶμεν, ἀλλὰ μάθωμεν ταπεινοφρονεῖν. Τετάρτην δέ, ἵνα, πειραθέντες τῆς κακίας, τέλειον μῖσος αὐτὴν μισήσωμεν. Πέμπτην δὲ ἐπὶ πάσαις, ἵνα ἀπαθεῖς γενόμενοι, μὴ ἐπιλαθώμεθα τῆς οἰκείας ἀσθενείας, μήτε τῆς τοῦ βοηθήσαντος δυνάμεως.*

68 *Ὥσπερ τοῦ πεινῶντος ὁ νοῦς ἄρτον φαντάζεται καὶ τοῦ διψῶντος ὕδωρ, οὕτω καὶ τοῦ γαστριμάργου ποικιλίας ἐδεσμάτων, καὶ τοῦ φιληδόνου μορφὰς γυναικῶν, καὶ ὁ τοῦ κενοδόξου τὰς ἐξ ἀνθρώπων τιμάς, καὶ τοῦ φιλαργύρου τὰ κέρδη, καὶ τοῦ μνησικάκου τὴν ἄμυναν τοῦ λυπήσαντος, καὶ τοῦ φθονεροῦ τὴν κάκωσιν τοῦ φθονουμένου, καὶ ἐπὶ τῶν ἄλλων παθῶν ὁμοίως. Ἐκ γὰρ τῶν παθῶν ὀχλούμενος νοῦς, λαμβάνει τὰ ἐμπαθῆ νοήματα, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.*

69 *Ὅταν ἐπιθυμία αὔξῃ, τὰς ποιητικὰς τῶν ἡδονῶν ὕλας ἐν τοῖς ὕπνοις ὁ νοῦς φαντάζεται, ὅταν δὲ ὁ θυμός, τὰ φόβων ποιητικὰ βλέπει πράγματα. Αὔξουσι μέντοι τὰ παθη οἱ ἀκάθαρτοι δαίμονες, συνεργὸν τὴν ἡμετέραν ἀμέλειαν λαμβάνοντες, καὶ ταῦτα ἐρεθίζοντες, ἐλαττοῦσι δὲ οἱ ἅγιοι ἄγγελοι, πρὸς τὴν τῶν ἀρετῶν ἡμᾶς κινοῦντες ἐργασίαν.*

70 *Τὸ μὲν ἐπιθυμητικὸν τῆς ψυχῆς πυκνότερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσκίνητον τῇ ψυχῇ ἐντίθησιν, ὁ δὲ θυμός, συνεχῶς ταρασσόμενος, δειλὸν καὶ ἄνανδρον τὸν νοῦν ἀπεργάζεται. Ἰῶνται δέ, τὸ μέν, ἄσκησις ἐπιτεταμένη νηστείας καὶ ἀγρυ-*

67 Γιά πέντε αἰτίες λένε ὅτι ὁ Θεός ἐπιτρέπει νά πολεμούμαστε ἀπό τούς δαίμονες. Πρώτη λένε ὅτι εἶναι ἐκείνη κατά τήν ὁποία, πολεμούμενοι ἀπό τούς δαίμονες καί ἀντιπαρατάσσοντας πρός αὐτούς τό δικό μας πόλεμο, φθάνομε στό νά διακρίνουμε τήν ἀρετή ἀπό τήν κακία. Δεύτερη αἰτία εἶναι, ἀφοῦ μέ τόν πόλεμο καί τόν κόπο ἀποκτήσουμε τήν ἀρετή, νά τήν κρατᾶμε σταθερή καί ἀμετάβλητη. Τρίτη εἶναι, προκόβοντας στήν ἀρετή, νά μή ὑπερηφανευόμαστε, ἀλλά νά μάθουμε νά εἴμαστε ταπεινόφρονες. Τέταρτη εἶναι, ἀφοῦ γνωρίσουμε τήν κακία, νά μισήσουμε μέ ὅλη τή δύναμή μας αὐτήν. Πέμπτη αἰτία μαζί μέ ὅλες τίς ἄλλες εἶναι, ἀφοῦ γίνουμε ἀπαθεῖς, νά μή λησμονήσουμε τήν ἀδυναμία μας, οὔτε τή δύναμη ἐκείνου πού μᾶς βοήθησε.

68 Ὅπως ἀκριβῶς ὁ νοῦς ἐκείνου πού πεινάει φαντάζεται ψωμί, καί ἐκείνου πού διψάει νερό, ἔτσι καί ὁ νοῦς τοῦ γαστρίμαργου φαντάζεται μορφές γυναικῶν, τοῦ φιλάργυρου φαντάζεται τά κέρδη, τοῦ μνησίκακου τήν ἐκδίκηση ἐκείνου πού τόν λύπησε, τοῦ φθονεροῦ τήν κακοποίηση ἐκείνου πού φθονεῖ, καί τό ἴδιο συμβαίνει μέ τά ἄλλα πάθη. Διότι ὁ νοῦς, ἐνοχλούμενος ἀπό τά πάθη, κυριεύεται ἀπό τούς ἐμπαθεῖς λογισμούς καί ὅταν εἶναι ξάγρυπνο τό σῶμα, καί κατά τό χρόνο τοῦ ὕπνου.

69 Ὅταν αὐξηθεῖ μία ἐπιθυμία, ὁ νοῦς φαντάζεται κατά τή διάρκεια τοῦ ὕπνου τίς σαρκικές ἀπολαύσεις πού προξενοῦν τίς ἡδονές· ὅταν πάλι αὐξηθεῖ ὁ θυμός, τότε βλέπει τά πράγματα ἐκεῖνα πού προξενοῦν φόβο. Δηλαδή οἱ ἀκάθαρτες δυνάμεις αὐξάνουν τά πάθη, παίρνοντας βοηθό τή δική μας ἀμέλεια, καί ἐρεθίζουν αὐτά. Ἀπό τό ἄλλο μέρος οἱ ἅγιοι ἄγγελοι μειώνουν αὐτά, προτρέποντάς μας ν' ἀσκοῦμε τίς ἀρετές.

70 Ὅταν τό ἐπιθυμητικό τῆς ψυχῆς δέχεται πυκνούς ἐρεθισμούς, δημιουργεῖ μέσα στήν ψυχή μία σταθερή συνήθεια φιληδονίας, ἐνῶ ὅταν ταράσσεται συνέχεια τό θυμικό μέρος αὐτῆς, τότε καθίσταται ὁ νοῦς δειλός καί ἄνανδρος. Αὐτά τά θεραπεύουν, τό πρῶτο μακροχρόνια ἄσκηση νηστείας, ἀγρυπνίας

πνίας καὶ προσευχῆς, τὸν δέ, χρηστότης καὶ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος.

71 Ἢ διὰ τῶν πραγμάτων οἱ δαίμονες πολεμοῦσιν, ἢ διὰ τῶν ἐν τοῖς πράγμασιν ἐμπαθῶν νοημάτων. Καὶ διὰ μὲν τῶν πραγμάτων, τοὺς ἐν τοῖς πράγμασιν ὄντας, διὰ δὲ τῶν νοημάτων, τοὺς τῶν πραγμάτων κεχωρισμένους.

72 Ὅσον ἐστὶν εὐκοπώτερον τὸ κατὰ διάνοιαν ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν, τοσοῦτόν ἐστι βαρύτερος ὁ διὰ τῶν νοημάτων πόλεμος, τοῦ διὰ τῶν πραγμάτων.

73 Τὰ μὲν πράγματα ἔξωθέν εἰσι τοῦ νοῦ, τὰ δὲ τούτων νοήματα ἔσω συνίστανται. Ἐν αὐτῷ οὖν ἐστι, τὸ εὖ τούτοις χρήσασθαι, ἢ κακῶς. Τῇ γὰρ ἐσφαλμένῃ τῶν νοημάτων χρήσει ἡ παράχρησις τῶν πραγμάτων ἀκολουθεῖ.

74 Διὰ τῶν τριῶν τούτων λαμβάνει ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα· διὰ τῆς αἰσθήσεως, διὰ τῆς κράσεως, διὰ τῆς μνήμης. Καὶ διὰ μὲν τῆς αἰσθήσεως, ὅταν, προσβάλλοντα αὐτῇ τὰ πράγματα πρὸς ἅπερ τὰ πάθη κεκτήμεθα, κινῇ αὐτὸν πρὸς ἐμπαθεῖς λογισμούς. Διὰ δὲ τῆς κράσεως, ὅταν, ἐξ ἀκολάστου διαίτης ἢ ἐνεργείας δαιμόνων ἢ νοσήματός τινος ἀλλοιουμένη ἡ τοῦ σώματος κρᾶσις, κινῇ αὐτὸν πάλιν πρὸς ἐμπαθεῖς λογισμοὺς ἢ κατὰ τῆς Προνοίας. Διὰ δὲ τῆς μνήμης, ὅταν τῶν πραγμάτων πρὸς ἅπερ πεπόνθαμεν τὰ νοήματα ἡ μνήμη ἀναφέρῃ, καὶ κινῇ αὐτὸν ὁμοίως πρὸς ἐμπαθεῖς λογισμούς.

75 Τῶν εἰς χρῆσιν παρὰ Θεοῦ δοθέντων ἡμῖν πραγμάτων, τὰ μὲν ἐν τῇ ψυχῇ, τὰ δὲ ἐν τῷ σώματι, τὰ δὲ περὶ τὸ σῶμα εὑρίσκεται· οἷον, ἐν μὲν τῇ ψυχῇ αἱ δυνάμεις αὐτῆς, ἐν δὲ τῷ σώμα-

καί προσευχῆς, ἐνῶ τό δεύτερο καλωσύνη, φιλανθρωπία, ἀγάπη καί ἐλεημοσύνη.

71 Οἱ δαίμονες πολεμοῦν τούς ἀνθρώπους ἤ μέ τά αἰσθητά πράγματα, ἤ μέ τά ἐμπαθή νοήματα πού δημιουργοῦνται ἀπό τά πράγματα. Καί μέ τά αἰσθητά πράγματα πολεμοῦν ἐκείνους πού περιβάλλονται ἀπό τά πράγματα αὐτά, ἐνῶ μέ τά νοήματα πολεμοῦν ἐκείνους πού ζοῦν μακριά ἀπό τά πράγματα.

72 Ὅσο πιό εὔκολο εἶναι τό ν' ἁμαρτάνει κανείς μέ τή σκέψη του παρά στήν πράξη, τόσο πιό βαρύτερος εἶναι ὁ πόλεμος πού προέρχεται ἀπό τούς ἐμπαθεῖς λογισμούς, ἀπό τόν πόλεμο πού προέρχονται ἀπό τά αἰσθητά πράγματα.

73 Τά αἰσθητά πράγματα βρίσκονται ἔξω ἀπό τό νοῦ, ἐνῶ οἱ λογισμοί αὐτῶν βρίσκονται μέσα στό νοῦ. Ἀπ' αὐτόν λοιπόν ἐξαρτᾶται ἡ ὀρθή ἤ ἡ κακή χρῆση αὐτῶν. Διότι τήν ἐσφαλμένη χρήση τῶν λογισμῶν ἀκολουθεῖ ἡ κακή χρησιμοποίηση τῶν πραγμάτων.

74 Μέ αὐτά τά τρία μέσα ὁ νοῦς δημιουργεῖ τούς ἐμπαθεῖς λογισμούς· μέ τήν αἴσθηση δηλαδή, μέ τήν κράση, καί μέ τή μνήμη. Μέ τήν αἴσθηση τούς δημιουργεῖ ὅταν τά πράγματα, ἀπό τά ὁποῖα προέρχονται τά πάθη, προσβάλλουν τήν αἴσθηση, ὁπότε ὁδηγοῦν τό νοῦ σέ ἐμπαθεῖς λογισμούς. Μέ τήν κράση τούς δημιουργεῖ ὅταν, ἐξ αἰτίας τοῦ ἀκόλαστου τρόπου ζωῆς ἤ τῆς δαιμονικῆς ἐπενέργειας ἤ κάποιας ἀσθένειας, μεταβληθεῖ ἡ ὅλη κατάσταση τοῦ σώματος, ὁπότε ὁδηγεῖται πάλι ὁ νοῦς πρός ἐμπαθεῖς λογισμούς ἤ ἐναντίον τῆς πρόνοιας τοῦ Θεοῦ. Τέλος μέ τή μνήμη τούς δημιουργεῖ ὅταν ἡ μνήμη ὑπενθυμίζει τά πράγματα ἐκεῖνα ἀπό τά ὁποῖα προέρχονται οἱ λογισμοί, καί ἔτσι ὁδηγεῖ τό νοῦ σέ ἐμπαθεῖς λογισμούς.

75 Ἀπό τά πράγματα πού μᾶς δόθηκαν ἀπό τό Θεό γιά χρήση, ἄλλα ἀπ' αὐτά βρίσκονται μέσα στήν ψυχή, ἄλλα στό σῶμα, καί ἄλλα ἔξω ἀπό τό σῶμα· γιά παράδειγμα μέσα στήν ψυχή βρίσκο-

*τι τὰ αἰσθητήρια καὶ τὰ λοιπὰ μέλη, περὶ δὲ τὸ σῶμα βρώματα, κτήματα, καὶ τὰ ἑξῆς. Τὸ οὖν εὖ τούτοις χρήσασθαι ἢ κακῶς, ἢ τοῖς περὶ ταῦτα συμβεβηκόσιν, ἢ ἐναρέτους ἢ φαύλους ἡμᾶς ἀποφαίνει.*

76 *Τῶν ἐν τοῖς πράγμασι συμβεβηκότων, τὰ μέν εἰσι τῶν ἐν τῇ ψυχῇ, τὰ δέ, τῶν ἐν τῷ σώματι, τὰ δέ, τῶν περὶ τὸ σῶμα πραγμάτων. Καὶ τῶν μὲν ἐν τῇ ψυχῇ, οἷον, γνῶσις καὶ ἄγνοια, λήθη καὶ μνήμη, ἀγάπη καὶ μῖσος, φόβος καὶ θάρσος, λύπη καὶ χαρά, καὶ τὰ ἑξῆς, τῶν δὲ ἐν τῷ σώματι, οἷον, ἡδονὴ καὶ πόνος, αἴσθησις καὶ πήρωσις, ὑγεία καὶ νόσος, ζωὴ καὶ θάνατος, καὶ τὰ τοιαῦτα. Τῶν δὲ περὶ τὸ σῶμα, οἷον, εὐτεκνία καὶ ἀτεκνία, πλοῦτος καὶ πενία, δόξα καὶ ἀδοξία, καὶ τὰ ἑξῆς. Τούτων δέ, τὰ μὲν καλά, τὰ δὲ κακὰ τοῖς ἀνθρώποις νομίζεται, οὐδὲν αὐτῶν κακὸν ὂν τῷ ἰδίῳ λόγῳ, παρὰ δὲ τὴν χρῆσιν, εἴτε κακὰ κυρίως, εἴτε ἀγαθὰ εὑρίσκεται.*

77 *Καλὴ ἡ γνῶσις τῇ φύσει, ὁμοίως δὲ καὶ ὑγεία, ἀλλὰ τἀναντία τοὺς πολλοὺς ἤπερ ταῦτα ὤνησεν. Τοῖς γὰρ φαύλοις οὐκ εἰς καλὸν ἡ γνῶσις συμβαίνει, εἰ καὶ τῇ φύσει, ὡς εἴρηται, ἐστὶ καλή· ὁμοίως δὲ οὐδὲ ὑγεία, οὐδὲ πλοῦτος, οὐδὲ χαρά. Οὐ γὰρ συμφερόντως τούτοις κέχρηνται. Ἄρα οὖν τἀναντία τούτοις συμφέρει. Οὐκοῦν οὐδὲ ἐκεῖνα κακὰ τῷ ἰδίῳ λόγῳ τυγχάνει, εἰ καὶ δοκεῖ κακὰ εἶναι.*

78 *Μὴ παραχρῶ τοῖς νοήμασιν, ἵνα μὴ ἐξ ἀνάγκης καὶ τοῖς πράγμασι παραχρήσῃ. Ἐὰν γὰρ μή τις πρῶτον κατὰ διάνοιαν ἁμαρτάνῃ, οὐκ ἂν ἁμάρτῃ ποτὲ κατ' ἐνέργειαν.*

---

24. Συμβεβηκός εἶναι τό κάθε τι πού ταιριάζει σέ κάτι ἤ εἶναι ἀποτέλεσμα αὐτοῦ, χωρίς ὅμως ν' ἀνήκει στήν οὐσία αὐτοῦ.

νται οἱ δυνάμεις αὐτῆς, στό σῶμα τά αἰσθητήρια ὄργανα καί τά ὑπόλοιπα μέλη, ἐνῶ ἔξω ἀπό τό σῶμα βρίσκονται οἱ τροφές, τά κτήματα καί τά ὑπόλοιπα. Ἡ καλή λοιπόν ἤ ἡ κακή χρήση αὐτῶν ἤ τῶν ἐνεργειῶν καί ἀποτελεσμάτων αὐτῶν μᾶς καθιστοῦν ἐναρέτους ἤ κακούς.

76 Ἀπό τά συμβεβηκότα[24] τῶν πραγμάτων, ἄλλα εἶναι τῶν πραγμάτων πού βρίσκονται μέσα στήν ψυχή, ἄλλα τῶν πραγμάτων πού βρίσκονται στό σῶμα, καί ἄλλα τῶν πραγμάτων πού βρίσκονται ἔξω ἀπό τό σῶμα. Τά ἀποτελέσματα τῶν πραγμάτων τῆς ψυχῆς εἶναι ἡ γνώση καί ἡ ἄγνοια, ἡ λήθη καί ἡ μνήμη, ἡ ἀγάπη καί τό μίσος, ὁ φόβος καί τό θάρρος, ἡ λύπη καί ἡ χαρά καί τά ἑξῆς, ἐνῶ τῶν πραγμάτων τοῦ σώματος εἶναι ἡ ἡδονή καί ὁ πόνος, ἡ αἴσθηση καί ἡ ἀναισθησία, ἡ ὑγεία και ἡ ἀσθένεια, ἡ ζωή καί ὁ θάνατος καί τά παρόμοια. Τέλος τῶν πραγμάτων πού βρίσκονται ἔξω ἀπό τό σῶμα εἶναι ἡ ἀπόκτηση καλῶν καί πολλῶν τέκνων καί ἡ ἀτεκνία, ὁ πλοῦτος καί ἡ φτώχεια, ἡ δόξα καί ἡ ἀτιμία καί τά ἑξῆς. Ἀπό αὐτά ἄλλα θεωροῦνται καλά ἀπό τούς ἀνθρώπους, καί ἄλλα κακά, κανένα ὅμως ἀπ' αὐτά δέν εἶναι ἀπό τή φύση του κακό, ἀλλ' ἀνάλογα μέ τή χρήση τους καθίστανται γενικά εἴτε κακά, εἴτε καλά.

77 Ἡ γνώση εἶναι καλή ἀπό τή φύση της, ὅπως ἐπίσης καί ἡ ὑγεία, ἀλλ' ὅμως τούς πολλούς τά ἀντίθετα ἀπ' αὐτά τούς ὠφελοῦν. Διότι στούς κακούς ἡ γνώση, ἄν καί εἶναι, ὅπως ἔχει λεχθεῖ, καλή ἀπό τή φύση της, καταντᾶ βλαβερή, ὅπως ἐπίσης καί ἡ ὑγεία, καί ὁ πλοῦτος καί ἡ χαρά. Διότι δέν τά χρησιμοποιοῦν αὐτά πρός τό συμφέρον τους. Ἄρα λοιπόν σ' αὐτούς συμφέρουν τά ἀντίθετα. Βέβαια οὔτε ἐκεῖνα σύμφωνα μέ τήν ἴδια λογική εἶναι κακά, ἄν καί θεωροῦνται ὅτι εἶναι κακά.

78 Μήν κάνεις κακή χρήση τῶν νοημάτων, γιά νά μή χρησιμοποιήσεις κατ' ἀνάγκη πρός τό κακό καί τά πράγματα. Διότι, ἐάν

79 *Εἰκὼν τοῦ χοϊκοῦ αἱ γενικαὶ κακίαι ὑπάρχουσιν, οἷον ἀφροσύνη, δειλία, ἀκολασία, ἀδικία. Εἰκὼν δὲ τοῦ ἐπουρανίου αἱ γενικαὶ ἀρεταί, οἷον φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη. Ἀλλὰ «καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου».*

80 *Εἰ θέλεις εὑρεῖν τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ζωήν, ἐν τῇ ὁδῷ αὐτὴν ζήτει, κἀκεῖ αὐτὴν εὑρίσκεις, τῇ εἰπούσῃ, «ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ζωὴ καὶ ἡ ἀλήθεια». Πλὴν σφόδρα ἐμπόνως ζήτει, διότι «ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν», καὶ μήπως, τῶν ὀλίγων ἀπολειφθείς, μετὰ τῶν πολλῶν εὑρεθήσῃ.*

81 *Διὰ τὰ πέντε ταῦτα ἡ ψυχὴ ἀπὸ ἁμαρτιῶν ἀνακόπτεται· ἢ διὰ τὸν φόβον τῶν ἀνθρώπων, ἢ διὰ τὸν φόβον τῆς κρίσεως, ἢ διὰ τὴν μέλλουσαν μισθαποδοσίαν, ἢ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἢ τελευταῖον διὰ συνείδησιν τύπτουσαν.*

82 *Τινές φασιν, ὅτι οὐκ ἂν ἦν τὸ κακὸν ἐν τοῖς οὖσιν, εἰ μήτι δ' ἂν ἑτέρα τις ἦν δύναμις, ἡ ἀνθέλκουσα ἡμᾶς ἐπ' αὐτό. Αὕτη δέ ἐστιν οὐδὲν ἕτερον, ἡ τῶν κατὰ φύσιν τοῦ νοῦ ἐνεργειῶν ἀμέλεια. Διόπερ οἱ τούτων τὴν ἐπιμέλειαν ποιούμενοι, τὰ μὲν καλὰ ἀεὶ ποιοῦσι, τὰ δὲ κακὰ οὐδέποτε. Εἰ οὖν θέλεις καὶ σύ, ἄπωσαι τὴν ἀμέλειαν, καὶ συναπελαύνεις τὴν κακίαν, ἥτις ἐστιν ἡ ἐσφαλμένη χρῆσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων.*

83 *Κατὰ φύσιν ἐστὶ τοῦ ἐν ἡμῖν λογικοῦ μέρους, τό τε ὑποταγῆναι τῷ θείῳ λόγῳ, καὶ τὸ ἄρχειν τοῦ ἐν ἡμῖν ἀλόγου μέρους.*

---

25. Α' Κορ. 15,49.
26. Ἰω. 14,6.
27. Ματθ. 7,14.

κάποιος δέν ἁμαρτήσει πρῶτα μέ τή σκέψη του, δέν εἶναι δυνατό ποτέ ν' ἁμαρτήσει στήν πράξη.

79 Εἰκόνα τοῦ γήϊνου ἀνθρώπου εἶναι οἱ γενικές κακίες, ὅπως ἡ ἀφροσύνη, ἡ δειλία, ἡ ἀκολασία, καί ἡ ἀδικία, ἐνῶ τοῦ ἐπουράνιου ἀνθρώπου εἰκόνα εἶναι οἱ γενικές ἀρετές, ὅπως ἡ φρόνηση, ἡ ἀνδρεία, ἡ σωφροσύνη καί ἡ δικαιοσύνη. Ἀλλά «ὅπως φορέσαμε τήν εἰκόνα τοῦ γήϊνου, θά φορέσουμε καί τήν εἰκόνα τοῦ ἐπουράνιου[25].

80 Ἄν θέλεις νά βρεῖς τήν ὁδό πού ὁδηγεῖ στήν αἰώνια ζωή, ζήτα αὐτήν στήν ὁδό ἐκείνη γιά τήν ὁποία εἶπε ὁ Κύριος, «ἐγώ εἶμαι ἡ ὁδός καί ἡ ζωή καί ἡ ἀλήθεια»[26], καί θά βρεῖς ἐδῶ τήν αἰώνια ζωή. Πλήν ὅμως νά τή ζητᾶς μέ μεγάλη ἐπιμονή στούς κόπους, διότι «λίγοι εἶναι ἐκεῖνοι πού τή βρίσκουν»[27], και μέ προσοχή μήπως ἀποκοπεῖς ἀπό τούς λίγους, καί βρεθεῖς μαζί μέ τούς πολλούς.

81 Γιά τούς πέντε αὐτούς λόγους ἡ ψυχή συγκρατεῖται, ὥστε νά μήν διαπράττει τήν ἁμαρτία· ἤ γιατί φοβᾶται τούς ἀνθρώπους, ἤ γιατί φοβᾶται τή μέλλουσα κρίση, ἤ ἐπειδή ἀποβλέπει στή μελλοντική ἀπόδοση τῶν μισθῶν, ἤ ἀπό ἀγάπη πρός τό Θεό, ἤ τέλος ἐπειδή ἐλέγχεται ἀπό τή συνείδηση.

82 Μερικοί λένε, ὅτι δέν θά ὑπῆρχε τό κακό στήν πραγματικότητα, ἐάν δέν ὑπῆρχε κάποια δύναμη πού μᾶς σύρει πρός αὐτό. Αὐτή ἡ δύναμη δέν εἶναι τίποτε ἄλλο, παρά ἡ ἀμέλεια τοῦ νοῦ νά ἐνεργεῖ σύμφωνα μέ τή φύση του. Γι' αὐτό ἀκριβῶς ἐκεῖνοι πού προσέχουν τίς ἐνέργειές τους πάντοτε κάμνουν τά καλά, καί οὐδέποτε τά κακά. Ἐάν λοιπόν θέλεις καί σύ διῶξε ἀπό πάνω σου τήν ἀμέλεια καί τότε μαζί μ' αὐτήν διώχνεις καί τήν κακία, πού εἶναι ἡ ἐσφαλμένη χρησιμοποίηση τῶν νοημάτων, καί πού σάν ἐπακόλουθο ἔχει τήν μή ὀρθή χρησιμοποίηση τῶν πραγμάτων.

83 Ἀποτελεῖ φυσικό γνώρισμα τοῦ λογικοῦ μέρους τῆς ψυχῆς μας τό νά ὑποτάσσεται στό θεῖο λόγο καί νά ἐξουσιάζει τό ἄλογο μέρος αὐτῆς. Αὐτή λοιπόν ἡ τάξη ἄς φυλάσσεται παντοῦ, καί

*Αὔτη οὖν ἡ τάξις ἐν πᾶσι φυλαχθήτω, καὶ οὔτε τὸ κακὸν ἔσται ἐν τοῖς οὖσιν, οὔτε τὸ ἐπ᾽ αὐτὸ ἀνθέλκον εὑρεθήσεται.*

84 *Οἱ μὲν τῶν λογισμῶν, ἁπλοῖ εἰσιν, οἱ δὲ σύνθετοι. Καὶ ἁπλοῖ μέν εἰσιν οἱ ἀπαθεῖς, σύνθετοι δὲ οἱ ἐμπαθεῖς, ὡς ἐκ πάθους καὶ νοήματος συγκείμενοι. Τούτων οὕτως ἐχόντων, πολλοὺς τῶν ἁπλῶν ἐστιν ἰδεῖν ἑπομένους τοῖς συνθέτοις, ὅταν ἄρξωνται κινεῖσθαι πρὸς τὸ κατὰ διάνοιαν ἁμαρτάνειν. Οἷον, ὡς ἐπὶ τοῦ χρυσίου· ἀνέβη ἐπὶ τὴν μνήμην τινὸς λογισμὸς περὶ χρυσίου ἐμπαθής, καὶ ὥρμησε τῇ διανοίᾳ ἐπὶ τὸ κλέπτειν, καὶ ἀπετέλεσε κατὰ νοῦν τὴν ἁμαρτίαν. Συνείποντο δὲ τῇ μνήμῃ τοῦ χρυσίου καὶ ἡ μνήμη τοῦ βαλλαντίου καὶ τοῦ σκευαρίου καὶ τοῦ κουβουκλείου καὶ τῶν ἑξῆς. Καὶ ἡ μὲν μνήμη τοῦ χρυσίου ἦν σύνθετος (εἶχε γὰρ τὸ πάθος), ἡ δὲ τοῦ βαλλαντίου καὶ τοῦ σκευαρίου καὶ τῶν ἑξῆς ἁπλῆ. Οὐ γὰρ εἶχε πρὸς αὐτὰ πάθος ὁ νοῦς. Καὶ ἐπὶ παντός δὲ λογισμοῦ ὁμοίως ἔχει, ἐπί τε κενοδοξίας, καὶ ἐπὶ γυναικός, καὶ τῶν λοιπῶν. Οὐ γὰρ πάντες οἱ συνεπόμενοι τῷ ἐμπαθεῖ λογισμῷ λογισμοί, καὶ ἐμπαθεῖς εἰσιν, ὡς ἀπέδειξεν ὁ λόγος. Ἐκ τούτων οὖν δυνάμεθα γνῶναι, ποῖα τὰ ἐμπαθῆ νοήματα, καὶ ποῖα τὰ ἁπλᾶ.*

85 *Τινὲς μέν φασιν, ὅτι, τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους, κινοῦσι τὸ πάθος τῆς πορνείας· εἶτα, τὸ πάθος κινούμενον, ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ τῆς μνήμης ἐπὶ τὸν νοῦν. Τινὲς δέ, ὅτι τῷ μὲν νῷ ἐν σχήματι γυναικὸς παραφαίνονται, τῶν τε μορίων τοῦ σώματος καθαπτόμενοι, τὴν ὄρεξιν κινοῦσι, καὶ οὕτω γίνονται αἱ φαντασίαι. Ἕτεροι δὲ πάλιν, ὅτι τὸ πάθος τὸ ἐπικρατοῦν ἐν τῷ πλησιάζοντι δαίμονι, κινεῖ τὸ πάθος, καὶ οὕτως ἀνάπτεται πρὸς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὰς διὰ τῆς μνήμης. Καὶ*

τότε οὔτε τό κακό θά ὑπάρχει στήν πραγματικότητα, οὔτε ἡ δύναμη ἐκείνη πού νά μᾶς σύρει πρός αὐτό.

84 Ἀπό τούς λογισμούς ἄλλοι εἶναι ἁπλοί, καί ἄλλοι σύνθετοι. Ἁπλοί λογισμοί εἶναι οἱ ἀπαθεῖς, ἐνῶ σύνθετοι εἶναι οἱ ἐμπαθεῖς, διότι ἀποτελοῦνται ἀπό πάθος καί λογισμό. Ἀφοῦ ἔτσι ἔχουν τά πράγματα, εἶναι δυνατό πολλοί ἀπό τούς ἁπλούς λογισμούς νά μεταβάλλονται σέ σύνθετους, ὅταν ἀρχίζουν μέσα στή σκέψη νά κινοῦνται πρός τήν ἁμαρτία. Γιά παράδειγμα ὅπως συμβαίνει στήν περίπτωση τοῦ χρυσοῦ. Ἀνέβηκε στή σκέψη κάποιος λογισμός ἐμπαθής γιά τό χρυσό, καί παρακίνησε τό νοῦ γιά νά κλέψει, καί ἔτσι διαπράχθηκε ἡ ἁμαρτία μέ τή σκέψη. Μαζί μέ τή μνήμη γιά τό χρυσό ἀκολούθησαν καί ἡ μνήμη γιά τό βαλάντιο, γιά τό ἀγγεῖο πού περιέχει τό χρυσό, γιά τό κουβούκλειο μέσα στό ὁποῖο φυλάσσονται, καί γιά ὅλα τά σχετικά. Ἔτσι ἡ μνήμη τοῦ χρυσοῦ ἦταν σύνθετη (διότι περιεῖχε τό πάθος), ἐνῶ τοῦ βαλλαντίου καί τοῦ σκευαρίου καί τῶν ὑπολοίπων ἦταν ἁπλή. Διότι ὁ νοῦς δέν εἶχε πάθος πρός αὐτά. Τό ἴδιο συμβαίνει καί μέ κάθε ἄλλο λογισμό, καί στήν περίπτωση τῆς ματαιοδοξίας καί στήν περίπτωση τῆς γυναίκας καί στούς ὑπόλοιπους. Ὅλοι δηλαλή οἱ λογισμοί, πού ἀκολουθοῦν τόν ἐμπαθή λογισμό, δέν εἶναι καί ἐμπαθεῖς, ὅπως ἀπέδειξε τό παράδειγμα. Μέ βάση αὐτά λοιπόν μποροῦμε νά γνωρίζουμε ποιοί εἶναι οἱ ἐμπαθεῖς λογισμοί καί ποιοί οἱ ἁπλοί.

85 Μερικοί λένε, ὅτι οἱ δαίμονες, ἀγγίζοντας τά μόρια τοῦ σώματος κατά τήν ὥρα τοῦ ὕπνου, κινοῦν τό πάθος τῆς πορνείας· ἔπειτα, ἀφοῦ κινηθεῖ τό πάθος, παρουσιάζει στό νοῦ μέ τή μνήμη τή μορφή τῆς γυναίκας. Ἄλλοι λένε, ὅτι οἱ δαίμονες παρουσιάζονται στό νοῦ μέ τή μορφή γυναίκας, καί, ἀγγίζοντας τά μόρια τοῦ σώματος, προξενοῦν τήν πορνική ὄρεξη, καί ἔτσι γίνονται οἱ φαντασίες. Ἄλλοι πάλι λένε, ὅτι τό πορνικό πάθος πού κυριαρχεῖ στόν ἄνθρωπο, τίθεται σέ κίνηση ἀπό τό πλησίασμα τοῦ δαίμονα, καί ἔτσι φουντώνουν μέσα στήν ψυχή οἱ λογισμοί μέ τήν παρουσίαση ἀπό τή μνήμη μορφῶν γυναικῶν. Τό ἴδιο συμβαίνει

*ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν ὁμοίως, οἱ μὲν οὕτως, οἱ δὲ οὕτω συμβαίνειν φασί. Πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπων ἰσχύουσι πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ ψυχῇ ἀγάπης καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.*

86 *Τὰ μὲν τῶν τοῦ νόμου ἐντολῶν καὶ σωματικῶς καὶ πνευματικῶς ἀνάγκη φυλάττειν, τὰ δὲ πνευματικῶς μόνον. Οἷον τό, «οὐ μοιχεύσεις», «οὐ φονεύσεις», «οὐ κλέψεις», καὶ τὰ ὅμοια, καὶ σωματικῶς καὶ πνευματικῶς χρὴ φυλάττειν. Καὶ πνευματικῶς δὲ τρισσῶς. Τὸ δὲ περιτέμνεσθαι καὶ φυλάττειν τὸ Σάββατον, καὶ σφάξαι τὸν ἀμνὸν καὶ ἔδεσθαι ἄζυμα ἐπὶ πικρίδων καὶ τἄ ὅμοια, πνευματικῶς μόνον.*

87 *Τρεῖς εἰσιν ἠθικαὶ καταστάσεις γενικώτεραι ἐν τοῖς μοναχοῖς. Καὶ πρώτη μὲν τὸ μηδὲν ἁμαρτάνειν κατ' ἐνέργειαν· δευτέρα δὲ τὸ μὴ ἐγχρονίζειν ἐν τῇ ψυχῇ τοὺς ἐμπαθεῖς λογισμούς· τρίτη δὲ τὸ τὰς μορφὰς τῶν γυναικῶν καὶ τῶν λυπησάντων ἀπαθῶς θεωρεῖν κατὰ διάνοιαν.*

88 *Ἀκτήμων ἐστὶν ὁ ἀποταξάμενος πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καὶ μηδὲν τὸ σύνολον ἐπὶ γῆς κεκτημένος πλὴν τοῦ σώματος· καὶ τὴν πρὸς αὐτὸ δὲ σχέσιν διαρρήξας, τῷ Θεῷ καὶ τοῖς εὐσεβέσι τὴν ἑαυτοῦ κατεπίστευσεν οἰκονομίαν.*

89 *Τῶν κτωμένων οἱ μὲν ἀπαθῶς κτῶνται, διὸ καὶ στερούμενοι αὐτῶν, οὐ λυποῦνται, ὡς οἱ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων αὐτοῖς μετὰ χαρᾶς προσδεξάμενοι. Οἱ δὲ ἐμπαθῶς κτῶνται, διότι, μέλλοντες στερεῖσθαι, περίλυποι γίνονται, ὡς ὁ ἐν τῷ*

---

28. Ἐξ. 20,13.
29. Ἐξ. 20,15.
30. Ἐξ. 20,14 καί Ματθ. 5,27.

καί μέ τίς ἄλλες ἐμπαθεῖς φαντασίες, πού συμβαίνουν, ὅπως λένε, ἄλλες μέ τόν ἕνα τρόπο καί ἄλλες μέ τόν ἄλλο. Πλήν ὅμως σέ κανένα ἀπό τούς τρόπους πού ἀναφέρθηκαν δέν μποροῦν οἱ δαίμονες νά κινήσουν τό ὁποιοδήποτε πάθος, ὅταν ὑπάρχει στήν ψυχή ἀγάπη καί ἐγκράτεια, οὔτε κατά τό χρόνο πού τό σῶμα εἶναι ξάγρυπνο, οὔτε ὅταν κοιμᾶται.

86 Ἀπό τίς ἐντολές τοῦ νόμου ἄλλες πρέπει νά φυλάσσονται σωματικά καί πνευματικά, καί ἄλλες μόνο πνευματικά. Γιά παράδειγμα οἱ ἐντολές, «δέ θά μοιχεύσεις»[28], «δέ θά φονεύσεις»[29], «δέ θά κλέψεις»[30], καί οἱ παρόμοιες πρέπει νά φυλάσσονται καί σωματικά καί πνευματικά μέ τρεῖς τρόπους. Ἐνῶ οἱ ἐντολές γιά τήν περιτομή, γιά τήν τήρηση τοῦ Σαββάτου[31], γιά τό σφάξιμο τοῦ ἀμνοῦ, γιά τό φάγωμα ἀζύμων καί πικρίδων[32], καί γιά τά παρόμοια, πρέπει νά φυλάσσονται μόνο πνευματικά.

87 Τρεῖς εἶναι οἱ γενικότερες ἠθικές καταστάσεις γιά τούς μοναχούς. Πρώτη εἶναι τό νά μή ἁμαρτάνουν καθόλου στήν πράξη· δεύτερη εἶναι τό νά μή χρονίζουν οἱ ἐμπαθεῖς λογισμοί μέσα στήν ψυχή· καί τρίτη εἶναι τό νά βλέπουν μέ τή σκέψη τους τίς μορφές τῶν γυναικῶν καί ἐκείνων πού τούς λύπησαν μέ ἀπάθεια.

88 Ἀκτήμονας εἶναι ἐκεῖνος πού μοίρασε ὅλα τά ὑπάρχοντά του καί δέν ἔχει ἐπάνω στή γῆ τίποτε ἄλλο ἐκτός ἀπό τό σῶμα του. Καί ἐπίσης, ἀφοῦ διέκοψε τή σχέση του μ' αὐτό, ἀφιέρωσε ὅλο τό ἐνδιαφέρον του στό Θεό καί στούς εὐσεβεῖς.

89 Ἀπό αὐτούς πού ἀποκτοῦν ἀγαθά, ἄλλοι τά ἀποκτοῦν μέ ἀπάθεια καί γι' αὐτό δέν λυποῦνται ὅταν τά στεροῦνται, ὅπως ἐκεῖνοι πού δέχθηκαν μέ χαρά τήν ἁρπαγή τῶν ὑπαρχόντων τους[33]. Ἄλλοι ἀπ' αὐτούς τά ἀποκτοῦν μέ μεγάλο πάθος, γι' αὐτό, ὅταν πρόκειται νά τά στερηθοῦν, κυριεύονται ἀπό ὑπερβολική λύπη, ὅπως ὁ πλούσιος γιά τόν ὁποῖο γίνεται λόγος στό

31. Γεν. 17,10.
33. Ἑβρ. 10,34.

Εὐαγγελίῳ πλούσιος, «ἀπῆλθε λυπούμενος». Εἰ δὲ καὶ στεροῦνται, μέχρι θανάτου λυποῦνται. Τοῦ οὖν ἀπαθοῦς καὶ τοῦ ἐμπαθοῦς τὴν διάθεσιν ἡ στέρησις ἐλέγχει.

90 Τοὺς μὲν ἄκρως προσευχομένους πολεμοῦσιν οἱ δαίμονες, ἵνα τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων ψιλὰ μὴ ἀναλαμβάνωσι, τοὺς δὲ γνωστικούς, ἵνα ἐγχρονίζωσιν ἐν αὐτοῖς οἱ ἐμπαθεῖς λογισμοί· τοὺς περὶ τὴν πρᾶξιν ἀγωνιζομένους, ἵνα πείσωσιν αὐτοὺς κατ' ἐνέργειαν ἁμαρτάνειν· παντὶ δὲ τρόπῳ πρὸς πάντας ἀγωνίζονται, ἵνα ἀπὸ τοῦ Θεοῦ οἱ δείλαιοι τοὺς ἀνθρώπους χωρίσωσι.

91 Οἱ κατὰ τὸν βίον τοῦτον ὑπὸ τῆς θείας προνοίας εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διὰ τῶν τριῶν τούτων πειρασμῶν δοκιμάζονται· οἷον, ἢ διὰ τῆς τῶν ἡδέων δόσεως, ὡς ἐπὶ ὑγείας καὶ κάλλους καὶ εὐτεκνίας καὶ χρημάτων καὶ δόξης καὶ τῶν ὁμοίων· ἢ διὰ τῆς τῶν λυπηρῶν ἐπιφορᾶς· οἷον, στερήσεως τέκνων, καὶ χρημάτων καὶ δόξης· ἢ διὰ τῶν ὀδύνας ἐμποιούντων τῷ σώματι· οἷον, νοσημάτων καὶ βασάνων καὶ τῶν ἑξῆς. Καὶ πρὸς μὲν τοὺς πρώτους λέγει ὁ Κύριος, «εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐ δύναταί μου εἶναι μαθητής», πρὸς δὲ τοὺς δευτέρους καὶ τρίτους· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν».

92 Τὰ τέσσαρα ταῦτά φασιν ἀλλοιῶσαι τὴν κρᾶσιν τοῦ σώματος καὶ διδόναι τῷ νῷ λογισμούς, εἴτε ἐμπαθεῖς δι' αὐτῆς, εἴτε ἀπαθεῖς· οἷον, τοὺς ἀγγέλους, τοὺς δαίμονας, τοὺς ἀέρας, τὴν δίαιταν. Καὶ τοὺς μὲν ἀγγέλους λόγῳ φασὶν ἀλλοιῶσαι, τοὺς δὲ δαίμονας δι' ἐπαφῆς, τοὺς δὲ ἀέρας ταῖς μεταβολαῖς, τὴν δὲ

---

34. Ματθ. 19,22.
35. Λουκᾶ 14,33.

Εὐαγγέλιο, «ἔφυγε λυπημένος»[34]. Ἄν συμβεῖ νά τά στερηθοῦν λυποῦνται μέχρι θανάτου. Τή διάθεση λοιπόν τοῦ ἀπαθοῦς καί τοῦ ἐμπαθοῦς τή φανερώνει ἡ στέρηση τῶν ὑλικῶν ἀγαθῶν τους.

90 Ἐκεῖνοι πού προσεύχονται μέ τόν πιό τέλειο πνευματικό τρόπο τούς πολεμοῦν οἱ δαίμονες, γιά νά μή δέχονται μέ ἀπάθεια τά νοήματα τῶν αἰσθητῶν πραγμάτων, ἐνῶ τούς γνωστικούς τούς πολεμοῦν μέ σκοπό νά παρατείνονται σ' αὐτούς οἱ ἐμπαθεῖς λογισμοί. Τέλος τούς πρακτικούς, πού ἐπιδίδονται σέ πράξεις, τούς πολεμοῦν γιά νά τούς παρασύρουν στήν ἔμπρακτη διάπραξη τῆς ἁμαρτίας· μέ κάθε τρόπο δηλαδή ἀγωνίζονται οἱ ἄθλιοι ἐναντίον ὅλων, μέ σκοπό νά χωρίσουν τούς ἀνθρώπους ἀπό τό Θεό.

91 Ἐκεῖνοι πού στή ζωή αὐτή ἀσκοῦνται ἀπό τή θεία πρόνοια στήν εὐσέβεια, δοκιμάζονται μέ τά τρία αὐτά εἴδη τῶν πειρασμῶν· πρῶτο μέ τή χορήγηση εὐχάριστων πραγμάτων, ὅπως εἶναι ἡ ὑγεία, τό κάλλος, τά πολλά καί καλά τέκνα, τά χρήματα, ἡ δόξα καί τά παρόμοια· δεύτερο μέ τήν ἀποστολή δυσάρεστων πραγμάτων, ὅπως εἶναι ἡ στέρηση τέκνων, χρημάτων, καί δόξας· τρίτο μέ τά μέσα ἐκεῖνα πού προκαλοῦν ὑπερβολικούς πόνους στό σῶμα, ὅπως εἶναι οἱ ἀσθένειες, τά βασανιστήρια καί τά παρόμοια. Πρός τούς πρώτους λέγει ὁ Κύριος, «ἐάν κάποιος δέν ἀπαρνεῖται ὅλα τά ὑπάρχοντά του, δέν μπορεῖ νά εἶναι μαθητής μου»[35], ἐνῶ πρός τούς δεύτερους καί τρίτους λέγει· «μέ τήν ὑπομονή σας θά κερδίσετε τή ζωή σας»[36].

92 Λένε ὅτι αὐτά τά τέσσερα ἀλλοιώνουν τήν ἰδιοσυγκρασία τοῦ σώματος καί προξενοῦν λογισμούς στό νοῦ εἴτε ἐμπαθεῖς εἴτε ἀπαθεῖς, δηλαδή οἱ ἄγγελοι, οἱ δαίμονες, οἱ ἀέρες καί ἡ δίαιτα. Οἱ ἄγγελοι λένε ὅτι τήν ἀλλοιώνουν μέ ἀπαθεῖς λογισμούς, οἱ δαίμονες ἐρχόμενοι σέ ἐπαφή μέ τό σῶμα, οἱ ἀέρες μέ τίς μεταβολές πού προκαλοῦν στή φύση, καί ἡ δίαιτα μέ τίς ποι-

36. Λουκᾶ 21,19.

*δίαιταν ταῖς τῶν βρωμάτων καὶ πομάτων ποιότησι, καὶ πλεονασμῷ καὶ ἐλαττώσει· παρὲξ τῶν διὰ μνήμης καὶ ἀκοῆς καὶ ὁράσεως συμβαινουσῶν αὐτῇ ἀλλοιώσεων, πρωτοπαθούσης τῆς ψυχῆς ἐκ τῶν συμπιπτόντων αὐτῇ λυπηρῶν ἢ χαροποιῶν. Καὶ ἐκ τούτων μὲν πάσχουσα ἡ ψυχή, ἀλλοιοῖ τὴν κρᾶσιν τοῦ σώματος, ἐκ δὲ τῶν προειρημένων ἡ κρᾶσις ἀλλοιουμένη, παρέχει τῷ νῷ λογισμούς.*

93 *Θάνατος μέν ἐστι κυρίως ὁ τοῦ Θεοῦ χωρισμός, κέντρον δὲ θανάτου ἡ ἁμαρτία, ὃ δεξάμενος ὁ Ἀδάμ, ὁμοῦ τοῦ τῆς ζωῆς ξύλου καὶ τοῦ παραδείσου καὶ τοῦ Θεοῦ ἐξόριστος γέγονε, ᾧ ἐπηκολούθησεν ἐξ ἀνάγκης καὶ ὁ τοῦ σώματος θάνατος. Ζωὴ δὲ κυρίως ἐστὶν ὁ εἰπών, «ἐγώ εἰμι ἡ ζωή». Οὗτος ἐν τῷ θανάτῳ γενόμενος, τὸν νεκρωθέντα πάλιν εἰς τὴν ζωὴν ἐπανήγαγεν.*

94 *Ὁ λόγος συγγραφόμενος, ἢ πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται, ἢ πρὸς ὠφέλειαν, ἢ καὶ ἄμφω, ἢ πρὸς βλάβην τινῶν, ἢ πρὸς ἐπίδειξιν, ἢ ἐξ ἀνάγκης.*

95 *Τόπος ἐστὶ χλόης ἡ πρακτικὴ ἀρετή· ὕδωρ ἀναπαύσεως, ἡ γνῶσις τῶν γεγονότων.*

96 *Σκιὰ θανάτου ἐστὶν ἡ ἀνθρωπίνη ζωή. Εἴ τις οὖν ἐστι μετὰ τοῦ Θεοῦ, καὶ ὁ Θεὸς μετ' αὐτοῦ ἐστιν, οὗτος δύναται εἰπεῖν ἐναργῶς τό, «ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ».*

97 *Νοῦς μὲν καθαρὸς ὀρθὰ βλέπει τὰ πράγματα, λόγος δὲ γεγυμνασμένος, ὑπ' ὄψιν ἄγει τὰ ὁραθέντα· ἀκοὴ δὲ λαμπρὰ ὑπο-*

37. Α' Κορ. 15,56
38. Ἰω. 14,6.

ι λες ροφές καί τά ποτά, παρεχόμενα σέ μεγάλη ἤ μικρή ἀνάλογ ποσότητα. Ἐκτός ἀπό αὐτά ὑπάρχουν καί οἱ ἀλλοιώσεις πού δι ιουργοῦνται στήν ψυχή μέ τή μνήμη, μέ τήν ἀκοή καί τήν ὅρ ση, ἀπό τά ὁποῖα πρῶτα πάσχει ἡ ψυχή ἀνάλογα μέ τό ἐάν εἶνα υπηρά ἤ χαροποιά τά ὅσα συμβαίνουν σ' αὐτήν. Καί πάσχοντε ἀπό αὐτά ἡ ψυχή ἀλλοιώνει τήν κράση τοῦ σώματος, ἐνῶ ἀλλ ούμενη ἡ κράση τοῦ σώματος ἀπό ἐκεῖνα πού ἀναφέρθηκαν ροηγουμένως δημιουργεῖ στό νοῦ τούς λογισμούς.

93 Θάνατος κυρίως εἶναι ὁ χωρισμός τῆς ψυχῆς ἀπό τό Θεό, καί κεντρί τοῦ θανάτου εἶναι ἡ ἁμαρτία[37]· μ' αὐτό τό κεντρί τῆς ἁμαρτίας, ἀφοῦ πληγώθηκε ὁ Ἀδάμ, στερήθηκε καί τό ξύλο τῆς ζωῆς καί ἐξορίσθηκε ἀπό τόν παράδεισο τοῦ Θεοῦ καί ἔτσι ἀναγκαστικά ἀκολούθησε καί ὁ θάνατος τοῦ σώματος. Ζωή κυρίως εἶναι ἐκεῖνος πού εἶπε· «ἐγώ εἶμαι ἡ ζωή»[38]. Αὐτός, ἀφοῦ ὑπέστη τό θάνατο, ἐπανέφερε πάλι στή ζωή τόν ἄνθρωπο πού εἶχε νεκρωθεῖ.

94 Ἐκεῖνος πού συγγράφει, συγγράφει ἤ γιά ἀνάμνηση τοῦ ἑαυτοῦ του στούς μελλοντικούς ἀνθρώπους, ἤ γιά ὠφέλεια, ἤ καί γιά τά δύο, ἤ γιά βλάβη κάποιων, ἤ γιά ἐπίδειξη, ἤ ἀπό ἀνάγκη.

95 «Τόπος χλόης» εἶναι ἡ πρακτική ἀρετή καί «ὕδωρ ἀναπαύσεως» [39] εἶναι ἡ γνώση τῶν γεγονότων.

96 «Σκιά θανάτου», εἶναι ἡ ἀνθρώπινη ζωή. Ἐάν κάποιος λοιπόν εἶναι μέ τό Θεό καί ὁ Θεός εἶναι μαζί μ' αὐτόν, αὐτός μπορεῖ νά πεῖ μέ βεβαιότητα τά ψαλμικά λόγια· «ἐάν ἐγώ βαδίσω μέσα στή σκιά τοῦ θανάτου, δέν θά φοβηθῶ τά κακά, διότι εἶσαι σύ μαζί μου»[40].

97 Ὁ καθαρός νοῦς βλέπει ὀρθά τά πράγματα, ὁ γυμνασμένος λόγος φέρνει μπροστά μας ἐκεῖνα πού εἴδαμε, καί ἡ καθαρή

39. Ψαλμ. 22.2.
40. Ψαλμ. 22.4.

*δέχεται αὐτά. Ὁ δὲ τῶν τριῶν ἐστερημένος, τὸν εἰρηκότα κακίζει.*

98 *Μετὰ τοῦ Θεοῦ ἐστιν ὁ τὴν ἁγίαν γινώσκων Τριάδα, καὶ τὴν δημιουργίαν αὐτῆς, καὶ τὴν πρόνοιαν· καὶ τὸ παθητὸν μέρος τῆς ψυχῆς ἀπαθὲς κεκτημένος.*

99 *Τὴν 'ῥάβδον' σημαίνειν φασὶ τὴν κρίσιν τὴν τοῦ Θεοῦ· τὴν δὲ 'βακτηρίαν', τὴν πρόνοιαν. Τοῦ οὖν τῆς τούτων γνώσεως μετειληφότος ἐστὶ τὸ λέγειν· «ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν».*

100 *Ὅτε ὁ νοῦς παθῶν γυμνωθῇ, καὶ τῇ τῶν ὄντων καταλάμπηται θεωρίᾳ, τότε δύναται καὶ ἐν Θεῷ γενέσθαι, καὶ ὡς δεῖ προσεύχεσθαι.*

ἀκοή δέχεται αὐτά. Ἐκεῖνος λοιπόν πού στερεῖται αὐτά τά τρία κακολογεῖ ἐκεῖνον πού λέγει αὐτά.

98 Μαζί μέ τό Θεό εἶναι ἐκεῖνος πού πιστεύει στήν ἁγία Τριάδα, στή δημιουργία καί τήν πρόνοια αὐτῆς, καί ἔχει καταστήσει ἀπαθές τό παθητικό μέρος τῆς ψυχῆς του.

99 Ῥάβδος' λένε ὅτι εἶναι ἡ κρίση τοῦ Θεοῦ, ἐνῶ 'βακτηρία' εἶναι ἡ πρόνοια αὐτοῦ. Ἐκεῖνος λοιπόν πού ἀπέκτησε τή γνώση αὐτῶν μπορεῖ νά λέγει· «ἡ ράβδος σου καί ἡ βακτηρία σου αὐτέςμέ παρηγόρησαν[41].

100 Ὅταν ὁ νοῦς ἀπαλλαχθεῖ ἀπό τά πάθη καί φωτίζεται ἀπό τή θεωρία τῶν ὄντων, τότε μπορεῖ νά ἑνωθεῖ μέ τό Θεό καί νά προσεύχεται σωστά.

41. Ψαλμ. 22,4.

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΕΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ

1 Ἡ μὲν εὔλογος τῶν νοημάτων καὶ τῶν πραγμάτων χρῆσις, σωφροσύνης καὶ ἀγάπης καὶ γνώσεώς ἐστι ποιητική, ἡ δὲ ἄλογος, ἀκολασίας καὶ μίσους καὶ ἀγνοίας.

2 «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν», καὶ τὰ ἑξῆς. Ἡ 'τράπεζα' ἐνταῦθα σημαίνει τὴν πρακτικὴν ἀρετήν· αὕτη γὰρ ἐξ ἐναντίας τῶν θλιβόντων ἡμᾶς παρὰ Χριστοῦ ἡτοιμάσθη. Τὸ δὲ 'ἔλαιον' τὸ λιπαῖνον τὸν νοῦν, τὴν θεωρίαν τῶν γεγονότων. Τὸ δὲ 'ποτήριον τοῦ Θεοῦ', τὴν γνῶσιν τὴν τοῦ Θεοῦ. Τὸ δὲ 'ἔλεος' αὐτοῦ, τὸν Λόγον αὐτοῦ καὶ Θεόν. Οὗτος γὰρ διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ καταδιώκει πάσας τὰς ἡμέρας, ἕως οὗ πάντας καταλάβῃ τοὺς σωθησομένους, ὥσπερ τὸν Παῦλον. Ὁ δὲ 'οἶκος', τὴν βασιλείαν, ἐν ᾗ ἀποκαθίστανται πάντες οἱ ἅγιοι. Ἡ δὲ μακρότης τῶν ἡμερῶν, τὴν αἰώνιον ζωήν.

3 Κατὰ παράχρησιν αἱ κακίαι τῶν τῆς ψυχῆς δυνάμεων ἡμῖν ἐπισυμβαίνουσιν· οἷον, τῆς τε ἐπιθυμητικῆς, καὶ θυμοειδοῦς, καὶ τῆς λογιστικῆς. Καὶ τῆς μὲν λογιστικῆς δυνάμεως παράχρησίς ἐστιν, ἀγνωσία καὶ ἀφροσύνη, τῆς δὲ θυμοειδοῦς καὶ ἐπιθυμητι-

1. Ψαλμ. 22,5.

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΕΚΑΤΟΝΤΑΔΑ ΤΡΙΤΗ

1 Ἡ σωστή χρήση τῶν νοημάτων καί τῶν πραγμάτων δημιουργεῖ τή σωφροσύνη, τήν ἀγάπη καί τή γνώση, ἐνῶ ἡ παράλογη χρήση αὐτῶν δημιουργεῖ τήν ἀκολασία, τό μίσος καί τήν ἄγνοια.

2 «Ἑτοίμασες μπροστά μου τράπεζα»[1] καί τά ἑξῆς. Ἡ τράπεζα ἐδῶ σημαίνει τήν πρακτική ἀρετή· διότι αὐτή ἑτοιμάσθηκε ἀπό τό Χριστό γιά τόν ἀγῶνα μας ἐναντίον ἐκείνων πού μᾶς θλίβουν. Τό «λάδι», πού λιπαίνει τό νοῦ, σημαίνει τή θεωρία τῶν γεγονότων· τό «ποτήρι τοῦ Θεοῦ σημαίνει τή γνώση τοῦ Θεοῦ· τό «ἔλεος» αὐτοῦ σημαίνει τόν Λόγο αὐτοῦ καί Θεό. Διότι αὐτός μέ τήν ἐνανθρώπησή του ἀναζητεῖ ὅλες τίς ἡμέρες νά βρεῖ καί νά φέρει κοντά του ὅλους ἐκείνους πού θά σωθοῦν, ὅπως ἀκριβῶς τόν Παῦλο. «Ὁ οἶκος» σημαίνει τή βασιλεία τοῦ Θεοῦ, στήν ὁποία καταλήγουν καί ἐγκαθίστανται γιά πάντα οἱ ἅγιοι. Τέλος «ἡ μακρότητα τῶν ἡμερῶν» σημαίνει τήν αἰώνια ζωή.

3 Οἱ κακίες ἐκδηλώνονται στόν ἄνθρωπο ἐξ αἰτίας τῆς κακῆς χρήσεως τῶν δυνάμεων τῆς ψυχῆς, δηλαδή τοῦ ἐπιθυμητικοῦ, τοῦ θυμοειδοῦς καί τοῦ λογιστικοῦ. Τῆς λογιστικῆς δυνάμεως κακή χρήση εἶναι ἡ ἄγνοια καί ἡ ἀφροσύνη, ἐνῶ τῆς θυμοειδοῦς δυνάμεως καί τῆς ἐπιθυμητικῆς κακή χρήση εἶναι τό μίσος καί ἡ ἀκολασία. Σωστή χρήση αὐτῶν εἶναι ἡ γνώση καί ἡ

*κῆς, μῖσος καὶ ἀκολασία. Χρῆσις δὲ τούτων, γνῶσις καὶ φρόνησις, ἀγάπη τε καὶ σωφροσύνη. Εἰ δὲ τοῦτο, οὐδὲν τῶν ὑπὸ Θεοῦ κτισθέντων καὶ γεγονότων ἐστὶ κακόν.*

4 *Οὐ τὰ βρώματα κακά, ἀλλ' ἡ γαστριμαργία· οὐδὲ ἡ παιδοποιία, ἀλλ' ἡ πορνεία· οὐδὲ τὰ χρήματα, ἀλλ' ἡ φιλαργυρία· οὐδὲ ἡ δόξα, ἀλλ' ἡ κενοδοξία. Εἰ δὲ τοῦτο, οὐδὲν ἐν τοῖς οὖσι κακόν, εἰ μὴ ἡ παράχρησις, ἥτις συμβαίνει ἐκ τῆς τοῦ νοῦ ἀμελείας περὶ τὴν φυσικὴν γεωργίαν.*

5 *Τὸ ἐν δαίμοσι κακὸν ταῦτα εἶναί φησιν ὁ μακάριος Διονύσιος, θυμὸν ἄλογον, ἄνουν ἐπιθυμίαν, φαντασίαν προπετῆ. Ἀλογία δὲ καὶ ἄνοια καὶ προπέτεια ἐπὶ τῶν λογικῶν στερήσεις εἰσὶ λόγου καὶ νοῦ καὶ περισκέψεως. Αἱ δὲ στερήσεις, τῶν ἕξεών εἰσι δεύτεραι. Ἄρα οὖν ἦν ὅτε ὑπῆρχεν ἐν αὐτοῖς λόγος καὶ νοῦς καὶ περίσκεψις εὐλαβής. Εἰ δὲ τοῦτο, οὐδὲ οἱ δαίμονες φύσει κακοί, ἀλλ' ἐκ παραχρήσεως τῶν φυσικῶν δυνάμεων κακοὶ γεγόνασι.*

6 *Τὰ μὲν τῶν παθῶν, ἀκολασίας, τὰ δὲ μίσους, τὰ δέ, καὶ ἀκολασίας καὶ μίσους εἰσὶ ποιητικά.*

7 *Πολυφαγία καὶ ἡδυφαγία ἀκολασίας εἰσὶν αἴτια, φιλαργυρία δὲ καὶ κενοδοξία, μίσους πρὸς τὸν πλησίον. Ἡ δὲ τούτων μήτηρ φιλαυτία τῶν ἀμφοτέρων ἐστὶν αἰτία.*

8 *Φιλαυτία ἐστὶν ἡ πρὸς τὸ σῶμα ἐμπαθὴς καὶ ἄλογος φιλία, ᾗ ἀντίκειται ἀγάπη καὶ ἐγκράτεια. Ὁ ἔχων τὴν φιλαυτίαν, δῆλον ὅτι ἔχει πάντα τὰ πάθη.*

9 *«Οὐδείς», φησὶν Ἀπόστολος, «τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν,*

2. Ἐφεσ. 5,29.
3. Α' Κορ. 9,27.

φρόνηση, ἡ ἀγάπη καί ἡ σωφροσύνη. Ἐάν συμβαίνει αὐτό, δέν ὑπάρχει τότε κανένα κακό στά ὅσα κτίσθηκαν καί δημιουργήθηκαν ἀπό τό Θεό.

4 Δέν εἶναι οἱ τροφές κακές, ἀλλά ἡ γαστριμαργία· οὔτε ἡ παιδοποιΐα εἶναι κακή, ἀλλ' ἡ πορνεία· οὔτε ἡ δόξα εἶναι κακό, ἀλλ' ἡ ματαιοδοξία. Ἐάν τά πράγματα ἔχουν ἔτσι, τότε δέν ὑπάρχει κανένα κακό στά ὄντα, παρά μόνο ἡ κακή χρήση αὐτῶν, ἡ ὁποία συμβαίνει ἐξ αἰτίας τῆς ἀδιαφορίας τοῦ νοῦ γιά τή φυσική γεωργία.

5 Ὁ μακάριος Διονύσιος λέγει ὅτι τό κακό στούς δαίμονες εἶναι ὁ παράλογος θυμός, ἡ μή λογική ἐπιθυμία, καί ἡ ἀπερίσκεπτη φαντασία. Ἡ ἀλογία, ἡ μωρία καί ἡ ἀπερισκεψία εἶναι στά λογικά ὄντα στερήσεις τοῦ λόγου, τοῦ νοῦ καί τῆς περισκέψεως. Αὐτές οἱ στερήσεις ἔκαναν τήν ἐμφάνισή τους μετά ἀπό τίς ἕξεις. Ἄρα λοιπόν ὑπῆρξε ἐποχή κατά τήν ὁποία οἱ δαίμονες εἶχαν λόγο, νοῦ καί εὐλαβή περίσκεψη. Ἐφόσον τό πράγμα ἔχει ἔτσι, οὔτε οἱ δαίμονες εἶναι ἐκ φύσεως κακοί, ἀλλ' ἔγιναν κακοί ἐξ αἰτίας τῆς κακῆς χρήσεως τῶν φυσικῶν δυνάμεων.

6 Ἄλλα ἀπό τά πάθη δημιουργοῦν τήν ἀκολασία, ἄλλα τό μίσος, καί ἄλλα καί τήν ἀκολασία καί τό μίσος.

7 Ἡ πολυφαγία καί ἡ καλοφαγία εἶναι αἴτια ἀκολασίας, ἐνῶ ἡ φιλαργυρία καί ἡ κενοδοξία εἶναι αἴτια μίσους πρός τόν πλησίον μας. Ἡ φιλαυτία, πού εἶναι ἡ μητέρα αὐτῶν, εἶναι αἰτία καί τῶν δύο αὐτῶν παθῶν.

8 **Φιλαυτία εἶναι ἡ ἐμπαθής καί παράλογη ἀγάπη πρός τό σῶμα, στήν ὁποία ἀντιτίθεται ἡ ἀγάπη καί ἡ ἐγκράτεια. Ἐκεῖνος πού ἔχει τή φιλαυτία, εἶναι φανερό ὅτι ἔχει ὅλα τά πάθη.**

9 **«Κανένας», λέγει ὁ Ἀπόστολος, «δέ μίσησε τή σάρκα του»[2], ἀλλά «σκληραγωγεῖ αὐτήν καί τήν μεταχειρίζεται σάν δούλη»[3], παρέχοντας σ' αὐτήν τίποτε περισσότερο, παρά μόνο**

*ἀλλ' ὑποπιάζει δηλονότι καὶ δουλαγωγεῖ», μηδὲ πλέον αὐτῇ παρέχων, πλὴν διὰ τροφῆς καὶ σκεπασμάτων· καὶ τούτων μόνων, τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Οὕτως οὖν ἀπαθῶς τις ἀγαπᾷ αὐτήν· καὶ ὡς ὑπηρέτιν τῶν θείων ἐκτρέφει αὐτήν, καὶ θάλπει τοῖς τὴν ἔνδειαν αὐτῆς ἀποπληροῦσι μόνοις.*

10 *Ὃν τις ἀγαπᾷ, τοῦτον πάντως καὶ σπεύδει θεραπεύειν. Εἰ οὖν τὸν Θεόν τις ἀγαπᾷ, πάντως καὶ τὰ ἀρεστὰ αὐτῷ σπεύδει ποιεῖν, εἰ δὲ τὴν σάρκα, τὰ ταύτην τέρποντα ἐκτελεῖν.*

11 *Τῷ μὲν Θεῷ ἀρέσκει ἀγάπη καὶ σωφροσύνη καὶ θεωρία καὶ προσευχή, τῇ δὲ σαρκὶ γαστριμαργία καὶ ἀκολασία καὶ τὰ τούτων αὐξητικά. Διὰ τοῦτο, «οἱ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται», «οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις».*

12 *Ὁ νοῦς ἐὰν μὲν νεύσῃ πρὸς Θεόν, ἔχει δοῦλον τὸ σῶμα καὶ πλέον οὐδὲν αὐτῷ παρέχει τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ἐὰν δὲ νεύσῃ πρὸς τὴν σάρκα, δουλοῦται τοῖς πάθεσι, πρόνοιαν αὐτῆς ἀεὶ εἰς ἐπιθυμίας ποιούμενος.*

13 *Εἰ θέλεις τῶν λογισμῶν περιγίνεσθαι, ἐπιμελοῦ τῶν παθῶν, καὶ εὐχερῶς αὐτοὺς ἐκ τοῦ νοῦ ἀπὸ τούτων ἐξελαύνεις. Οἷον, ἐπὶ μὲν τῆς πορνείας, νήστευε, ἀγρύπνει, κοπίασον, ἰδίασον, ἐπὶ δὲ τῆς ὀργῆς καὶ τῆς λύπης, καταφρόνει δόξης καὶ ἀτιμίας καὶ τῶν ὑλικῶν πραγμάτων, ἐπὶ δὲ τῆς μνησικακίας, προσεύχου ὑπὲρ τοῦ λυπήσαντος, καὶ ἀπαλλάττῃ.*

14 *Μὴ τῶν ἀνθρώπων τοῖς ἀσθενεστέροις ἑαυτὸν παραμέτρει, ἀλλὰ τῇ ἐντολῇ τῆς ἀγάπης μᾶλλον παράτεινον. Τοῖς μὲν γὰρ*

---

4. Ρωμ. 8,8.
5. Γαλ. 5,24.
6. Ρωμ. 13,14.

τροφή καί σκεπάσματα, καί άπ' αὐτά τόσα μόνον, ὅσα τῆς εἶναι ἀπαραίτητα γιά τή ζωή. Μέ τόν τρόπο αὐτό λοιπόν ἀγαπᾶ κανείς αὐτήν μέ ἀπάθεια, τήν τρέφει σάν ὑπηρέτρια τῶν θείων ἐντολῶν, καί τῆς παρέχει ἐκεῖνες τίς φροντίδες πού εἶναι ἀναγκαῖες.

10 Ὅποιον ἀγαπᾶ κανείς αὐτόν ὁπωσδήποτε φροντίζει καί νά ὑπηρετεῖ. Ἐάν λοιπόν ἀγαπᾶ κανείς τό Θεό, ὁπωσδήποτε φροντίζει καί νά κάμνει ἐκεῖνα πού εἶναι ἀρεστά σ' αὐτόν, ἐάν ὅμως ἀγαπᾶ τή σάρκα, φροντίζει τότε νά κάμνει ἐκεῖνα πού εὐχαριστοῦν αὐτήν.

11 Στό Θεό εἶναι ἀρεστή ἡ ἀγάπη, ἡ σωφροσύνη, ἡ ἐνασχόληση μέ πνευματικές ἔρευνες καί ἡ προσευχή, ἐνῶ στή σάρκα εἶναι ἀρεστή ἡ γαστριμαργία, ἡ ἀκολασία καί ἐκεῖνα πού συντελοῦν στήν αὔξηση αὐτῶν τῶν παθῶν. Γι' αὐτό «ἐκεῖνοι πού εἶναι ἀφωσιομένοι στή σάρκα δέν μποροῦν ν' ἀρέσουν στό Θεό»[4], «ἐνῶ ἐκεῖνοι πού ἀνήκουν στό Χριστό, σταύρωσαν τή σάρκα μαζί μέ τά πάθη καί τίς ἐπιθυμίες»[5].

12 Ὁ νοῦς ἐάν ἀφοσιωθεῖ στό Θεό, τότε ἔχει δοῦλο τό σῶμα καί δέν ὑπάρχει σ' αὐτό τίποτε παραπάνω ἀπό ἐκεῖνα πού χρειάζεται γιά νά ζεῖ, ἐάν ὅμως ἀφοσιωθεῖ στή σάρκα, τότε ὑποδουλώνεται στά πάθη καί φροντίζει πάντοτε νά ἱκανοποιεῖ τίς ἐπιθυμίες αὐτῆς [6].

12 Ἐάν θέλεις νά γίνεις κυρίαρχος τῶν λογισμῶν σου, φρόντιζε ν' ἀπομακρύνεις αὐτούς ἀπό τό νοῦ σου. Γιά παράδειγμα, γιά νά νικήσεις τήν πορνεία, νήστευε, ἀγρύπνα, κόπιαζε, ἀπομονώσου. Ἐάν θέλεις νά νικήσεις τήν ὀργή καί τή λύπη, περιφρόνα τή δόξα, τίς ταπεινώσεις καί τά ὑλικά πράγματα. Τέλος γιά νά νικήσεις τή μνησικακία, νά προσεύχεσαι γιά ἐκεῖνον πού σέ λύπησε καί θ' ἀπαλλαγεῖς ἀπ' αὐτήν.

14 Μή συγκρίνεις τόν ἑαυτό σου μέ τούς ἀνθρώπους τούς πνευματικά πιό ἀδύνατους, ἀλλά σύμφωνα μέ τήν ἐντολή τῆς

*παραμετρῶν, εἰς τὸν βόθρον τῆς οἰήσεως ἐμπίπτεις, τῇ δὲ παρατείνων, εἰς τὸ ὕψος τῆς ταπεινοφροσύνης προκόπτεις.*

*15 Εἰ ὅλως τῆς πρὸς τὸν πλησίον ἀγάπης τὴν ἐντολὴν φυλάττεις, ὑπὲρ τίνος τῆς πρὸς αὐτὸν λύπης τὴν πικρίαν ἐντίκτεις, ἢ δῆλον ὅτι ταύτης τὰ πρόσκαιρα προτιμῶν καὶ αὐτῶν ἀντιποιούμενος, τὸν ἀδελφὸν πολεμεῖς;*

*16 Οὐ διὰ τὴν χρείαν τοσοῦτον τὸ χρυσίον ζηλωτὸν τοῖς ἀνθρώποις γέγονεν, ὅσον τὸ δι' αὐτοῦ τοὺς πολλοὺς τὰς ἡδονὰς θεραπεύειν.*

*17 Τρία εἰσὶ τὰ αἴτια τῆς τῶν χρημάτων ἀγάπης, φιληδονία, κενοδοξία καὶ ἀπιστία, χαλεπωτέρα δὲ τῶν δύο ἡ ἀπιστία καθέστηκεν.*

*18 Ὁ μὲν φιλήδονος ἀγαπᾷ ἄργύριον, ἵνα δι' αὐτοῦ τρυφήσῃ· ὁ δὲ κενόδοξος, ἵνα δι' αὐτοῦ δοξασθῇ· ὁ δὲ ἄπιστος, ἵνα κρύψῃ καὶ φυλάξῃ, λιμὸν φοβούμενος ἢ γῆρας ἢ νόσον ἢ ξενιτείαν· καὶ ἐπ' αὐτῷ μᾶλλον ἐλπίζει, ἢ ἐπὶ τῷ Θεῷ τῷ πάσης κτίσεως δημιουργῷ καὶ προνοητῇ, ἕως τῶν ἐσχάτων καὶ μικροτάτων ζώων.*

*19 Τέσσαρές εἰσιν οἱ περιποιούμενοι χρήματα· οἱ προειρημένοι τρεῖς, καὶ ὁ οἰκονομικός. Μόνος δὲ οὗτος δηλονότι ὀρθῶς περιποιεῖται, ἵνα ἑκάστῳ τὴν χρείαν παρέχων μὴ διαλείπῃ ποτέ.*

*20 Πάντες οἱ ἐμπαθεῖς λογισμοὶ ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς*

ἀγάπης ταπείνωσε περισσότερο τόν ἑαυτό σου. Διότι, συγκρίνοντας τόν ἑαυτό σου μέ τούς πνευματικά ἀδύνατους ἀνθρώπους, πέφτεις στό βόθρο τῆς ἀλαζονείας, ἐνῶ ταπεινώνοντας αὐτόν σύμφωνα μέ τήν ἐντολή τῆς ἀγάπης, αὐξάνεις τό μέγεθος τῆς ταπεινοφροσύνης σου.

15 Ἐάν ὁπωσδήποτε φυλάττεις τήν ἐντολή τῆς ἀγάπης πρός τό συνάνθρωπό σου, γιά ποιό λόγο γεννᾶς τήν κακία πού γίνεται πρόξενη λύπης πρός αυτόν; δέν εἶναι φανερό ὅτι τό κάνεις αὐτό ἐπειδή προτιμᾶς ἀντί αὐτῆς τά πρόσκαιρα πράγματα καί πολεμᾶς αὐτόν ἐπειδή ἐπιδιώκεις ν' ἀποκτήσεις αὐτά;

16 Ὁ χρυσός δέν εἶναι τόσο πολύ ἀγαπητός στούς ἀνθρώπους γιά τή χρησιμότητά του, ὅσο γιά τό ὅτι οἱ πολλοί ἀπό τούς ἀνθρώπους θέλουν μέ αὐτόν νά ἱκανοποιήσουν τίς ἡδονικές ἐπιθυμίες τους.

17 Τρία εἶναι τά αἴτια τῆς ἀγάπης πρός τά χρήματα, ἡ φιληδονία, ἡ ματαιοδοξία καί ἡ ἀπιστία. Χειρότερη ἀπό αὐτά τά δύο εἶναι ἡ ἀπιστία.

18 Ὁ φιλήδονος ἀγαπᾶ τά χρήματα γιά νά κάνει μ' αὐτά τρυφηλή τή ζωή του· ὁ ματαιόδοξος τά ἀγαπᾶ γιά νά δοξασθεῖ μ' αὐτά, ἐνῶ ὁ ἄπιστος τά ἀγαπᾶ γιά νά τά κρύψει καί νά τά φυλάξει, ἐπειδή φοβᾶται τήν πείνα, ἤ τά γηρατειά, ἤ τίς ἀσθένειες ἤ τήν ἀπομάκρυνσή του ἀπό τήν πατρίδα του· καί πολύ περισσότερο στηρίζει τίς ἐλπίδες του σ' αὐτά, παρά στό Θεό, πού εἶναι δημιουργός ὅλης τῆς κτίσεως καί προνοεῖ καί γιά τά πιό κατώτερα καί πιό μικρότερα ἀπό τά ζῶα.

19 Τέσσερις εἶναι ἐκεῖνοι πού φροντίζουν γιά τά χρήματα· οἱ τρεῖς προηγούμενοι γιά τούς ὁποίους ἔγινε λόγος, καί ὁ οἰκονόμος. Εἶναι φανερό λοιπόν ὅτι μόνο αὐτός φροντίζει σωστά, γιά νά μή παύσει ποτέ νά δίνει καί νά ἱκανοποιεῖ τίς ἀνάγκες τοῦ καθενός.

20 Ὅλοι οἱ ἐμπαθεῖς λογισμοί ἤ ἐρεθίζουν τό ἐπιθυμητικό τῆς

*ἐρεθίζουσιν, ἢ τὸ θυμικὸν ἐκταράσσουσιν, ἢ τὸ λογιστικὸν ἐπισκοτίζουσι· καὶ ἐκ τούτου συμβαίνει τὸν νοῦν ὀφθαλμιάσαι πρὸς τὴν πνευματικὴν θεωρίαν, καὶ τὴν τῆς προσευχῆς ἐκδημίαν. Καὶ τούτου χάριν ὀφείλει ὁ μοναχὸς καὶ ὁ ἡσυχάζων ἀκριβῶς τοῖς λογισμοῖς προσέχειν, καὶ τὰς τούτων αἰτίας καὶ γνῶναι καὶ ἐκκόπτειν. Γινώσκειν δὲ οὕτως· οἷον, ἐρεθίζουσι τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς αἱ ἐμπαθεῖς μνῆμαι τῶν γυναικῶν· τούτων δὲ αἰτία ἡ τῶν βρωμάτων καὶ πομάτων ἀκρασία, καὶ ἡ αὐτῶν τῶν γυναικῶν πυκνὴ καὶ ἄλογος συντυχία, περικόπτει δὲ ταύτας πεῖνα καὶ δίψα καὶ ἀγρυπνία καὶ ἀναχώρησις. Τὸν δὲ θυμὸν πάλιν ἐκταράσσουσιν αἱ ἐμπαθεῖς μνῆμαι τῶν λυπησάντων· αἰτία δὲ τούτων, φιληδονία καὶ κενοδοξία καὶ φιλοϋλία. Διὰ γὰρ ταῦτα ὁ ἐμπαθὴς λυπεῖται, ἢ ὡς στερηθείς, ἢ ὡς μὴ ἐπιτυχών. Περικόπτει δὲ ταύτας ἡ τούτων αὐτῶν καταφρόνησις καὶ ἐξουδένωσις, διὰ τὴν εἰς Θεὸν ἀγάπην.*

21 *Γινώσκει ὁ Θεὸς αὐτόν, γινώσκει καὶ τὰ ὑπ᾿ αὐτοῦ γεγονότα. Γινώσκουσι δὲ καὶ αἱ ἅγιαι Δυνάμεις τὸν Θεόν, γινώσκουσι δὲ καὶ τὰ ὑπὸ Θεοῦ γεγονότα. Ἀλλ᾿ οὐχ ὡς ὁ Θεὸς γινώσκει ἑαυτὸν καὶ τὰ ὑπ᾿ αὐτοῦ γεγονότα, οὕτω καὶ αἱ ἅγιαι Δυνάμεις τὸν Θεὸν καὶ τὰ ὑπ᾿ αὐτοῦ γεγονότα.*

22 *Ὁ μὲν Θεὸς ἑαυτὸν γινώσκει, ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, τὰ δὲ ὑπ᾿ αὐτοῦ γεγονότα, ἐκ τῆς σοφίας αὐτοῦ, δι᾿ ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. Αἱ δὲ ἅγιαι Δυνάμεις τὸν μὲν Θεὸν με-*

ψυχῆς, ἤ διαταράσσουν τό θυμικό αὐτῆς, ἤ συσκοτίζουν τό λογιστικό αὐτῆς, καί ἐξ αἰτίας αὐτοῦ συμβαίνει νά μή μπορεῖ νά ὑψωθεῖ πρός πνευματικές θεωρίες καί νά καταφύγει στήν προσευχή πρός τό Θεό. Γιά τό λόγο αὐτό ὀφείλει ὁ μοναχός, καί μάλιστα ὁ ἡσυχαστής, νά προσέχει πάρα πολύ τούς λογισμούς, νά γνωρίζει τά αἴτια αὐτῶν καί νά ξερριζώνει αὐτά. Μπορεῖ νά τά γνωρίζει ὡς ἑξῆς· γιά παράδειγμα, ἐρεθίζουν τό ἐπιθυμητικό τῆς ψυχῆς οἱ ἐμπαθεῖς ἀναμνήσεις τῶν γυναικῶν· αἰτία αὐτῶν εἶναι ἡ ἔλλειψη ἐγκράτειας πρός τίς τροφές καί τά ποτά, καθώς καί ἡ πυκνή καί παράλογη συναναστροφή μέ αὐτές τίς γυναῖκες. Αὐτές τίς αἰτίες τίς ἐξαφανίζει ἡ πείνα, ἡ δίψα, ἡ ἀγρυπνία καί ἡ φυγή μέσα ἀπό τόν κόσμο. Τό θυμό πάλι τόν διαταράσσουν οἱ ἐμπαθεῖς ἀναμνήσεις ἐκείνων πού μᾶς λύπησαν· αἰτία αὐτῶν εἶναι ἡ φιληδονία, ἡ ματαιοδοξία καί ἡ ἀγάπη πρός τά ὑλικά πράγματα. Διότι γι' αὐτό τό λόγο λυπᾶται ὁ ἐμπαθής, ἤ ἐπειδή στερήθηκε αὐτά, ἤ ἐπειδή δέν κατόρθωσε νά τ' ἀποκτήσει. Αὐτές τίς αἰτίες τίς ἐξαλείφει ἡ περιφρόνηση καί ἡ ἀδιαφορία πρός ὅλα αὐτά, χάρη τῆς ἀγάπης πρός τό Θεό.

21 Ὁ Θεός γνωρίζει τόν ἑαυτό του, καθώς γνωρίζει καί τά ὅσα δημιουργήθηκαν ἀπ' αὐτόν. Τό Θεό τόν γνωρίζουν καί οἱ ἅγιες Δυνάμεις καί γνωρίζουν ἐπίσης καί τά ὅσα δημιουργήθηκαν ἀπ' αὐτόν, ὅμως, ὅπως γνωρίζει ὁ Θεός τόν ἑαυτό του καί τά δημιουργήματά του, δέν γνωρίζουν ἔτσι ἀκριβῶς τό Θεό καί τά δημιουργήματά του καί οἱ ἅγιες Δυνάμεις.

22 Ὁ Θεός γνωρίζει τόν ἑαυτό του ἀπό τή μακάρια οὐσία του, ἐνῶ τά δημιουργήματά του ἀπό τή σοφία του, μέ τήν ὁποία καί μέσω τῆς ὁποίας δημιούργησε τά πάντα. Οἱ ἅγιες Δυνάμεις γνωρίζουν τό Θεό ἀπό τή συναναστροφή τους μέ αὐτόν, χωρίς ὅμως νά μετέχουν στήν οὐσία του· ἐνῶ τά δημιουργήματα αὐτοῦ τόν γνωρίζουν παρατηρώντας, ἐρευνώντας καί ἐξηγώντας

*τοχῇ γινώσκουσιν, ὑπὲρ μετοχὴν ὄντα, τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα, ἀναλήψει τῶν ἐν αὐτοῖς θεωρημάτων.*

23 *Ἔξω μὲν τοῦ νοῦ εἰσι τὰ γεγονότα, ἔνδον δὲ τὴν αὐτῶν θεωρίαν ἀναλαμβάνει. Οὐχ οὕτω δὲ ἐπὶ Θεοῦ τοῦ ἀϊδίου καὶ ἀπείρου καὶ ἀορίστου, καὶ τὸ εἶναι καὶ εὖ εἶναι καὶ ἀεὶ εἶναι τοῖς οὖσι χαρισαμένου.*

24 *Θεοῦ μετέχει τοῦ ἁγίου ἡ λογιστικὴ καὶ νοερὰ οὐσία, αὐτῷ τε τῷ εἶναι, καὶ τῇ πρὸς τὸ εὖ εἶναι ἐπιτηδειότητι, ἀγαθότητός τέ φημι καὶ σοφίας καὶ τῇ πρὸς τὸ ἀεὶ εἶναι χάριτι. Ταύτῃ οὖν τὸν Θεὸν γινώσκει. Τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα, τῇ ἀναλήψει, ὡς εἴρηται, τῆς ἐν τοῖς γεγονόσι θεωρουμένης τεχνικῆς σοφίας, ἥτις ἐστὶ ψιλὴ καὶ ἀνυπόστατος ἐν τῷ νῷ συνϊσταμένη.*

25 *Τέσσαρα τῶν θείων ἰδιωμάτων, συνεκτικὰ καὶ φρουρητικὰ καὶ διασωστικὰ τῶν ὄντων, δι' ἄκραν ἀγαθότητα ἐκοινοποίησεν ὁ Θεός, παραγαγὼν εἰς τὸ εἶναι τὴν λογικὴν καὶ νοερὰν οὐσίαν· τὸ ὄν, τὸ ἀεὶ ὄν, τὴν ἀγαθότητα καὶ τὴν σοφίαν. Τούτων τὰ μὲν δύο τῇ οὐσίᾳ παρέσχε, τὰ δὲ δύο, τῇ γνωμικῇ ἐπιτηδειότητι, τὴν ἀγαθότητα καὶ τὴν σοφίαν, ἵνα ἅπερ ἐστὶν αὐτὸς κατ' οὐσίαν, γίνηται ἡ κτίσις κατὰ μετουσίαν. Διὰ ταῦτα καὶ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ λέγεται γεγενῆσθαι. Καὶ κατ' εἰκόνα μέν, ὡς ὄν, ὄντος, καὶ ὡς ἀεὶ ὄν, ἀεὶ ὄντος· εἰ καὶ μὴ ἀνάρχως, ἀλλ' ἀτελευτήτως· καθ' ὁμοίωσιν δέ, ὡς ἀγαθός, ἀγαθοῦ, καὶ ὡς σο-*

---

7. Γεν. 1,26.

μέσω τῶν δυνάμεων πού ὑπάρχουν μέσα τους, τή σοφία του πού ὑπάρχει σ' αὐτά.

23 Τά δημιουργήματα βρίσκονται ἔξω ἀπό τό νοῦ, ἀλλ' ἡ θεωρία αὐτῶν πραγματοποιεῖται μέσα στό νοῦ. Δέν συμβαίνει ὅμως τό ἴδιο μέ τόν αἰώνιο, τόν ἄπειρο καί ἀπροσδιόριστο Θεό, ὁ ὁποῖος χάρισε στά ὄντα καί τήν ὕπαρξη, καί τήν δυνατότητα νά παραμένουν καλά, καί τήν ἀθανασία αὐτῶν.

24 Τοῦ ἁγίου Θεοῦ μετέχει ἡ λογική καί νοερή οὐσία καί μέ τήν ἴδια τήν ὕπαρξή της, καί μέ τή δυνατότητά της νά παραμένει καλή, δηλαδή γεμάτη ἀπό ἀγαθότητα καί σοφία, καί μέ τό νά εἶναι, μέ τή χάρη τοῦ Θεοῦ, ἀθάνατη. Μέ ὅλα αὐτά λοιπόν γνωρίζει τό Θεό. Τά δημιουργήματα ὅμως τοῦ Θεοῦ γνωρίζουν τό Θεό, ὅπως λέχθηκε προηγουμένως, μέ τήν δυνατότητα πού ἔλαβαν νά παρατηροῦν καί νά κατανοοῦν τή δημιουργική σοφία, ἡ ὁποία ὑπάρχει μέσα στό νοῦ σάν μία ἁπλή καί ἀνυπόστατη δύναμη.

25 Φέροντας ὁ Θεός ἀπό μεγάλη ἀγαθότητα στήν ὕπαρξη τή λογική καί νοερή οὐσία χάρισε σ' αὐτήν τέσσερα ἀπό τά θεῖα γνωρίσματα, μέ τά ὁποῖα συγκρατοῦνται, φρουροῦνται καί διασώζονται τά ὄντα, τήν ὕπαρξη δηλαδή, τήν αἰώνια ὕπαρξη, τήν ἀγαθότητα, καί τή σοφία. 'Απ' αὐτά τά δύο τά χορήγησε στήν οὐσία, ἐνῶ τά ἄλλα δύο, δηλαδή τήν ἀγαθότητα καί τή σοφία, στή δύναμη τῆς θελήσεως, ὥστε ἐκεῖνο πού εἶναι ὁ Θεός κατ' οὐσία, νά γίνει καί ἡ κτίση κατά μετουσία. Γιά τό λόγο αὐτό λέγεται ὅτι ὁ ἄνθρωπος ἔγινε «κατ' εἰκόνα καί ὁμοίωση τοῦ Θεοῦ»[7]. «Κατ' εἰκόνα» τοῦ Θεοῦ λέγεται ὅτι ἔγινε, ἐπειδή εἶναι ὄν πού προέρχεται ἀπό Ὄν, καί ἐπειδή εἶναι ἀθάνατο ὄν, προερχόμενο ἀπό αἰώνιο ὄν· ἄν καί βέβαια δέν εἶναι χωρίς ἀρχή, ἀλλ' ὁπωσδήποτε εἶναι χωρίς τέλος. «Καθ' ὁμοίωση» πάλι τοῦ Θεοῦ λέγεται ὅτι ἔγινε, ἐπειδή ἔγινε ἀγαθός, καθόσον προέρχε-

*φός, σοφοῦ· τοῦ κατὰ φύσιν, ὁ κατὰ χάριν. Καὶ κατ' εἰκόνα μέν, πᾶσα φύσις λογική ἐστι τοῦ Θεοῦ, καθ' ὁμοίωσιν δέ, μόνοι οἱ ἀγαθοὶ καὶ σοφοί.*

26 *Πᾶσα ἡ λογικὴ καὶ νοερὰ οὐσία διήρηται εἰς δύο· τουτέστιν, εἰς τὴν ἀγγελικὴν καὶ τὴν ἀνθρωπίνην φύσιν. Καὶ πᾶσα ἡ ἀγγελικὴ φύσις διήρηται πάλιν εἰς δύο καθολικὰς γνώμας τε καὶ ἀγέλας, ἁγίας τε καὶ ἐναγεῖς· τουτέστιν, εἰς ἁγίας Δυνάμεις καὶ ἀκαθάρτους δαίμονας. Καὶ πᾶσα ἡ ἀνθρωπίνη διήρηται εἰς γνώμας μόνον καθολικὰς δύο, εὐσεβεῖς λέγω καὶ ἀσεβεῖς.*

27 *Ὁ μὲν Θεὸς ὡς αὐτοΰπαρξις ὢν καὶ αὐτοαγαθότης καὶ αὐτοσοφία· μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, καὶ ὑπὲρ ταῦτα πάντα, οὐδὲν ἔχει τὸ σύνολον ἐναντίον. Τὰ δὲ κτίσματα, ὡς πάντα μὲν μεθέξει καὶ χάριτι τὴν ὕπαρξιν ἔχοντα, τὰ δὲ λογικὰ καὶ νοερά, καὶ τὴν ἀγαθότητος καὶ σοφίας ἐπιτηδειότητα, ἔχει ἐναντίον· τῇ μὲν ὑπάρξει, τὸ μὴ ὑπάρχειν, τῇ δὲ τῆς ἀγαθότητος καὶ σοφίας ἐπιτηδειότητι, κακίαν καὶ ἀγνωσίαν. Καὶ τὸ μὲν ὑπάρχειν ἀεὶ ἢ μὴ ὑπάρχειν ταῦτα (τὰ λογικὰ καὶ νοερά) ἐν τῇ ἐξουσίᾳ τοῦ πεποιηκότος ἐστί, τὸ δὲ μετέχειν, ἐν τῇ βουλήσει τῶν λογικῶν ὑπάρχει.*

28 *Οἱ μὲν Ἕλληνες ἐξ ἀϊδίου λέγοντες συνυπάρχειν τῷ Θεῷ τὴν τῶν ὄντων οὐσίαν, τὰς δὲ περὶ αὐτὴν ποιότητας μόνον ἐξ αὐτοῦ ἐσχηκέναι· τῇ μὲν οὐσίᾳ, οὐδὲν λέγουσιν ἐναντίον, ἐν δὲ ταῖς ποιότησι μόναις, τὴν ἐναντίωσιν εἶναι. Ἡμεῖς δὲ μόνην λέγομεν τὴν θείαν οὐσίαν μὴ ἔχειν τι ἐναντίον, ὡς ἀΐδιόν τε οὖσαν*

ται ἀπό τόν ἀγαθό Θεό, καί ἐπίσης σοφός, καθόσον προέρχεται ἀπό τόν σοφό Θεό· ὁ ἄνθρωπος δηλαδή πού ἔγινε τέτοιος κατά χάρη ἀπό ἐκεῖνον πού εἶναι τέτοιος ἀπό τή φύση του. «Κατ' εἰκόνα» τοῦ Θεοῦ εἶναι κάθε λογική φύση, ἐνῶ «καθ' ὁμοίωση» αὐτοῦ εἶναι μόνο οἱ ἀγαθοί καί σοφοί.

26 Ὅλη ἡ λογική καί νοερή οὐσία εἶναι διαιρημένη σέ δύο μέρη· δηλαδή στήν ἀγγελική καί στήν ἀνθρώπινη φύση. Καί ὅλη ἡ ἀγγελική φύση εἶναι διαιρεμένη πάλι σέ δύο γενικές γνῶμες καί ὁμάδες, σέ ἅγιες καί ἀκάθαρτες· δηλαδή στίς ἅγιες Δυνάμεις, καί στούς ἀκάθαρτους δαίμονες. Καί ὅλη ἡ ἀνθρώπινη φύση εἶναι διαιρεμένη σέ δύο μόνο γενικές γνῶμες, ἐννοῶ στούς εὐσεβεῖς καί στούς ἀσεβεῖς.

27 Ὁ Θεός ὑπάρχει σάν αὐτοΰπαρξη καί αὐτοαγαθότητα καί αὐτοσοφία· ἤ καλύτερα πιό σωστά θά μπορούσαμε νά ποῦμε, ὅτι βρίσκεται καί πάνω ἀπό ὅλα αὐτά, χωρίς νά ἔχει γενικά τίποτε πού νά ἐναντιώνεται. Τά κτίσματα πάλι ὅλα ἔχουν τήν ὕπαρξή τους κατά χάρη αὐτοῦ καί μετέχοντας σ' αὐτόν. Τά λογικά καί νοερά ὄντα ἔχουν ἐναντιούμενη καί τή δυνατότητα τῆς ἀγαθότητας καί σοφίας· καί στή μέν ὕπαρξη ἔχουν τό μή ὑπάρχειν, ἐνῶ στή δυνατότητα τῆς ἀγαθότητας καί τῆς σοφίας ἔχουν ἐναντιούμενη τήν κακία καί τήν ἀγνωσία. Καί τό νά ὑπάρχουν αὐτά πάντοτε ἤ νά μή ὑπάρχουν (δηλαδή τά λογικά καί νοερά ὄντα), βρίσκεται στήν ἐξουσία τοῦ δημιουργοῦ, ἐνῶ τό νά μετέχουν στήν ἀγαθότητα καί σοφία αὐτοῦ ἤ νά μή μετέχουν ἐξαρτᾶται ἀπό τή θέληση τῶν λογικῶν ὄντων.

28 Οἱ Ἕλληνες λέγουν ὅτι ἡ οὐσία τῶν ὄντων συνυπάρχει αἰώνια μέ τό Θεό, ἐνῶ τήν ἰδιαίτερη μορφή τῆς οὐσίας τους τήν ἔχουν λάβει τά ὄντα ἀπό τό Θεό. Καί λέγουν ἐπίσης ὅτι τίποτε δέν ὑπάρχει ἐναντιούμενο στήν οὐσία αὐτῶν, ἐνῶ ἡ ἐναντίωση ὑπάρχει μόνο στήν ἰδιαίτερη φύση τῶν ὄντων. Ἀντίθετα ἐμεῖς

*καὶ ἄπειρον, καὶ αϊδιότητος ἀλλήλαις χαριστικήν, τῇ δὲ τῶν ὄντων οὐσίᾳ, εἶναι μὲν τὸ μὴ ὂν ἐναντίον, καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ κυρίως ὄντος ὑπάρχειν, τὸ ἀεὶ εἶναι αὐτὴν ἢ μὴ εἶναι, ἀμεταμέλητα δὲ εἶναι τὰ χαρίσματα αὐτοῦ. Καὶ διὰ τοῦτο, καὶ ἔστιν ἀεί, καὶ ἔσται τῇ παντοκρατορικῇ δυνάμει διακρατουμένη, εἰ καὶ ἔχει τὸ μὴ ὂν ἐναντίον, ὡς εἴρηται, ὡς ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παραχθεῖσα, καὶ ἐν τῇ βουλήσει αὐτοῦ ἔχουσα τὸ εἶναι αὐτὴν ἢ μὴ εἶναι.*

29 *Ὥσπερ τὸ κακὸν στέρησίς ἐστιν ἀγαθοῦ, καὶ ἡ ἀγνωσία στέρησίς ἐστι γνώσεως, οὕτω καὶ τὸ μὴ ὂν στέρησίς ἐστι τοῦ ὄντος· οὐ τοῦ κυρίως δὲ ὄντος (οὐκ ἔχει γὰρ ἐναντίον), ἀλλὰ τοῦ κατὰ μέθεξιν τοῦ κυρίως ὄντος. Καὶ αἱ μὲν τῶν προτέρων στερήσεις τῇ γνώμῃ τῶν γεγονότων ἕπονται, ἡ δὲ τοῦ δευτέρου ἐν τῇ βουλήσει τοῦ πεποιηκότος ὑπάρχεται· τοῦ ἀεὶ δι' ἀγαθότητα βουλομένου εἶναι τὰ ὄντα καὶ ἀεὶ ὑπ' αὐτοῦ εὐεργετεῖσθαι.*

30 *Πάντα τὰ γεγονότα, τὰ μέν εἰσι λογικὰ καὶ νοερὰ καὶ τῶν ἐναντίων δεκτικά, οἷον, ἀρετῆς καὶ κακίας, καὶ γνώσεως καὶ ἀγνωσίας, τὰ δὲ σώματα διάφορα, ἐκ τῶν ἐναντίων συνεστῶτα, τουτέστι, γῆς, ἀέρος, πυρός, ὕδατος· καὶ τὰ μέν εἰσι ἀσώματα πάντῃ καὶ ἄϋλα, εἰ καί τινα τούτων συνέζευκται σώμασι, τὰ δὲ ἐξ ὕλης καὶ εἴδους μόνον ἔχει τὴν σύστασιν.*

8. Ρωμ. 11,29.

λέμε ὅτι μόνο ἡ θεία οὐσία δέν ἔχει κάτι τό ἐναντιούμενο, ἐπειδή εἶναι αἰώνια, ἄπειρη καί χαρίζει αὐτή τήν αἰωνιότητα στίς ἄλλες οὐσίες, ἐνῶ στήν οὐσία τῶν ὄντων ἐναντιούμενο εἶναι ἡ μή ὕπαρξη αὐτῶν· καί βρίσκεται στήν ἐξουσία τοῦ κυρίως ὄντος, δηλαδή τοῦ Θεοῦ, ἡ ὕπαρξη αὐτῶν, τό νά ὑπάρχει δηλαδή αὐτή αἰώνια ἤ νά μήν ὑπάρχει, καί εἶναι ἀμετάκλητα τά χαρίσματα αὐτοῦ[8]. Γιά τό λόγο αὐτό καί ὑπάρχει αὐτή πάντοτε καί θά ὑπάρχει διατηρούμενη στήν ὕπαρξη μέ τήν παντοκρατορική δύναμη αὐτοῦ, ἄν καί ἔχει ἐναντιούμενο, ὅπως λέχθηκε, τήν μή ὕπαρξη, διότι αὐτή ἔλαβε τήν ὕπαρξή της ἀπό τήν ἀνυπαρξία, καί ἀπό τή θέληση τοῦ Θεοῦ ἐξαρτᾶται ἡ ὕπαρξη ἡ μή ὕπαρξη αὐτῆς.

29 Ὅπως ἀκριβῶς τό κακό εἶναι στέρηση τοῦ ἀγαθοῦ, ἔτσι καί ἡ ἀγνωσία εἶναι στέρηση τῆς γνώσεως· κατά τόν ἴδιο τρόπο καί τό μή ὄν εἶναι στέρηση τοῦ ὄντος· ὄχι βέβαια τοῦ κυρίως ὄντος, δηλαδή τοῦ Θεοῦ (διότι αὐτό δέν ἔχει ἐναντίον), ἀλλ' ἐκείνου πού ἔχει τήν ὕπαρξή του μετέχοντας στό κυρίως Ὄν. Καί οἱ στερήσεις βέβαια τοῦ ἀγαθοῦ καί τῆς γνώσεως εἶναι ἀποτέλεσμα τῆς ἐλεύθερης θελήσεως τῶν δημιουργημάτων, ἐνῶ ἡ στέρηση τῆς ὑπάρξεως τοῦ ὄντος βρίσκεται στή θέληση τοῦ δημιουργοῦ, ὁ ὁποῖος πάντοτε ἀπό ἀγαθότητα θέλει νά ὑπάρχουν τά ὄντα καί νά εὐεργετοῦνται πάντοτε ἀπ' αὐτόν.

30 Ἀπό ὅλα τά δημιουργήματα, ἄλλα εἶναι λογικά καί νοερά καί δεικτικά τῶν ἐναντίων, δηλαδή τῆς ἀρετῆς καί τῆς κακίας, τῆς γνώσεως καί τῆς ἀγνωσίας, καί ἄλλα εἶναι διάφορα σώματα, πού συνίστανται ἀπό τά ἐνάντια στοιχεῖα, δηλαδή τή γῆ, τόν ἀέρα, τή φωτιά, τό νερό. Καί ἄλλα ἀπό τά δημιουργήματα εἶναι ἐξ ὁλοκλήρου ἀσώματα καί ἄυλα, ἄν καί μερικά ἀπ' αὐτά εἶναι συνενωμένα μέ ἀσώματα, ἀλλα πάλι ἔχουν τή σύστασή τους ἀπό ὕλη καί εἶδος.

31 *Πάντα τὰ σώματα, κατὰ φύσιν ἐστὶν ἀκίνητα, κινεῖται δὲ ὑπὸ τῆς ψυχῆς, τὰ μὲν λογικῆς, τὰ δὲ ἀλόγου, τὰ δὲ ἀναισθήτου.*

32 *Τῶν ψυχικῶν δυνάμεων ἡ μέν ἐστι θρεπτικὴ καὶ αὐξητική, ἡ δὲ φανταστικὴ καὶ ὁρμητική, ἡ δὲ λογιστικὴ καὶ νοητική. Καὶ τῆς μὲν πρώτης μόνης μετέχουσ' τὰ φυτά, τῆς δὲ δευτέρας πρὸς ταύτῃ τὰ ἄλογα ζῶα, τῆς δὲ τρίτης πρὸς ταῖς δυσὶν οἱ ἄνθρωποι. Καὶ αἱ μὲν δύο δυνάμεις φθαρταί, ἡ δὲ τρίτη ἄφθαρτος καὶ ἀθάνατος ἀποδείκνυται.*

33 *Ἀλλήλαις μεταδιδοῦσαι φωτισμοῦ αἱ ἅγιαι Δυνάμεις· καὶ τῇ ἀνθρωπίνῃ φύσει, ἢ τῆς αὐτῶν ἀρετῆς μεταδιδόασιν, ἢ τῆς ἐν αὐταῖς γνώσεως. Καὶ ἀρετῆς μέν, οἷον θεομιμήτου ἀγαθότητος, καθ' ἣν καὶ ἑαυτάς, καὶ ἀλλήλας, καὶ τὰς ὑποβεβηκυίας εὐεργετοῦσι, θεοειδεῖς ἐργαζόμεναι· γνώσεως δέ, ἢ περὶ Θεοῦ τι ὑψηλότερον, «σὺ» γὰρ φησίν, «Ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε», ἢ περὶ σωμάτων βαθύτερον, ἢ περὶ ἀσωμάτων ἀκριβέστερον, ἢ περὶ προνοίας τρανότερον, ἢ περὶ κρίσεως σαφέστερον.*

34 *Νοός ἐστι ἀκαθαρσία, πρῶτον μέν, τὸ γνῶσιν ἔχειν ψευδῆ, δεύτερον δέ, τὸ ἀγνοεῖν τι τῶν καθόλου· ὡς πρὸς ἀνθρώπινον νοῦν λέγω· ἀγγέλου γάρ ἐστι τὸ μηδὲ τῶν ἐπὶ μέρους ἀγνοεῖν· τρίτον δὲ τὸ ἐμπαθεῖς ἔχειν λογισμούς, τέταρτον δὲ τὸ συγκατατίθεσθαι τῇ ἁμαρτίᾳ.*

35 *Ψυχῆς ἐστιν ἀκαθαρσία, τὸ μὴ ἐνεργεῖν κατὰ φύσιν. Ἐκ τούτου γὰρ τίκτονται τῷ νῷ οἱ ἐμπαθεῖς λογισμοί. Τότε γὰρ κατὰ φύσιν ἐνεργεῖ, ὅταν αἱ παθητικαὶ αὐτῆς δυνάμεις, ὁ θυμὸς*

31 Ὅλα τά σώματα ἀπό τή φύση τους εἶναι ἀκίνητα, κινοῦνται δέ ἀπό ψυχή, ἄλλα ἀπό λογική, ἄλλα ἀπό ἄλογη, καί ἄλλα ἀπό ἀναίσθητη.

32 Ἀπό τίς ψυχικές δυνάμεις ἄλλη εἶναι θρεπτική καί αὐξητική, ἄλλη φανταστική καί ὁρμητική, καί ἄλλη λογιστική καί νοητική. Τῆς πρώτης μόνο μετέχουν τά φυτά, τῆς δεύτερης, μαζί μέ τήν πρώτη, μετέχουν τά ἄλογα ζῶα, ἐνῶ τῆς τρίτης, μαζί μέ τίς δύο προηγούμενες, μετέχουν οἱ ἄνθρωποι. Οἱ πρῶτες δύο δυνάμεις εἶναι φθαρτές, ἐνῶ ἡ τρίτη γίνεται παραδεκτό ὅτι εἶναι ἄφθαρτη καί ἀθάνατη.

33 Οἱ ἅγιες Δυνάμεις μεταδίδουν μεταξύ τους τό θεῖο φωτισμό, ἐνῶ στήν ἀνθρώπινη φύση μεταδίδουν ἤ ἀπό τήν ἀρετή τους, ἤ ἀπό τή γνώση τους. Μεταδίδοντας τήν ἀρετή τους, πού εἶναι ἡ θεομίμητη ἀγαθότητά τους, εὐεργετοῦν καί τόν ἑαυτό τους, καί ἡ μία τήν ἄλλη, καί τίς κατώτερες δυνάμεις, καθιστώντας αὐτές θεοειδεῖς, ἐνῶ ἀπό τή γνώση τους ἤ μεταδίδουν κάτι τό ὑψηλότερο, διότι λέγει, «σύ εἶσαι Ὕψιστος στόν αἰώνα, Κύριε»[9], ἤ μεταδίδουν κάτι τό βαθύτερο γιά τά σώματα, κάτι τό ἀκριβέστερο γιά τά ἀσώματα, κάτι τό σαφέστερο γιά τήν πρόνοια τοῦ Θεοῦ, καί κάτι τό εὐκρινέστερο γιά τήν μέλλουσα κρίση.

34 Ἀκαθαρσία τοῦ νοῦ εἶναι κατά πρῶτο τό ὅτι ἔχει γνώμη ψευδή, δεύτερο τό ὅτι ἀγνοεῖ ἐκεῖνα πού ἀνήκουν στά γενικά· ἐννοῶ βέβαια τόν ἀνθρώπινο νοῦ· διότι γνώρισμα τοῦ ἀγγέλου εἶναι τό νά μή ἀγνοεῖ τίποτε ἀπό τά ἐπί μέρους· τρίτο τό ὅτι ἔχει ἐμπαθεῖς λογισμούς, καί τέτερτο τό ὅτι δίνει συγκατάθεση στήν ἁμαρτία.

35 Ἀκαθαρσία τῆς ψυχῆς εἶναι τό νά μή ἐνεργεῖ σύμφωνα μέ τή φύση της. Καθόσον ἀπ' αὐτό γεννιοῦνται μέσα στό νοῦ οἱ ἐμπαθεῖς λογισμοί. Διότι τότε ἐνεργεῖ σύμφωνα μέ τή φύση

*λέγω καὶ ἡ ἐπιθυμία, ἐν τῇ τῶν πραγμάτων καὶ τῶν ἐν αὐτοῖς νοημάτων προβολῇ, ἀπαθεῖς διαμείνωσι.*

36 *Σώματός ἐστιν ἀκαθαρσία, ἡ κατ' ἐνέργειαν ἁμαρτία.*

37 *Ἀγαπᾷ ἡσυχίαν ὁ μὴ πάσχων πρὸς τὰ τοῦ κόσμου· καὶ ἀγαπᾷ πάντας ἀνθρώπους ὁ μηδὲν ἀγαπῶν ἀνθρώπινον· καὶ γνῶσιν ἔχει Θεοῦ καὶ τῶν θείων, ὁ μὴ σκανδαλιζόμενος εἴς τινα, εἴτε διὰ παραπτώματα, εἴτε διὰ λογισμοὺς ἐξ ὑπονοίας.*

38 *Μέγα μὲν τὸ μὴ πάσχειν πρὸς τὰ πράγματα, μεῖζον δὲ τούτου πολλῷ, τὸ πρὸς τὰ τούτων νοήματα ἀπαθῆ διαμεῖναι.*

39 *Ἀγάπη καὶ ἐγκράτεια ἀπαθῆ τὸν νοῦν διατηροῦσι πρός τε τὰ πράγματα, καὶ πρὸς τὰ τούτων νοήματα.*

40 *Οὐ πρὸς τὰ πράγματα ὁ νοῦς πολεμεῖ τοῦ θεοφιλοῦς, οὐδὲ πρὸς τὰ τούτων νοήματα, ἀλλὰ πρὸς τὰ πάθη τὰ τοῖς νοήμασι συνεζευγμένα. Οἷον, οὐ πρὸς τὴν γυναῖκα πολεμεῖ, οὐδὲ πρὸς τὸν λυπήσαντα, οὐδὲ πρὸς τὰς τούτων φαντασίας, ἀλλὰ πρὸς τὰ πάθη τὰ ταῖς φαντασίαις συνεζευγμένα.*

41 *Ἅπας ὁ πόλεμος τοῦ μοναχοῦ πρὸς τοὺς δαίμονας, ἵνα τὰ πάθη τῶν νοημάτων χωρίσῃ. Ἄλλως γὰρ ἀπαθῶς τὰ πράγματα βλέπειν οὐ δύναται.*

42 *Ἄλλο ἐστὶ πρᾶγμα, καὶ ἄλλο νόημα, καὶ ἄλλο πάθος. Καὶ πρᾶγμα μέν ἐστιν, οἷον, ἀνήρ, γυνή, χρυσός, καὶ τὰ ἑξῆς. Νόημα δέ, οἷον, μνήμη ψιλὴ τινος τῶν προειρημένων. Πάθος δέ, οἷον, φιλία ἄλογος, ἢ μῖσος ἄκριτόν τινος τῶν προειρημένων. Πρὸς οὖν τὸ πάθος ἐστὶ τοῦ μοναχοῦ ἡ μάχη.*

της, ὅταν οἱ παθητικές δυνάμεις της, ἐννοῶ ὁ θυμός καί ἡ ἐπιθυμία, παραμένουν ἀπαθεῖς ἀπό τήν ἐμφάνιση τῶν πραγμάτων καί τῶν νοημάτων αὐτῶν.

36 Ἀκαθαρσία τοῦ σώματος εἶναι ἡ ἔμπρακτη ἁμαρτία.

37 Τήν ἡσυχία ἀγαπᾶ ἐκεῖνος πού παραμένει ἀσυγκίνητος ἀπό τά πράγματα τοῦ κόσμου, ἐνῶ ἀγαπᾶ ὅλους τούς ἀνθρώπους ἐκείνους πού δέν ἀγαποῦν τίποτε τό ἀνθρώπινο. Γνώση τοῦ Θεοῦ καί τῶν θείων ἔχει ἐκεῖνος πού δέν σκανδαλίζεται ἀπό κάποιον εἴτε ἐξ αἰτίας τῶν παραπτωμάτων του, εἴτε ἐξ αἰτίας τῶν σκέψεων πού περνοῦν ἀπό τό νοῦ του.

38 Εἶναι σπουδαῖο πράγμα τό νά παραμένει κανείς ἀσυγκίνητος ἀπό τά κοσμικά πράγματα, πολύ πιό σπουδαιότερο ὅμως ἀπ' αὐτό εἶναι τό νά παραμείνει ἀπαθής ἀπό τά νοήματα αὐτῶν.

39 Ἡ ἀγάπη καί ἡ ἐγκράτεια διατηροῦν τό νοῦ ἀπαθή καί ἀπό τά πράγματα καί ἀπό τά νοήματα αὐτῶν.

40 Ὁ νοῦς τοῦ θεοφιλοῦς δέν πολεμεῖ πρός τά πράγματα, οὔτε πρός τά νοήματα αὐτῶν, ἀλλά πρός τά πάθη πού εἶναι συνενωμένα μέ τά νοήματα. Γιά παράδειγμα δέν πολεμεῖ πρός τή γυναίκα, οὔτε πρός ἐκεῖνον πού τόν λύπησε, οὔτε πρός τίς φαντασίες αὐτῶν, ἀλλά πολεμεῖ πρός τά πάθη πού εἶναι συνενωμένα μέ τίς φαντασίες.

41 Ὅλος ὁ πόλεμος τοῦ μοναχοῦ πρός τούς δαίμονες γίνεται μέ στόχο νά διαχωρίσει τά πάθη ἀπό τά νοήματα. Διότι διαφορετικά δέν μπορεῖ νά βλέπει μέ ἀπάθεια τά πράγματα.

42 Ἄλλο εἶναι πράγμα, ἄλλο νόημα, καί ἄλλο πάθος. Πράγμα γιά παράδειγμα εἶναι ὁ ἄνδρας, ἡ γυναίκα, ὁ χρυσός, καί τά ἑξῆς. Νόημα πάλι εἶναι ἡ ἁπλή σκέψη τῶν ὅσων προαναφέρθηκαν. Καί πάθος τέλος εἶναι ὅπως ἡ παράλογη φιλία, ἤ τό ἀσυλλόγιστο μίσος κάποιου ἀπό τά προαναφερθέντα. Ἡ μάχη λοιπόν τοῦ μοναχοῦ εἶναι πρός τό πάθος.

43 *Νόημά ἐστι ἐμπαθές, λογισμὸς σύνθετος ἀπὸ πάθους καὶ νοήματος. Χωρίσωμεν τὸ πάθος ἀπὸ τοῦ νοήματος, καὶ ἀπομένει ὁ λογισμὸς ψιλός. Χωρίζομεν δὲ δι᾿ ἀγάπης πνευματικῆς καὶ ἐγκρατείας, ἐὰν θέλωμεν.*

44 *Αἱ μὲν ἀρεταί, τῶν παθῶν τὸν νοῦν χωρίζουσιν, αἱ δὲ πνευματικαὶ θεωρίαι, τῶν ψιλῶν νοημάτων, ἡ δὲ καθαρὰ προσευχὴ αὐτῷ αὐτὸν παρίστησιν τῷ Θεῷ.*

45 *Αἱ μὲν ἀρεταὶ διὰ τὴν γνῶσιν τῶν γεγονότων, ἡ δὲ γνῶσις διὰ τὸν γινώσκοντα, ὁ δὲ γινώσκων διὰ τὸν ἀγνώστως γινοσκόμενον καὶ ὑπὲρ γνῶσιν γινώσκοντα.*

46 *Οὐχ ὡς προσδεόμενός τινος ὁ ὑπερπλήρης Θεὸς παρήγαγεν εἰς τὸν εἶναι τὰ γεγονότα, ἀλλ᾿ ἵνα αὐτὰ μὲν αὐτοῦ ἀναλόγως μετέχοντα ἀπολαύῃ, αὐτὸς δὲ εὐφρανθῇ ἐπὶ τοῖς ἔργοις αὐτοῦ ὁρῶν αὐτὰ εὐφραινόμενα, καὶ τὸν ἀκόρεστον ἀκορέστως ἀεὶ κορεννύμενα.*

47 *Πολλοὺς ἔχει ὁ κόσμος πτωχοὺς τῷ πνεύματι, ἀλλὰ παρὰ τὸ προσῆκον. Καὶ πολλοὺς πενθοῦντας, ἀλλὰ διὰ ζημίας χρημάτων ἢ ἀποβολὰς τέκνων. Καὶ πολλοὺς πραεῖς, ἀλλὰ πρὸς τὰ ἀκάθαρτα πάθη. Καὶ πολλοὺς πεινῶντας καὶ διψῶντας, ἀλλὰ τὸ ἁρπάζειν τὰ ἀλλότρια καὶ κερδαίνειν ἐξ ἀδικίας. Καὶ πολλοὺς ἐλεήμονας, ἀλλὰ πρὸς τὸ σῶμα καὶ τὰ τοῦ σώματος. Καὶ καθαροὺς τῇ καρδίᾳ, ἀλλὰ διὰ κενοδοξίαν. Καὶ εἰρηνοποιούς, ἀλλὰ τὴν ψυχὴν τῇ σαρκὶ ὑποτάσσοντας. Καὶ πολλοὺς δεδιωγμένους, ἀλλ᾿ ὡς ἀτάκτους. Καὶ πολλοὺς ὀνειδιζομένους, ἀλλ᾿ ἐπ᾿ αἰσχροῖς ἁμαρτήμασι· ἀλλ᾿ ἐκεῖνοι μόνοι μακάριοι οἱ διὰ Χριστὸν καὶ κατὰ Χριστὸν ταῦτα καὶ ποιοῦντες καὶ πάσχοντες. Διατί; «Ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν» καί, «αὐτοὶ τὸν*

43 Νόημα ἐμπαθές εἶναι ὁ λογισμός πού ἀποτελεῖται ἀπό τό πάθος καί τό νόημα. Ἄς χωρίσομε τό πάθος ἀπό τό νόημα, ὁπότε ἀπομένει ὁ ἁπλός λογισμός. Τό χωρισμό αὐτό μποροῦμε νά τόν κάνουμε, ἐάν θέλουμε, μέ τήν πνευματική ἀγάπη καί τήν ἐγκράτεια.

44 Οἱ ἀρετές χωρίζουν τό νοῦ ἀπό τά πάθη, οἱ πνευματικές θεωρίες τόν χωρίζουν ἀπό τά ἁπλά νοήματα, καί ἡ καθαρή προσευχή φέρνει αὐτόν μπροστά στόν ἴδιο τό Θεό.

45 Οἱ ἀρετές πραγματοποιοῦνται γιά τή γνώση τῶν γεγονότων, ἡ γνώση ὑπάρχει γι' αὐτόν πού γίνεται κάτοχος αὐτῆς καί αὐτός πού ἀποκτᾶ τή γνώση τό κάνει μέ σκοπό νά γνωρίσει κατά τρόπο ἄγνωστο καί πάνω ἀπό τή γνώση τό Θεό.

46 Ὁ ὑπερπλήρης Θεός ἔφερε στήν ὕπαρξη τά δημιουργήματά του ὄχι ἀπό κάποια ἀνάγκη, ἀλλά γιά ν' ἀπολαμβάνουν αὐτά αὐτόν ἀνάλογα μέ τή μετοχή τους σ' αὐτόν, αὐτός πάλι γιά νά εὐφραίνεται μέ τά ἔργα του, βλέποντας αὐτά νά εὐφραίνονται καί νά χορταίνουν πάντοτε κατά τρόπο ἀχόρταγο ἐκεῖνον πού δέν χορταίνεται.

47 Ὁ κόσμος ἔχει πολλούς ταπεινόφρονες, ὄχι ὅμως ὅπως πρέπει. Ἔχει καί πολλούς πού πενθοῦν, ἀλλά γιά χρηματικές ζημιές ἤ γιά τό χαμό τέκνων. Ἔχει καί πολλούς πραεῖς, ἀλλά πρός τά ἀκάθαρτα πάθη. Ἔχει καί πολλούς πού πεινοῦν καί διψοῦν, ἀλλά γιά ν' ἁρπάζουν τά ξένα καί νά κερδίζουν ἀπό ἀδικίες. Ἔχει καί πολλούς ἐλεήμονες, ἀλλά πρός τό σῶμα καί τά τοῦ σώματος. Ἔχει καί καθαρούς στήν καρδιά, ἀλλά ἀπό ματαιοδοξία. Ἔχει καί εἰρηνοποιούς, ἀλλά πού ὑποτάσσουν τήν ψυχή στή σάρκα. Ἔχει καί πολλούς πού ἔχουν διωχθεῖ, ἀλλ' ἐξ αἰτίας τῶν ἀταξιῶν τους. Ἔχει καί πολλούς πού βρίζονται, ἀλλά γιά τά αἰσχρά ἁμαρτήματά τους. Μακάριοι ὅμως εἶναι μόνο ἐκεῖνοι πού κάμνουν αὐτά καί τά παθαίνουν γιά χάρη τοῦ Χριστοῦ καί σύμφωνα μέ τίς ἐντολές τοῦ Χριστοῦ. Γιατί; «Διότι ἡ βασιλεία των οὐρανῶν εἶναι δική τους», καί, «αὐτοί θά

*Θεὸν ὄψονται», καὶ τὰ ἑξῆς. Ὥστε, οὐχ ὅτι ποιοῦσι ταῦτα καὶ πάσχουσι, εἰσὶ μακάριοι (καὶ γὰρ οἱ προειρημένοι τὸ αὐτὸ ποιοῦσιν), ἀλλ' ὅτι διὰ Χριστὸν καὶ κατὰ Χριστὸν ταῦτα καὶ ποιοῦσι καὶ πάσχουσι.*

48 *Ἐν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις ὁ σκοπὸς ζητεῖται παρὰ Θεῷ, ὡς πολλάκις εἴρηται, εἴτε δι' αὐτόν, εἴτε δι' ἄλλο τι πράττομεν. Ὅταν οὖν τι θέλωμεν πρᾶξαι ἀγαθόν, μὴ τὴν ἀνθρωπαρέσκειαν, ἀλλὰ τὸν Θεὸν σχῶμεν σκοπόν, ἵνα εἰς αὐτὸν ἀεὶ ἀποβλεπόμενοι, δι' αὐτὸν πάντα πράξωμεν, ἵνα μὴ καὶ τὸν κόπον ὑπομένωμεν, καὶ τὸν μισθὸν ἀπολέσωμεν.*

49 *Καὶ τὰ ψιλὰ τῶν ἀνθρωπίνων πραγμάτων νοήματα καὶ τὰ πάντων τῶν γεγονότων θεωρήματα, ἀπόβαλε τοῦ νοὸς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἵνα μὴ τὰ ἥττοντα φανταζόμενος, τοῦ πάντων τῶν ὄντων ἀσυγκρίτως κρείττονος ἐκπέσῃς.*

50 *Ἐὰν τὸν Θεὸν γνησίως ἀγαπήσωμεν, δι' αὐτῆς τῆς ἀγάπης τὰ πάθη ἀποβάλλομεν. Ἡ δὲ εἰς αὐτὸν ἀγάπη ἐστί, τὸ προτιμᾶν αὐτὸν τοῦ κόσμου, καὶ τὴν ψυχὴν τῆς σαρκός· ἐν τῷ τῶν κοσμικῶν μὲν καταφρονεῖν πραγμάτων, αὐτῷ δὲ σχολάζειν διὰ παντός, διά τε ἐγκρατείας καὶ ἀγάπης καὶ προσευχῆς καὶ ψαλμῳδίας, καὶ τῶν ἑξῆς.*

51 *Ἐὰν σχολάζοντες τῷ Θεῷ χρόνῳ πολλῷ, τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς ἐπιμελώμεθα, οὐκ ἔτι πρὸς τὰς τῶν λογισμῶν προσβολὰς ἐξοκείλομεν, ἀλλὰ καὶ ἀκριβέστερον τὰς τούτων αἰτίας κατανοοῦντες καὶ ἐκκόπτοντες, διορατικώτεροι γινόμεθα, ὥστε πληρωθῆναι εἰς ἡμᾶς τό, «καὶ ἐπεῖδεν ὁ ὀφθαλμός*

10. Ματθ. 5,3 ἑ.

δοῦν τό Θεό»[10], καί τά ἑξῆς. Ἑπομένως δέν εἶναι μακάριοι ἐκεῖνοι πού κάμνουν καί παθαίνουν αὐτά (καθόσον τό ἴδιο κάνουν καί ἐκεῖνοι πού προαναφέρθηκαν), ἀλλά μακάριοι εἶναι αὐτοί πού κάμνουν καί παθαίνουν αὐτά γιά χάρη τοῦ Χριστοῦ καί σύμφωνα μέ τίς ἐντολές τοῦ Χριστοῦ.

48 Σ' ὅλες τίς πράξεις μας ὁ Θεός ἐξετάζει τό σκοπό γιά τόν ὁποῖο πράττονται, ὅπως πολλές φορές ἔχει λεχθεῖ, εἴτε πράττομε αὐτές γι' αὐτόν, εἴτε γιά κάτι ἄλλο. Ὅταν λοιπόν θέλουμε νά κρίνουμε κάποιο καλό, ἄς μή ἔχουμε σάν σκοπό νά ἀρέσουμε στούς ἀνθρώπους, ἀλλ' ἄς ἔχουμε σάν σκοπό τό Θεό, ὥστε, ἀποβλέποντας πάντοτε πρός αὐτόν, ἄς τά κάμνουμε ὅλα γι' αὐτόν, γιά νά μή συμβαίνει καί τόν κόπο νά ὑπομένουμε, καί τό μισθό νά χάσουμε.

49 Κατά τήν ὥρα τῆς προσευχῆς ἀπομάκρυνε ἀπό τή σκέψη σου καί τά ἁπλά νοήματα τῶν ἀνθρώπινων πραγμάτων, καί τίς σκέψεις ὅλων τῶν ὄντων, ὥστε νά μή συμβεῖ, σκεπτόμενος τά κατώτερα καί ἀσήμαντα, νά στερηθεῖς ἐκεῖνον πού εἶναι ἀσύγκριτα ἀνώτερος ἀπό ὅλα τά ὄντα.

50 Ἐάν ἀγαπήσουμε γνήσια τό Θεό, μέ τήν ἴδια αὐτή ἀγάπη ἀπομακρύνομε τά πάθη. Ἡ ἀγάπη πρός αὐτόν εἶναι τό νά προτιμᾶμε αὐτόν ἀπό τόν κόσμο, καί τήν ψυχή ἀντί τῆς σάρκας, ἐπίσης τό νά περιφρονοῦμε τά κοσμικά πράγματα, καί ν' ἀσχολούμαστε συνέχεια μ' αὐτόν, μέ ἐγκράτεια, ἀγάπη, προσευχή καί ψαλμωδίες, καί ὅλα τά σχετικά.

51 Ἐάν ἀσχολούμαστε γιά πολύ χρόνο μέ τό Θεό καί φροντίζομε γιά τό παθητικό μέρος τῆς ψυχῆς μας, δέν θά παρασυρθοῦμε στό ἑξῆς πρός τίς προσβολές τῶν λογισμῶν, ἀλλά, καί κατανοώντας μέ μεγαλύτερη ἀκρίβεια τίς αἰτίες αὐτῶν καί ξερριζώνοντας αὐτές, γινόμαστε περισσότερο διορατικοί, ὥστε νά βροῦν τήν πραγματοποίησή τους σ' ἐμᾶς τά λόγια· «καί θά δεῖ ὁ ὀφθαλμός μου ἱκανοποιημένος πρός τούς ἐχθρούς μου καί τό αὐτί μου θ' ἀκούσει νά πραγματοποιεῖται ὁ πόθος μου γιά ἐκεί-

*μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις, ἀκούσεται τὸ οὖς μου».*

52 *Ὅταν βλέπῃς τὸν νοῦν σου εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενον ἐν τοῖς τοῦ κόσμου νοήμασι, γίνωσκε καὶ τὸ σῶμά σου καθαρὸν καὶ ἀναμάρτητον διαμένειν· ὅταν δὲ τὸν νοῦν βλέπῃς κατὰ διάνοιαν ἁμαρτίαις σχολάζοντα καὶ μὴ ἀνακόπτῃς, γίνωσκε καὶ τὸ σῶμά σου μὴ πολυχρονίζειν τοῦ τοῖς αὐτοῖς περιπεσεῖν.*

53 *Ὥσπερ τὸ σῶμα ἔχει κόσμον τὰ πράγματα, οὕτω καὶ ὁ νοῦς ἔχει κόσμον τὰ νοήματα· καὶ ὥσπερ τὸ σῶμα πορνεύεται μετὰ τοῦ σώματος τῆς γυναικός, οὕτω καὶ ὁ νοῦς πορνεύει μετὰ τοῦ νοήματος τῆς γυναικός, διὰ τῆς φαντασίας τοῦ ἰδίου σώματος. Τὴν γὰρ μορφὴν τοῦ ἰδίου σώματος βλέπει μιγνυμένην μετὰ τῆς μορφῆς τῆς γυναικὸς κατὰ διάνοιαν. Ὡσαύτως καὶ τὴν μορφὴν τοῦ λυπήσαντος ἀμύνεται κατὰ διάνοιαν, διὰ τῆς μορφῆς τοῦ ἰδίου σώματος. Καὶ ἐπὶ τῶν ἄλλων ἁμαρτημάτων ὁμοίως. Ἅπερ γὰρ πράττει τὸ σῶμα κατ' ἐνέργειαν εἰς τὸν κόσμον πραγμάτων, ταῦτα πράττει καὶ ὁ νοῦς εἰς τὸν κόσμον τῶν νοημάτων.*

54 *Οὐκ ἔστι φρίξαι καὶ ἐκπλαγῆναι καὶ ἐκστῆναι τῇ διανοίᾳ, ὅτι ὁ μὲν Θεὸς καὶ Πατὴρ κρίνει οὐδένα, πᾶσαν δὲ τὴν κρίσιν δέδωκε τῷ Υἱῷ· ὁ δὲ Υἱὸς κράζει· «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»· «μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε». Ὁ δὲ Ἀπόστολος ὁμοίως· «μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος» καί, «ἐν ᾧ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις»· οἱ*

---

11. Ψαλμ. 91,12.
12. Ἰω. 5,22.
13. Ματθ. 7,1.

νους πού ἐξεγείρονται ἐναντίον μου καί σκέπτονται κακά γιά μένα»[11].

52 Ὅταν βλέπεις τό νοῦ σου ν' ἀσχολεῖται μέ εὐσέβεια καί δικαιοσύνη μέ τά νοήματα τοῦ κόσμου, ἔχε ὑπ' ὑπόψη σου ὅτι καί τό σῶμα σου παραμένει καθαρό καί ἀναμάρτητο, ὅταν ὅμως βλέπεις τό νοῦ σου ν' ἀσχολεῖται στίς σκέψεις του μέ ἁμαρτίες καί δέν τόν ἐμποδίζεις, γνώριζε ὅτι καί τό σῶμα σου δέν θ' ἀργήσει καί πολύ νά πέσει στά ἴδια ἁμαρτήματα.

53 Ὅπως ἀκριβῶς τό σῶμα ἔχει τριγύρω του τά πράγματα τοῦ κόσμου, ἔτσι καί ὁ νοῦς περιβάλλεται ἀπό τά νοήματα· καί ὅπως ακριβῶς τό σῶμα διαπράττει τήν πορνεία μέ τό σῶμα τῆς γυναίκας, ἔτσι καί ὁ νοῦς πορνεύει μέ τό νόημα τῆς γυναίκας, μέ τή φαντασία τοῦ σώματός του. Διότι στή σκέψη του βλέπει τή μορφή τοῦ σώματός του ἀναμειγμένη μέ τή μορφή τῆς γυναίκας. Ἐπίσης στή σκέψη του πολεμάει μέ τή μορφή τοῦ σώματός του τή μορφή ἐκείνου πού τόν λύπησε. Τό ἴδιο συμβαίνει καί μέ τά ἄλλα ἁμαρτήματα. Διότι, ἐκεῖνα ἀκριβῶς πού κάμνει στήν πραγματικότητα τό σῶμα μέσα στόν κόσμο τῶν πραγμάτων, αὐτά κάμνει καί ὁ νοῦς μέσα στόν κόσμο τῶν νοημάτων.

54 Δέν πρέπει νά φρίξει κανείς, νά ἐκπλαγεῖ καί νά κυριευθεῖ ἀπό ἔκσταση ὁ νοῦς του, γιά τό ὅτι ὁ Θεός καί Πατέρας δέν κρίνει κανένα, ἐνῶ ὅλη τήν κρίση τήν ἔδωσε στόν Υἱό του[12]· ὁ Υἱός του πάλι φωνάζει δυνατά καί λέγει· «μή κατακρίνετε, γιά νά μή κατακριθεῖτε»[13], «μή καταδικάζετε, γιά νά μή καταδικασθεῖτε»[14]. Ὅμοια καί ὁ Ἀπόστολος λέγει· «μή κρίνετε τίποτε πρίν ἀπό τόν ὡρισμένο καιρό, μέχρι πού νά ρθεῖ ὁ Κύριος»[15]· καί, «κρίνοντας τόν ἄλλο, κατακρίνεις τόν ἑαυτό σου»[16]. Ἀντίθετα ἀπ' αὐτά οἱ ἄνθρωποι, ἀφοῦ ἄφησαν τό νά κλαίουν γιά τίς

14. Λουκᾶ 6,37.
15. Α' Κορ. 4,5.
16. Ρωμ. 2,1.

*δὲ ἄνθρωποι ἀφέντες τὸ κλαίειν τὰς ἑαυτῶν ἁμαρτίας, ἦραν τὴν κρίσιν ἀπὸ τοῦ Υἱοῦ, καὶ αὐτοὶ ὡς ἀναμάρτητοι, κρίνουσι καὶ καταδικάζουσιν ἀλλήλους. Καὶ ὁ μὲν οὐρανὸς ἔξέστη ἐπὶ τούτῳ, ἡ δὲ γῆ ἔφριξεν, αὐτοὶ δὲ οὐκ αἰσχύνονται ἀναισθητοῦντες.*

55 *Ὁ τὰς τῶν ἄλλων ἁμαρτίας περιεργαζόμενος, ἢ καὶ ἐξ ὑπονοίας τὸν ἀδελφὸν κρίνων, οὔπω ἔβαλεν ἀρχὴν μετανοίας, οὐδὲ ἐρευνᾶν τοῦ γνῶναι τὰς ἑαυτοῦ ἁμαρτίας, ἐν ἀληθείᾳ βαρυτέρας οὔσας μολίβδου πολυταλάντου· οὐδὲ ἔγνω πόθεν γίνεται ἄνθρωπος «βαρυκάρδιος ἀγαπῶν ματαιότητα καὶ ζητῶν ψεῦδος». Διὰ τοῦτο ὡς ἄφρων καὶ ἐν σκότει διαπορευόμενος, ἀφεὶς τὰς ἑαυτοῦ ἁμαρτίας, τὰς τῶν ἄλλων φαντάζεται, ἢ οὔσας ἢ νομιζομένας ἐξ ὑπονοίας.*

56 *Ἡ φιλαυτία, ὡς πολλάκις εἴρηται, πάντων τῶν ἐμπαθῶν λογισμῶν αἰτία καθίσταται. Ἐκ γὰρ ταύτης γεννῶνται οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοί· ὁ τῆς γαστριμαργίας καὶ τῆς φιλαργυρίας καὶ τῆς κενοδοξίας. Ἐκ δὲ τῆς γαστριμαργίας γεννᾶται ὁ τῆς πορνείας, ἐκ δὲ τῆς φιλαργυρίας ὁ τῆς πλεονεξίας, ἐκ δὲ τῆς κενοδοξίας ὁ τῆς ὑπερηφανίας. Οἱ δὲ λοιποὶ πάντες, ἑκάστῳ τῶν τριῶν ἀκολουθοῦσιν· ὅ τε τῆς ὀργῆς, καὶ ὁ τῆς λύπης, καὶ ὁ τῆς μνησικακίας, καὶ ὁ τῆς ἀκηδίας καὶ φθόνου καὶ καταλαλιᾶς, καὶ οἱ λοιποί. Ταῦτα οὖν τὰ πάθη συνδεσμοῦσι τὸν νοῦν τοῖς ὑλικοῖς πράγμασι, καὶ κατέχουσι αὐτὸν εἰς τὴν γῆν, λίθου δίκην βαρυτάτου αὐτῷ ἐπικείμενα, φύσει ὄντα αὐτὸν πυρὸς κουφότερον καὶ ὀξύτερον.*

57 *Ἀρχὴ μὲν πάντων τῶν παθῶν ἡ φιλαυτία, τέλος δέ, ἡ ὑπε-*

17. Ἱερ. 2,12.
18. Ζαχ. 5,7.

ἁμαρτίες τους, ἀφαίρησαν τήν κρίση ἀπό τόν Υἱό, καί οἱ ἴδιοι, σάν ἀναμάρτητοι, κρίνουν καί καταδικάζουν ὁ ἕνας τόν ἄλλο. Γι' αὐτό τό πράγμα ὁ οὐρανός κυριεύθηκε ἀπό ἔκσταση, ἡ γῆ ἔφριξε[17], ἐνῶ αὐτοί, γεμάτοι ἀπό ἀναισθησία, δέν ντρέπονται.

55 Ἐκεῖνος πού περιεργάζεται τίς ἁμαρτίες τῶν ἄλλων, ἤ κρίνει τόν ἀδέλφό του ἀπό ὑποψία καί μόνο, καί αὐτός δέν ἔκανε ἀκόμη ἀρχή τῆς μετάνοιάς του, οὔτε ἄρχισε τήν ἔρευνα γιά νά γνωρίσει τίς ἁμαρτίες του, πού στήν πραγματικότητα εἶναι βαρύτερες ἀπό πολλά τάλαντα μολύβδου[18], οὔτε ἔμαθε ἀπό πού γίνεται κανείς «ἀναίσθητος, ἀγαπώντας τή ματαιότητα καί ἐπιθυμώντας τό ψεῦδος»[19]. Γι' αὐτό, σάν ἄφρονας καί βαδίζοντας μέσα στό σκοτάδι, ἀφήνοντας τίς δικές του ἁμαρτίες, σκέπτεται τίς ἁμαρτίες τῶν ἄλλων, εἴτε αὐτές εἶναι πραγματικές, εἴτε τίς δημιουργεῖ μέ τήν ὑποψία του.

56 Ἡ φιλαυτία, ὅπως πολλές φορές ἔχει λεχθεῖ, γίνεται αἰτία ὅλων τῶν ἐμπαθῶν λογισμῶν. Διότι ἀπ' αὐτήν γεννιοῦνται οἱ τρεῖς γενικότατοι λογισμοί τῆς ἐπιθυμίας· ὁ λογισμός τῆς γαστριμαργίας, τῆς φιλαργυρίας, καί τῆς ματαιοδοξίας. Ἀπό τή γαστριμαργία γεννιέται ὁ λογισμός τῆς ὑπερηφάνειας. Ὅλοι οἱ ὑπόλοιποι λογισμοί εἶναι ἀποτέλεσμα ἑνός ἀπό τούς τρεῖς αὐτούς λογισμούς· καί ὁ λογισμός τῆς ὀργῆς, καί ὁ τῆς λύπης, καί ὁ τῆς μνησικακίας καί ὁ τῆς πνευματικῆς ἀδιαφορίας, καί τοῦ φθόνου, καί τῆς κακολογίας, καί οἱ ὑπόλοιποι. Αὐτά λοιπόν τά πάθη δένουν τό νοῦ στενά μέ τά ὑλικά πράγματα, καί τόν προσκολλοῦν στή γῆ, πέφτοντας ἐπάνω του σάν βαρύτατος λίθος, πού ἀπό τή φύση του εἶναι ἐλαφρότερος καί ταχύτερος ἀπό τή φωτιά.

57 Ἀρχή ὅλων τῶν παθῶν εἶναι ἡ φιλαυτία, ἐνῶ τέλος ἡ ὑπερηφάνεια. Φιλαυτία εἶναι ἡ παράλογη ἀγάπη πρός τό σῶμα. Ἐκεῖ-

19. Ψαλμ. 4,3.

*ρηφανία. Φιλαυτία δέ ἐστιν ἡ πρὸς τὸ σῶμα ἄλογος φιλία. Ὁ ταύτην ἐκκόψας, συνέκοψε πάντα τὰ πάθη τὰ ἐξ αὐτῆς.*

58 *Ὥσπερ οἱ γονεῖς τῶν σωμάτων προσπάσχουσι τοῖς ἐξ αὐτῶν γεννωμένοις, οὕτω καὶ ὁ νοῦς φυσικῶς τοῖς ἑαυτοῦ πρόσκειται λόγοις. Καὶ ὥσπερ τοῖς ἐκείνων ἐμπαθεστέροις, κἂν πάντως κατὰ πάντα ὦσιν οἱ παῖδες καταγελαστότατοι, πάντων φαίνονται ἐπιεικέστατοι καὶ εὐμορφότατοι, οὕτω καὶ τῷ ἄφρονι νῷ, οἱ αὐτοῦ λόγοι, κἂν πάντων ὦσι μοχθηρότεροι, πάντων φαίνονται φρονιμώτεροι. Τῷ δὲ σοφῷ, οὐχ οὕτως οἱ ἑαυτοῦ λόγοι, ἀλλ' ὅταν δόξῃ πληροφορεῖσθαι ὅτι ἀληθεῖς εἰσι καὶ καλοί, τότε μάλιστα οὐ πιστεύει τῇ ἑαυτοῦ κρίσει, ἀλλ' ἄλλους σοφοὺς τῶν ἑαυτοῦ λόγων καὶ λογισμῶν κριτὰς καθίστησι, «μὴ εἰς κενὸν τρέχῃ ἢ ἔδραμε», καὶ δι' αὐτῶν τὴν βεβαίωσιν λαμβάνει.*

59 *Ὅταν τινὰ νικήσῃς τῶν ἀτιμοτέρων παθῶν, οἷον, ἢ γαστριμαργίαν, ἢ πορνείαν, ἢ ὀργήν, ἢ πλεονεξίαν, εὐθὺς ἐφίπταται ἐπὶ σὲ ὁ τῆς κενοδοξίας λογισμός· ἐὰν δὲ τοῦτον νικήσῃς, ὁ τῆς ὑπερηφανίας διαδέχεται.*

60 *Πάντα τὰ ἄτιμα πάθη κρατοῦντα τῆς ψυχῆς, τὸν τῆς κενοδοξίας ἐξ αὐτῆς ἀπελαύνουσι λογισμόν, καὶ πάντων τῶν προειρημένων ἡττωμένων, ἐπ' αὐτὸν ἀναλύουσιν.*

61 *Ἡ κενοδοξία, ποτὲ μὲν ἀναιρουμένη, ποτὲ δὲ μένουσα, τίκτει τὴν ὑπερηφανίαν· καὶ ἀναιρουμένη μέν, οἴησιν ἐμποιεῖ, μένουσα δέ, ἀλαζονείαν.*

62 *Κενοδοξίαν ἀναιρεῖ ἡ κρυπτὴ ἐργασία, ὑπερηφανίαν δὲ τὸ τῷ Θεῷ ἐπιγράφειν τὰ κατορθώματα.*

63 *Ὁ γνώσεως Θεοῦ καταξιωθείς, καὶ τῆς ἐκ ταύτης ἡδονῆς*

20. Γαλ. 2,2.

νος πού ξερρίζωσε αὐτήν, ξερρίζωσε μαζί καί ὅλα τά πάθη πού προέρχονται ἀπ' αὐτήν.

58 Ὅπως ἀκριβῶς οἱ γονεῖς ἀγαποῦν ὑπερβολικά τά τέκνα τους, ἔτσι καί ὁ νοῦς ἀπό τή φύση του ἔχει συγκεντρωμένη τήν προσοχή του στά λόγια του. Καί ὅπως ἀκριβῶς τά τέκνα τους, καί ἄν ἀκόμα αὐτά εἶναι ὡς πρός ὅλα ἄξια γιά γέλια, φαίνονται σ' ἐκείνους ἀπό τούς γονεῖς πού τά ἀγαποῦν παθιασμένα τά πιό καλά καί τά πιό ὄμορφα, ἔτσι καί στόν ἄφρονα νοῦ τά λόγια του φαίνονται τά πιό φρόνιμα ἀπό ὅλα, καί ἄν ἀκόμη εἶναι τά πιό κακά ἀπό ὅλα. Στό σοφό ὅμως δέν φαίνονται ἔτσι τά λόγια του, ἀλλ' ὅταν νομίσει ὅτι αὐτά εἶναι ἀληθῆ καί καλά, τότε πρό πάντων δέν ἔχει ἐμπιστοσύνη στήν κρίση του, ἀλλά καθιστᾶ ἄλλους σοφούς κριτές τῶν λόγων καί λογισμῶν του, «μή τυχόν τρέχει ἤ ἔτρεξε μάταια»[20], καί παίρνει τή διαβεβαίωση ἀπ' αὐτούς.

59 Ὅταν νικήσεις ὡρισμένα ἀπό τά πιό ἀτιμωτικά πάθη, ὅπως γιά παράδειγμα ἤ τή γαστριμαργία, ἤ τήν πορνεία, ἤ τήν ὀργή, ἤ τήν πλεονεξία, ἀμέσως ὁρμᾶ ἐναντίον σου ὁ λογισμός τῆς ματαιοδοξίας· ἐάν νικήσεις αὐτόν, ἀκολουθεῖ ὁ λογισμός τῆς ὑπερηφάνειας.

60 Ὅλα τά ἀτιμωτικά πάθη, πού κυριαρχοῦν στήν ψυχή, ἀπομακρύνουν ἀπ' αὐτήν τό λογισμό τῆς ματαιοδοξίας, καί ὅταν νικηθοῦν ὅλα τά πάθη πού προαναφέρθηκαν, τότε στή θέση τους ἐμφανίζεται ὁ λογισμός τῆς ματαιοδοξίας.

61 Ἡ ματαιοδοξία, ἤ ὅταν νικιέται, ἤ ὅταν παραμένει στήν ψυχή, γεννάει τήν ὑπερηφάνεια· ὅταν νικιέται, γεννάει τήν ὑπερηφάνεια, ἐνῶ ὅταν παραμένει γεννάει τήν ἀλαζονεία.

62 Τή ματαιοδοξία τήν ξερριζώνει ἡ μυστική πνευματική ἐργασία, ἐνῶ τήν ὑπερηφάνεια τήν ἐξαφανίζει τό νά ἀποδίδει κανείς τά κατορθώματα στό Θεό.

63 Ἐκεῖνος πού ἀξιώθηκε νά γνωρίσει τό Θεό καί ἀπόλαυσε τήν ἡδονή πού προέρχεται ἀπό τή γνώση αὐτή, αὐτός περιφρονεῖ

*ἀπολαύσας γνησίως, οὗτος καταφρονεῖ τῶν ἐκ τοῦ ἐπιθυμητικοῦ τικτομένων πασῶν ἡδονῶν.*

64 *Ὁ ἐπιθυμῶν τῶν ἐπιγείων, ἢ βρωμάτων ἐπιθυμεῖ ἢ τῶν τὰ ὑπογάστρια θεραπευόντων ἢ δόξης ἀνθρωπίνης ἢ χρημάτων ἢ τινος ἄλλου τῶν τούτοις ἑπομένων· καὶ εἰ μή τι τούτων κρεῖττον εὕροι ὁ νοῦς, ἐφ' ᾧ τὴν ἐπιθυμίαν μετενέγκῃ, οὐκ ἂν τούτων καταφρονεῖν εἰς τέλος πεισθῇ. Κρείττων δὲ τούτων ἀσυγκρίτως ἡ τοῦ Θεοῦ γνῶσις καὶ τῶν θείων ἐστί.*

65 *Οἱ τῶν ἡδονῶν καταφρονοῦντες, ἢ φόβῳ καταφρονοῦσιν ἢ ἐλπίδι ἢ γνώσει ἢ καὶ τῇ εἰς Θεὸν ἀγάπῃ.*

66 *Ἡ ἄνευ πάθους τῶν θείων γνῶσις οὐ πείθει τὸν νοῦν εἰς τέλος καταφρονεῖν τῶν προσύλων, ἀλλ' ἔοικε λογισμῷ ψιλῷ πράγματος αἰσθητοῦ. Διὸ πολλοὺς ἔστιν εὑρεῖν τῶν ἀνθρώπων γνῶσιν ἔχοντας πολλὴν καὶ ἐν τοῖς τῆς σαρκὸς πάθεσι δίκην χοίρων ἐν βορβόρῳ κυλινδουμένους. Πρὸς ὀλίγον γὰρ ἐξ ἐπιμελείας καθαρθέντες, καὶ τῆς γνώσεως ἐπιτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαούλ, ὅς, βασιλείας καταξιωθεὶς καὶ ἀναξίως πολιτευσάμενος, μετ' ὀργῆς φοβερᾶς ἐξ αὐτῆς ἀπεβλήθη.*

67 *Ὥσπερ ὁ ψιλὸς τῶν ἀνθρωπίνων πραγμάτων λογισμὸς οὐκ ἀναγκάζει τὸν νοῦν καταφρονεῖν τῶν θείων, οὕτως οὐδὲ ψιλὴ γνῶσις τῶν θείων πείθει εἰς τέλος καταφρονεῖν τῶν ἀνθρωπίνων· διότι ἐν σκιαῖς νῦν ὑπάρχει καὶ εἰκασμοῖς ἡ ἀλήθεια. Καὶ διὰ τοῦτο δεῖται τοῦ μακαρίου πάθους τῆς ἁγίας ἀγάπης, τῆς συνδεσμούσης τὸν νοῦν τοῖς πνευματικοῖς θεωρήμασι, καὶ πειθούσης προτιμᾶν τῶν ὑλικῶν τὰ ἄϋλα, καὶ τῶν αἰσθητῶν τὰ νοητὰ καὶ θεῖα.*

68 *Οὐ πάντως, ὁ τὰ πάθη ἐκκόψας καὶ ψιλοὺς τοὺς λογισμοὺς*

ὅλες τίς ἡδονές πού γεννιοῦνται ἀπό τό ἐπιθυμητικό τῆς ψυχῆς.

64 Ἐκεῖνος πού ἐπιθυμεῖ τά ἐπίγεια, ἤ ἐπιθυμεῖ τίς τροφές, ἤ ἐκεῖνα πού ἱκανοποιοῦν τήν κοιλιά, ἤ τήν ἀνθρώπινη δόξα, ἤ τά χρήματα, ἤ κάτι ἄλλο ἀπό ἐκεῖνα πού ἔχουν σχέση μ' αὐτά, καί ἐάν δέν βρεῖ ὁ νοῦς κάτι ἀνώτερο ἀπ' αὐτά, στό ὁποῖο νά μεταφέρει τήν ἐπιθυμία, δέν θά πεισθεῖ ποτέ νά περιφρονεῖ αὐτά. Ἀνώτερο ἀπ' αὐτά ἀσύγκριτα εἶναι ἡ γνώση τοῦ Θεοῦ καί τῶν θείων.

65 Ἐκεῖνοι πού περιφρονοῦν τίς ἡδονές τίς περιφρονοῦν ἤ ἀπό φόβο, ἤ ἀπό ἐλπίδα γιά τά μελλοντικά ἀγαθά, ἤ ἀπό σύνεση, ἤ καί ἀπό ἀγάπη πρός τό Θεό.

66 Ἡ χωρίς πάθος γνώση τῶν θείων δέν πείθει καθόλου τό νοῦ νά περιφρονεῖ τήν προσήλωση στά ὑλικά ἀγαθά, ἀλλά μοιάζει μέ ἁπλό λογισμό αἰσθητοῦ πράγματος. Γι' αὐτό μποροῦμε νά βροῦμε πολλούς ἀνθρώπους πού νά ἔχουν πολλή γνώση καί νά κυλιοῦνται μέσα στά σαρκικά πάθη σάν ἀκριβῶς τούς χοίρους μέσα στό βοῦρκο[21]. Διότι, ἀφοῦ γιά λίγο καθαρίσθηκαν μέ τή φροντίδα πού ἔδειξαν καί ἐπέτυχαν τή γνώση, ὕστερα, ἐπειδή ἀδιαφόρησαν, ὁμοιώθηκαν μέ τό Σαούλ, ὁ ὁποῖος, ἀφοῦ ἀξιώθηκε νά λάβει τή βασιλεία καί ἔζησε κατά τρόπο ἀνάξιο, ἀπομακρύνθηκε ἀπ' αὐτήν μέ φοβερή θεία ὀργή.

67 Ὅπως ἀκριβῶς ὁ ἁπλός λογισμός τῶν ἀνθρώπινων πραγμάτων δέν ἀναγκάζει τό νοῦ νά περιφρονεῖ τά θεῖα, ἔτσι οὔτε ἡ ἁπλή γνώση τῶν θείων πείθει τελείως νά περιφρονεῖ τά ἀνθρώπινα πράγματα· διότι ἡ ἀλήθεια μέχρι τή στιγμή αὐτή βρίσκεται στίς σκιές καί τίς εἰκασίες. Καί γι' αὐτό ἔχει ἀνάγκη ἀπό τό μακάριο πάθος τῆς ἁγίας ἀγάπης, ἡ ὁποία συνδέει στενά τό νοῦ μέ τά πνευματικά θεωρήματα καί τόν πείθει νά προτιμᾶ τά ἄϋλα ἀπό τά ὑλικά, καί ἀπό τά αἰσθητά τά πνευματικά καί θεῖα.

68 Ἐκεῖνος πού ξερρίζωσε τά πάθη καί κατέστησε ἁπλούς τούς

21. Β΄ Πέτρ. 2,22.

*ἐργασάμενος, ἤδη αὐτὰ καὶ ἐπὶ τὰ θεῖα ἔτρεψεν, ἀλλὰ δύναται, μήτε πρὸς τὰ ἀνθρώπινα πάσχειν, μήτε πρὸς τὰ θεῖα, ὅπερ ἐπισυμβαίνει ἐπὶ τῶν πρακτικῶν μόνον, καὶ μήπω γνώσεως καταξιωθέντων, οἳ φόβῳ κολάσεως ἢ ἐλπίδι βασιλείας τῶν παθῶν ἀπέχονται.*

69 *«Διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους», καὶ ἐν ἐσόπτροις τὴν γνῶσιν ἔχομεν καὶ αἰνίγμασι. Καὶ διὰ τοῦτο πολλῆς δεόμεθα τῆς ἐν αὐτοῖς ἀσχολίας, ἵνα, τῇ χρονίᾳ τούτων μελέτῃ καὶ ἀδολεσχίᾳ, ἕξιν δυσαπόσπαστον τῶν θεωρημάτων ποιήσωμεν.*

70 *Ἐὰν πρὸς ὀλίγον τῶν παθῶν τὰς αἰτίας ἐκκόψαντες τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ ἀεὶ διατρίψωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα, μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ ψιλὴν γνῶσιν μετὰ οἰήσεως, ἧς τὸ τέλος ἥ τε αὐτῆς κατὰ μικρὸν τῆς γνώσεως σκότωσις καὶ ἡ παντελὴς τοῦ νοῦ ἐπὶ τὰ ὑλικὰ ἐκτροπή.*

71 *Πάθος ἀγάπης ψεκτὸν τοῖς ὑλικοῖς πράγμασι τὸν νοῦν ἐνασχολεῖ, πάθος ἀγάπης ἐπαινετόν, καὶ τοῖς θείοις αὐτὸν συνδεσμεῖ. Εἴωθε γὰρ ὁ νοῦς ἐν οἷς χρονίζει πράγμασι, ἐν αὐτοῖς καὶ πλατύνεσθαι, ἐν οἷς δὲ πλατύνεται, ἐν αὐτοῖς καὶ τὴν ἐπιθυμίαν καὶ τὴν ἀγάπην τρέψαι, εἴτε ἐν τοῖς θείοις καὶ οἰκείοις καὶ νοητοῖς, εἴτε ἐν τοῖς τῆς σαρκὸς πράγμασί τε καὶ πάθεσι.*

72 *Ὁ Θεὸς ἔκτισε τὸν ἀόρατον κόσμον καὶ τὸν ὁρώμενον, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα δηλονότι αὐτὸς ἐποίησε. Καὶ εἰ ὁ ὁρώμενος κόσμος οὕτως ἐστὶ καλός, ποῖος ἄρα ἐστὶν ὁ ἀόρατος; Εἰ δὲ κρείττων τούτου ἐκεῖνος, πόσον ὑπὲρ τοὺς δύο ὁ κτίσας τού-*

22. Β' Κορ. 5,7. 23. Α' Κορ. 13,12.

λογισμούς, δέν ἔστρεψε ὁπωσδήποτε αὐτά καί πρός τά θεῖα, ἀλλ' ἁπλῶς εἶναι δυνατό οὔτε ἀπό τά ἀνθρώπινα πάθη νά κυριεύεται, οὔτε πρός τά θεῖα νά στρέφεται, πράγμα πού συμβαίνει στήν περίπτωση μόνο τῶν πρακτικῶν, πού δέν ἀξιώθηκαν ἀκόμη ν' ἀποκτήσουν τήν πνευματική γνώση, καί οἱ ὁποῖοι ἀπέχουν ἀπό τά πάθη ἤ φοβούμενοι τήν κόλαση, ἤ ἐλπίζοντας γιά τή βασιλεία τῶν οὐρανῶν.

69 «Μέ τήν πίστη βαδίζομε τώρα τό δρόμο τῆς ζωῆς, καί ὄχι μέ βάση τά ἐξωτερικά σχήματα»[22], καί ἔχουμε τή γνώση τῶν θείων πραγμάτων σάν μέσα ἀπό καθρέφτη καί κατά τρόπο αἰνιγματικό[23]. Καί γι' αὐτό χρειαζόμαστε συνεχῆ ἀσχολία μέ αὐτά, ὥστε μέ τή διαρκή μελέτη καί διατριβή μέ αὐτά ν' ἀποκτήσουμε σταθερή καί ἀναπόσπαστη συνήθεια τῶν θείων θεωρημάτων.

70 Ἐάν γιά λίγο ἀποκόψουμε τίς αἰτίες τῶν παθῶν καί ἀσχοληθοῦμε μέ τά πνευματικά θεωρήματα, χωρίς ἡ ἐνασχόλησή μας μ' αὐτά νά εἶναι διαρκής, ἔχοντας αὐτό ἀκριβῶς σάν ἔργο μας, μέ εὐκολία πάλι μεταφερόμαστε πρός τά σαρκικά πάθη, χωρίς ν' ἀποκομίσουμε κανένα ἄλλο ὄφελος ἀπό ἐκεῖ, παρά ἁπλή γνώση καί μόνο μαζί μέ ἀλαζονεία, τῆς ὁποίας τό τέλος εἶναι ἡ σταδιακή σκότωση τῆς γνώσεως καί ἡ ὁλοκληρωτική στροφή τοῦ νοῦ πρός τά ὑλικά πράγματα.

71 Πάθος ἀγάπης ἀξιοκατάκριτο στρέφει τήν προσοχή καί φροντίδα τοῦ νοῦ πρός τά ὑλικά πράγματα, ἐνῶ πάθος ἀγάπης ἐπαινετό συνδέει αὐτόν μέ τά θεῖα. Διότι συνήθως ὁ νοῦς μέ τά πράγματα ἐκεῖνα πού ἀσχολεῖται, μέ ἐκεῖνα καί εὐχαριστεῖται, καί μέ ἐκεῖνα πού εὐχαριστεῖται, πρός αὐτά στρέφει καί τήν ἐπιθυμία καί τήν ἀγάπη του, εἴτε πρός τά θεῖα καί πνευματικά καί συγγενή μ' αὐτά, εἴτε πρός τά σαρκικά πράγματα καί πάθη.

72 Ὁ Θεός ἔκτισε τόν ἀόρατο κόσμο καί τόν ὁρατό, καί ὁ ἴδιος ἀσφαλῶς ἔπλασε τό σῶμα καί δημιούργησε τήν ψυχή. Καί ἐάν ὁ ὁρατός κόσμος εἶναι τόσο ὡραῖος, ποιός ἄραγε εἶναι ὁ ἀόρατος; Ἐάν ἐκεῖνος εἶναι ὡραιότερος ἀπ' αὐτόν, πόσο ὡραιότερος ἀπό

*τους Θεός; Εἰ οὖν κρείττων πάντων τῶν γεγονότων ὁ πάντων δημιουργὸς τῶν καλῶν, τίνι τῷ λόγῳ ἀφεὶς ὁ νοῦς τὸ πάντων κρεῖττον, τοῖς πάντων χείροσιν ἐνασχολεῖται; λέγω δὴ τοῖς τῆς σαρκὸς πάθεσιν. Ἢ δῆλον, ὅτι ταύτῃ μὲν ἐκ γενετῆς συναναστραφεὶς καὶ συνεθίσας, τοῦ δὲ πάντων κρείττονος καὶ ὑπὲρ τὰ πάντα, οὔπω τελείαν εἴληφε πεῖραν; Ἐὰν οὖν χρονίᾳ ἀσκήσει τῆς τῶν ἡδονῶν ἐγκρατείας καὶ τῆς τῶν θείων μελέτης κατὰ μικρὸν αὐτὸν τῆς τοιαύτης σχέσεως ἀπορρήξωμεν, πλατύνεταί τε ἐν τοῖς θείοις κατ' ὀλίγον προκόπτων καὶ τὸ οἰκεῖον γνωρίζει ἀξίωμα, καὶ τέλος, ὅλον τὸν πόθον ἐπὶ τὸ Θεῖον μεταφέρει.*

73 *Ὁ ἀπαθῶς λέγων ἁμάρτημα ἀδελφοῦ, κατὰ δύο αἰτίας λέγει· ἢ ἵνα αὐτὸν διορθώσηται, ἢ ἵνα ἄλλον ὠφελήσῃ. Εἰ δὲ ἐκτὸς τούτων λέγει, εἴτε αὐτῷ εἴτε ἄλλῳ, ὀνειδίζων ἢ διασύρων αὐτὸν λέγει, καὶ οὐ μὴ ἐκφύγῃ τὴν θείαν ἐγκατάλειψιν, ἀλλ' ἢ τῷ αὐτῷ ἢ ἄλλῳ πταίσματι πάντως περιπεσεῖται, καὶ ὑπὸ ἑτέρων ἐλεγχθεὶς καὶ ὀνειδισθεὶς καταισχυνθήσεται.*

74 *Οὐχ εἷς λόγος τῶν τὴν αὐτὴν ἁμαρτίαν κατ' ἐνέργειαν ἁμαρτανόντων ἐστίν, ἀλλὰ διάφοροι. Οἷον, ἄλλο ἐστὶ τὸ ἀπὸ ἕξεως ἁμαρτάνειν, καὶ ἄλλο τὸ κατὰ συναρπαγήν· ὅς, οὔτε πρὸ τῆς ἁμαρτίας εἶχε τὴν ἐνθύμησιν, οὔτε μετὰ τὴν ἁμαρτίαν, ἀλλὰ καὶ σφόδρα ἐπὶ τῷ γεγονότι ὀδυνᾶται. Ὁ δὲ ἀπὸ ἕξεως, ἐκ τοῦ ἐναντίου· καὶ πρῶτον γὰρ κατὰ διάνοιαν οὐκ ἐπαύετο ἁμαρτάνων, καὶ μετὰ τὸ πρᾶξαι τῆς αὐτῆς ἐστι διαθέσεως.*

75 *Ὁ διὰ κενοδοξίαν τὰς ἀρετὰς μετερχόμενος, δῆλον ὅτι καὶ*

αὐτούς τούς δύο κόσμους εἶναι ὁ Θεός πού δημιούργησε αὐτούς; Ἐάν λοιπόν ὡραιότερος ἀπό ὅλα τά δημιουργήματα εἶναι ὁ δημιουργός ὅλων τῶν ὡραίων, γιά ποιό λόγο ὁ νοῦς ἄφησε τό ὡραιότερο ἀπό ὅλα καί ἀσχολεῖται μέ τά χειρότερα ἀπό ὅλα; ἐννοῶ δηλαδή μέ τά πάθη τῆς σάρκας. Δέν εἶναι φανερό ὅτι τό ἔκανε αὐτό ἐπειδή ἀσχολήθηκε μέ αὐτήν ἀπό τή στιγμή πού γεννήθηκε καί συνήθισε αὐτήν, ἐνῶ δέν ἔλαβε ἀκόμη τέλεια γνώση ἐκείνου πού εἶναι ὡραιότερος ἀπό ὅλα καί πάνω ἀπό ὅλα; Ἐάν λοπόν μέ τή διαρκή ἄσκηση τῆς ἐγκράτειας ἐναντίον τῶν ἡδονῶν καί τή μελέτη τῶν θείων ἀπομακρύνουμε τό νοῦ σιγά σιγά ἀπό τή σχέση του αὐτή μέ τίς ἡδονές, σιγά σιγά αὐξάνεται ἡ εὐχαρίστησή του καί ἡ προκοπή του πρός τά θεῖα καί γνωρίζει τή δική του τιμή, καί στό τέλος μεταφέρει ὅλον τόν πόθο του πρός τό Θεό.

73 Ἐκεῖνος πού μέ ἀπάθεια ὁμιλεῖ γιά τά ἁμαρτήματα τοῦ ἀδελφοῦ του, ὁμιλεῖ γι' αὐτά γιά δύο λόγους· ἤ για νά διορθώσει αὐτόν, ἤ γιά νά ὠφελήσει ἄλλον. Ἐάν ὁμιλεῖ γι' αὐτά ἐκτός ἀπό τούς λόγους αὐτούς, εἴτε γι' αὐτόν, εἴτε γιά ἄλλον, ὁμιλεῖ γι' αὐτά μέ σκοπό νά τόν κατηγορήσει καί νά τόν διασύρει, καί γι' αὐτό δέν θά διαφύγει τή θεία ἐγκατάλειψη, ἀλλά θά ὑποπέσει ὁπωσδήποτε καί αὐτός στό ἴδιο ἤ σέ ἄλλο παράπτωμα, καί θά καταντροπιασθεῖ ἀφοῦ ἐλεγχθεῖ καί κατηγορηθεῖ ἀπό ἄλλους.

74 Δέν εἶναι μία ἡ αἰτία ἐκείνων πού διαπράτουν ἔμπρακτα τήν ἴδια ἁμαρτία, ἀλλά διάφορες. Γιά παράδειγμα ἄλλο τό ν' ἁμαρτάνει κανείς ἀπό συνήθεια, καί ἄλλο παρασυρόμενος πρός στιγμή· διότι αὐτός οὔτε πρίν ἀπό τήν ἁμαρτία εἶχε αὐτήν στή σκέψη του, οὔτε τήν ἔχει μετά τήν ἁμαρτία, ἀλλά καί λυπᾶται ὑπερβολικά γιά τή διάπραξη αὐτῆς. Τό ἀντίθετο ὅμως συμβαίνει μέ ἐκεῖνον πού διαπράττει αὐτήν ἀπό συνήθεια· διότι καί πρίν διαπράξει αὐτήν δέν ἔπαυε ν' ἁμαρτάνει μέ τή σκέψη του, καί μετά τή διάπραξη ἐξακολουθεῖ νά ἔχει τήν ἴδια διάθεση.

75 Ἐκεῖνος πού ἀσκεῖ τίς ἀρετές ἀπό ματαιοδοξία, εἶναι ὁλο-

*τὴν γνῶσιν διὰ κενοδοξίαν μετέρχεται. Ὁ δὲ τοιοῦτος, οὐδὲ πρὸς οἰκοδομὴν δηλονότι πράττει τι ἢ διαλέγεται, ἀλλ' ἐν πᾶσι τὴν παρὰ τῶν βλεπόντων ἢ ἀκουόντων δόξαν θηρώμενος. Ἐλέγχεται δὲ τὸ πάθος, ὅταν τινὲς τῶν προειρημένων τοῖς ἔργοις ἢ τοῖς λόγοις αὐτοῦ ψόγον ἐπιφέρωσι, καὶ ἐπὶ τούτῳ σφόδρα λυπῆται, οὐ διὰ τὸ μὴ ἐκείνους οἰκοδομεῖσθαι (οὐδὲ γὰρ τοῦτο εἶχε σκοπόν), ἀλλὰ διὰ τὸ αὐτὸν ἐξουδενωθῆναι.*

76 *Τὸ τῆς φιλαργυρίας πάθος ἐντεῦθεν ἐλέγχεται, ἐν τῷ χαίροντα λαμβάνειν, καὶ λυπούμενον μεταδιδόναι. Οὐ δύναται δὲ ὁ τοιοῦτος οἰκονομικὸς εἶναι.*

77 *Διὰ ταῦτά τις πάσχων ὑπομένει· ἢ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἢ διὰ τὴν ἐλπίδα τῆς μισθαποδοσίας, ἢ διὰ τὸν φόβον τῆς κολάσεως, ἢ διὰ τὸν φόβον τῶν ἀνθρώπων, ἢ διὰ τὴν φύσιν, ἢ διὰ τὴν ἡδονήν, ἢ διὰ κέρδος, ἢ διὰ κενοδοξίαν, ἢ διὰ ἀνάγκην.*

78 *Ἄλλο ἐστὶ λογισμῶν ἀπαλλαγῆναι, καὶ ἄλλο παθῶν ἐλευθερωθῆναι. Καὶ πολλάκις τις λογισμῶν ἀπαλλάττεται μὴ παρόντων τῶν πραγμάτων ἐκείνων, πρὸς ἅπερ τὰ πάθη κέκτηται· κρύπτεται δὲ τὰ πάθη ἐν τῇ ψυχῇ, καὶ ἀναφαινόντων τῶν πραγμάτων ἐλέγχονται. Χρὴ οὖν τηρεῖν τὸν νοῦν ἐπὶ τῶν πραγμάτων, καὶ γνῶναι πρὸς ποῖον ἔχει τὸ πάθος.*

79 *Φίλος ἐκεῖνός ἐστι γνήσιος, ὁ τὰς ἐκ περιστάσεως θλίψεις καὶ ἀνάγκας καὶ συμφορὰς ἐν καιρῷ πειρασμοῦ συνυποφέρων τῷ πλησίον ὡς ἰδίας, ἀθορύβως καὶ ἀταράχως.*

80 *Μὴ ἀτιμάσῃς τὴν συνείδησιν, ἄριστά σοι ἀεὶ συμβουλεύου-*

φάνερο ὅτι φροντίζει καί γιά τήν ἀπόκτηση τῆς γνώσεως. Φανερό εἶναι ὅτι ὁ ἄνθρωπος αὐτός οὔτε κάμνει καί λέγει κάτι γιά οἰκοδομή, ἀλλά σ' ὅλα προσπαθεῖ ν' ἀποσπάσει δόξα ἐκ μέρους ἐκείνων πού τόν βλέπουν καί τόν ἀκοῦν. Τό πάθος του αὐτό ἐλέγχεται, ὅταν μερικοί ἀπ' αὐτούς πού τόν βλέπουν ἤ τόν ἀκοῦν κατηγορήσουν τίς πράξεις ἤ τά λόγια του, πράγμα πού τόν κάνει νά λυπηθεῖ ὑπερβολικά, ὄχι ἐπειδή δέν ὠφελοῦνται πνευματικά ἐκεῖνοι (διότι δέν εἶχε αὐτό σάν σκοπό), ἀλλ' ἐπειδή ξευτελίσθηκε τελείως.

76 Τό πάθος τῆς φιλαργυρίας γίνεται φανερό ἀπό τό ἑξῆς, ὅταν δηλαδή χαίρεται κανείς πού παίρνει, καί λυπᾶται πού δίνει. Ὁ ἄνθρωπος αὐτός δέν εἶναι δυνατό νά εἶναι οἰκονόμος.

77 Γι' αὐτούς τούς λόγους δείχνει κανείς ὑπομονή ὅταν πάσχει· ἤ ἐξ αἰτίας τῆς ἀγάπης του πρός τό Θεό, ἤ ἐπειδή ἐλπίζει νά λάβει ἀμοιβή, ἤ ἐπειδή φοβᾶται τήν κόλαση, ἤ ἐπειδή φοβᾶται τούς ἀνθρώπους, ἤ ἐξ αἰτίας τῆς φύσεώς του, ἤ ἐξ αἰτίας τῆς ἡδονῆς, ἤ ἐξ αἰτίας τοῦ κέρδους, ἤ ἀπό ματαιοδοξία, ἤ ἀπό ἀνάγκη.

78 Ἄλλο πράγμα εἶναι ν' ἀπαλλαγεῖ κανείς ἀπό λογισμούς, καί ἄλλο νά ἐλευθερωθεῖ ἀπό πάθη. Πολλές φορές κανείς ἀπαλλάσσεται ἀπό λογισμούς ἐπειδή δέν ὑπάρχουν τά πράγματα ἐκεῖνα ἀπό τά ὁποῖα δημιουργοῦνται τά πάθη· τά πάθη κρύβονται τότε μέσα στήν ψυχή καί φανερώνονται ὅταν παρουσιασθοῦν τά πράγματα. Πρέπει λοιπόν νά προσέχουμε τό νοῦ ὡς πρός τή σχέση του μέ τά πράγματα, καί νά γνωρίζουμε πρός ποιό πράγμα ἔχει τό πάθος.

79 Φίλος γνήσιος εἶναι ἐκεῖνος πού στόν καιρό τοῦ πειρασμοῦ ὑποφέρει ἀθόρυβα καί ἀτάραχα μαζί μέ τόν πλησίον του σάν δικές του τίς θλίψεις, τίς ἀνάγκες καί τίς συμφορές πού προξενοῦν οἱ περιστάσεις σ' αὐτόν.

80 Μή περιφρονήσεις τή συνείδηση πού πάντοτε σοῦ δίνει

*σαν. Γνώμην γὰρ θείαν καὶ ἀγγελικήν σοι ὑποτίθεται, καὶ τῶν κρυπτῶν τῆς καρδίας μολυσμάτων ἐλευθεροῖ, καὶ παρρησίαν πρὸς τὸν Θεὸν ἐν τῇ ἐξόδῳ σοι χαρίζεται.*

81 *Εἰ θέλεις γενέσθαι ἐπιγνώμων καὶ μέτριος καὶ τῷ πάθει τῆς οἰήσεως μὴ δουλεύειν, ἀεὶ ζήτει ἐν τοῖς οὖσι, τί ἐστι κρυπτόμενον τῇ σῇ γνώσει. Καὶ εὑρίσκων πάμπολλα καὶ διάφορα πράγματα λανθάνοντά σε, θαυμάσεις τε ἐπὶ τῇ σῇ ἀγνωσίᾳ καὶ συστελεῖς τὸ φρόνημα· καί, σεαυτὸν ἐπιγνούς, συνήσεις πολλὰ καὶ μεγάλα καὶ θαυμαστὰ πράγματα. Ἐπεὶ τὸ νομίζειν εἰδέναι, οὐκ ἐᾷ προκόπτειν εἰς τὸ εἰδέναι.*

82 *Οὗτος ἀκριβῶς θέλει σωθῆναι, ὁ τοῖς ἰατρικοῖς φαρμάκοις μὴ ἀνθιστάμενος. Αὗται δέ εἰσιν ὀδύναι καὶ λύπαι διὰ ποικίλων ἐπιφορῶν ἐπαγόμεναι. Ὁ δὲ ἀνθιστάμενος, οὐκ οἶδε τί ἐνταῦθα πραγματεύεται, οὐδὲ τί ἐντεῦθεν ὠνησόμενος ἀπελεύσεται.*

83 *Κενοδοξία καὶ φιλαργυρία ἀλλήλων εἰσὶ γεννητικαί. Οἱ μὲν γὰρ κενοδοξοῦντες πλουτοῦσιν, οἱ δὲ πλουτοῦντες κενοδοξοῦσιν, ἀλλ' ὡς κοσμικοί· ἐπεὶ ὁ μοναχός, ἀκτήμων ὤν, μᾶλλον κενοδοξεῖ. Ἀργύριον δὲ ἔχων, κρύπτει αὐτό, αἰσχυνόμενος ὡς ἀνοίκειον πρᾶγμα τοῦ σχήματος ἔχων.*

84 *Τῆς τοῦ μοναχοῦ κενοδοξίας ἴδιον, τὸ ἐπ' ἀρετῇ κενοδοξεῖν καὶ τοῖς ταύτῃ ἀκολουθοῦσι· τῆς δὲ ὑπερηφανίας αὐτοῦ ἴδιον, τὸ ἐπὶ κατορθώμασιν ἐπαίρεσθαι καὶ ἐξουθενεῖν τοὺς ἄλλους, καὶ τὸ ἑαυτῷ ταῦτα καὶ μὴ τῷ Θεῷ ἐπιγράφειν. Τῆς δὲ τοῦ κοσμι-*

ἄριστες συμβουλές. Διότι σοῦ ὑποδεικνύει θεία καί ἀγγελική συμβουλή, σ' ἐλευθερώνει ἀπό τούς κρυφούς μολυσμούς τῆς καρδιᾶς, καί σοῦ χαρίζει παρρησία ἐνώπιον τοῦ Θεοῦ κατά τό θάνατό σου.

81 Ἐάν θέλεις ν' ἀποκτήσεις σύνεση καί μετριοφροσύνη καί νά μήν εἶσαι δοῦλος τῆς ἀλαζονείας, νά ζητᾶς πάντοτε νά βρεῖς μέσα στά πράγματα τί εἶναι ἐκεῖνο πού δέν τό γνωρίζεις. Βρίσκοντας τότε πάρα πολλά καί διάφορα πράγματα νά τά ἀγνοεῖς, καί θά μείνεις κατάπληκτος γιά τήν ἀγνωσία σου, καί θά κυριευθεῖς ἀπό μετριοφροσύνη, καί, ἀφοῦ ἀποκτήσεις ἐπίγνωση τοῦ ἑαυτοῦ σου, θά κατανοήσεις πολλά καί μεγάλα καί θαυμαστά πράγματα. Διότι τό νά νομίζεις ὅτι τά γνωρίζεις ὅλα δέν σ' ἀφήνουν νά προκόβεις στή γνώση.

82 Αὐτός ἀκριβῶς εἶναι ἐκεῖνος πού θέλει νά σωθεῖ, αὐτός πού δέν προβάλλει ἄρνηση στά ἰατρικά φάρμακα. Τά φάρμακα αὐτά εἶναι οἱ μεγάλες θλίψεις καί λύπες πού παραχωροῦνται μέ τίς διάφορες δοκιμασίες. Ἐκεῖνος πού ἀρνεῖται αὐτά δέν γνωρίζει τί κερδίζει ἀπ' αὐτά, οὔτε ποιά ὠφέλεια θ' ἀποκτήσει ἀπ' αὐτά ὅταν φύγει γιά τήν ἄλλη ζωή.

83 Ἡ ματαιοδοξία καί ἡ φιλαργυρία γεννοῦν ἡ μία τήν ἄλλη. Διότι οἱ ματαιόδοξοι ἀποκτοῦν πλούτη, ἐνῶ ἐκεῖνοι πού ἀποκτοῦν πλούτη, εἶναι ματαιόδοξοι, ἀλλά σάν ἄνθρωποι τοῦ κόσμου· καθόσον ὁ μοναχός, ἐνῶ εἶναι ἀκτήμονας, εἶναι περισσότερο ματαιόδοξος. Ἐάν ἔχει χρήματα τά κρύβει, ἐπειδή ντρέπεται γιά τό ὅτι ἔχει ἕνα πράγμα πού δέν ταιριάζει στό σχῆμα του.

84 Γνώρισμα τῆς ματαιοδοξίας τοῦ μοναχοῦ εἶναι τό νά ματαιοδοξεῖ γιά τήν ἀρετή του καί γιά ὅλα ἐκεῖνα πού ἔχουν σχέση μ' αὐτήν, ἐνῶ γνώρισμα τῆς ὑπερηφάνειας αὐτοῦ εἶναι τό νά ὑπερηφανεύεται γιά τά κατορθώματά του καί νά δείχνει περιφρόνηση πρός τούς ἄλλους, καθώς καί τό ν' ἀποδίδει αὐτά στόν ἑαυτό του καί ὄχι στό Θεό. Ἀντίθετα γνώρισμα τῆς ματαιοδοξίας καί ὑπερηφάνειας τοῦ ἀνθρώπου τοῦ κόσμου εἶναι τό νά

*κοῦ κενοδοξίας καὶ ὑπερηφανίας ἴδιον, τὸ ἐπὶ κάλλει καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ φρονήσει κενοδοξεῖν καὶ ἐπαίρεσθαι.*

85 *Τὰ τῶν κοσμικῶν κατορθώματα, πτώματά εἰσι τῶν μοναχῶν, καὶ τῶν μοναχῶν κατορθώματα, πτώματά εἰσι τῶν κοσμικῶν. Οἷον, τὰ τῶν κοσμικῶν κατορθώματα, πλοῦτός ἐστι καὶ δόξα καὶ δυναστεία καὶ τρυφὴ καὶ εὐσαρκία καὶ εὐτεκνία, καὶ τὰ τούτων ἀκόλουθα, εἰς ἅπερ ἐλθὼν ὁ μοναχός, ἀπόλλυται. Τὰ δὲ τοῦ μοναχοῦ κατορθώματα, ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, κακοπάθεια, καὶ τὰ τούτων ἀκόλουθα, εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος παρὰ πρόθεσιν, πτῶμα ἡγεῖται μέγα, καὶ κινδυνεύει πολλάκις καὶ ἀγχόνῃ χρήσασθαι, τινὲς δὲ καὶ ἐχρήσαντο.*

86 *Τὰ βρώματα διὰ δύο αἰτίας ἐκτίσθη· τροφῆς ἕνεκα καὶ θεραπείας. Οἱ οὖν πάρεξ τούτων μεταλαμβάνοντες, ὡς παραχρώμενοι τοῖς εἰς χρῆσιν παρὰ Θεοῦ δοθεῖσιν, ὡς τρυφηταὶ κατακρίνονται. Καὶ ἐπὶ πάντων δὲ τῶν πραγμάτων, ἡ παράχρησίς ἐστιν ἡ ἁμαρτία.*

87 *Ταπεινοφροσύνη ἐστὶ προσευχὴ συνεχὴς μετὰ δακρύων καὶ πόνων. Αὕτη γὰρ ἀεὶ τὸν Θεὸν εἰς βοήθειαν ἐπικαλουμένη, εἰς τὴν ἰδίαν δύναμιν καὶ σοφίαν ἀφρόνως θαρρεῖν οὐκ ἐᾷ, οὐδὲ ἄλλων κατεπαίρεσθαι, ἅτινά εἰσι χαλεπὰ νοσήματα τοῦ τῆς ὑπερηφανίας πάθους.*

88 *Ἄλλο ἐστὶ μάχεσθαι τῷ ψιλῷ λογισμῷ, ἵνα μὴ κινήσῃ τὸ πάθος, καὶ ἄλλο ἐστὶ τὸ ἐμπαθεῖ μάχεσθαι, ἵνα μὴ γένηται συγκατάθεσις. Οἱ ἀμφότεροι δὲ τρόποι οὐκ ἐῶσι χρονίσαι τοὺς λογισμούς.*

ματαιοδοξεῖ καί νά ὑπερηφανεύεται γιά τό κάλλος του, τόν πλοῦτο του, τήν ἐξουσία του, καί τή σύνεσή του.

85 Τά κατορθώματα τῶν κοσμικῶν εἶναι αἰτίες πτώσεως τῶν μοναχῶν, ἐνῶ τά κατορθώματα μοναχῶν εἶναι αἰτίες πτώσεως τῶν κοσμικῶν. Γιά παράδειγμα, τά κατορθώματα τῶν κοσμικῶν εἶναι ὁ πλοῦτος, ἡ δόξα, ἡ ἐξουσία, ἡ ὑλική ἀπόλαυση, ἡ εὐσαρκία, ἡ ἀπόκτηση πολλῶν καί καλῶν τέκνων, καί τά σχετικά μ' αὐτά, στά ὁποῖα ἐάν φθάσει ὁ μοναχός καταστρέφεται. Τά κατορθώματα πάλι τοῦ μοναχοῦ εἶναι ἡ ἀκτημοσύνη, ἡ περιφρόνηση τῆς δόξας, ἡ ἀποφυγή τῆς κοσμικῆς δύναμης, ἡ ἐγκράτεια, ἡ κακοπάθεια, καί τά σχετικά μ' αὐτά, στά ὁποῖα ἄν φθάσει ὁ φιλόκοσμος χωρίς τή θέλησή του, τό θεωρεῖ μεγάλη δυστυχία του, καί κινδυνεύει πολλές φορές νά κάνει χρήση καί τῆς ἀγχόνης, μερικοί μάλιστα καί χρησιμοποίησαν αὐτήν.

86 Οἱ τροφές γιά δύο αἰτίες δημιουργήθηκαν, γιά νά τρεφόμαστε καί γιά νά θεραπευόμαστε. Ἐκεῖνοι λοιπόν πού χρησιμοποιοῦν αὐτές ἐκτός ἀπ' αὐτούς τούς λόγους, ἐπειδή κάνουν κακή χρήση ἐκείνων πού δόθηκαν ἀπό τό Θεό πρός χρησιμότητα αὐτῶν, κατακρίνονται σάν φιλήδονοι. Ἀλλά καί σ' ὅλα τά πράγματα ἡ κατάχρηση εἶναι ἁμαρτία.

87 Ταπεινοφροσύνη εἶναι συνεχής προσευχή, συνοδευόμενη ἀπό δάκρυα καί κόπους. Διότι αὐτή, ἐπικαλούμενη πάντοτε τό Θεό σέ βοήθεια, δέν ἀφήνει τόν ἄνθρωπο νά πιστεύει ἀνόητα στή δική του δύναμη καί σοφία, οὔτε καί νά ταπεινώνει ἄλλους, πράγματα πού εἶναι φοβερά νοσήματα τοῦ πάθους τῆς ὑπερηφάνειας.

88 Ἄλλο πράγμα εἶναι τό νά πολεμάει κανείς ἐναντίον τοῦ ἁπλοῦ λογισμοῦ, γιά νά μή θέσει σέ ἐνέργεια τό ἀνάλογο πάθος, καί ἄλλο πράγμα εἶναι τό νά πολεμάει ἐναντίον τοῦ ἐμπαθοῦς λογισμοῦ, γιά νά μή δοθεῖ ἡ συγκατάθεση. Καί οἱ δύο αὐτοί τρόποι πολέμου δέν ἀφήνουν τούς λογισμούς νά γίνουν χρόνιοι.

89 *Ἡ λύπη τῇ μνησικακίᾳ συνέζευκται. Ὅταν οὖν ὁ νοῦς τὸ πρόσωπον τοῦ ἀδελφοῦ μετὰ λύπης ἐσοπτρίζηται, δῆλον ὅτι μνησικακίαν ἔχει πρὸς αὐτόν· «ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον», διότι, «πᾶς μνησίκακος, παράνομος».*

90 *Ἐὰν μὲν σὺ μνησικακῇς τινι, προσεύχου ὑπὲρ αὐτοῦ, καὶ ἱστᾷς τὸ πάθος τῆς κινήσεως, χωρίζων τὴν λύπην διὰ τῆς προσευχῆς, ἐκ τῆς μνήμης τοῦ κακοῦ, οὗπέρ σοι ἐποίησεν· ἀγαπητικὸς δὲ γενόμενος καὶ φιλάνθρωπος, παντελῶς ἐκ τῆς ψυχῆς τὸ πάθος ἐξαφανίζεις. Ἐὰν δὲ ἄλλος σοι μνησικακῇ, χαριστικὸς γενοῦ πρὸς αὐτὸν καὶ ταπεινός, καὶ καλῶς συναυλίζου, καὶ ἀπαλλάττεις αὐτὸν τοῦ πάθους.*

91 *Τοῦ φθονοῦντος τὴν λύπην κόπῳ στήσεις· συμφορὰν γὰρ ἡγεῖται, τὸ ἐν σοὶ φθονούμενον, καὶ οὐ δυνατὸν ἄλλως στῆσαι, εἰ μή τι κρύψεις αὐτόν. Εἰ δὲ πολλοὺς μὲν ὠφελεῖ, ἐκεῖνον δὲ λυπεῖ, ποίου μέρους περιφρονήσεις; Ἀναγκαῖον οὖν τῆς τῶν πολλῶν γενέσθαι ὠφελείας, κἀκείνου δὲ κατὰ δύναμιν μὴ ἀμελεῖν· μηδὲ τῇ τοῦ πάθους πονηρίᾳ συναπαχθῆναι, ὡς οὐχὶ τῷ πάθει, ἀλλὰ τῷ πάσχοντι ἀμυνόμενον, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἡγεῖσθαι αὐτὸν ὑπερέχοντα σεαυτοῦ, καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι προτιμᾶν αὐτόν. Τὸν δὲ σὸν φθόνον δύνασαι στῆσαι, ἐὰν ἐν οἷς χαίρει ὁ ὑπὸ σοῦ φθονούμενος, συγχαίρῃς, καὶ ἐν οἷς λυπεῖται, καὶ αὐτὸς σὺ συλλυπῇ, πληρῶν τὸ τοῦ Ἀποστόλου, τό, «χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων».*

---

24. Παροιμ. 12,28.
25. Παροιμ. 21,24.

89 Ἡ λύπη εἶναι στενά συνδεδεμένη μέ τή μνησικακία. Ὅταν λοιπόν ὁ νοῦς φέρνει στή σκέψει του τό πρόσωπο τοῦ ἀδελφοῦ του μέ λύπη, εἶναι φανερό ὅτι τρέφει μνησικακία γι' αὐτό· «οἱ δρόμοι ὅμως τῶν μνησίκακων ὁδηγοῦν στό θάνατο»[24], διότι, «ὁ κάθε μνησίκακος εἶναι παράνομος»[25].

90 Ἐάν σύ τρέφεις μνησικακία ἐναντίον κάποιου, νά προσεύχεσαι γι' αὐτόν, ὁπότε θά σταματήσεις τήν ἐπενέργεια τοῦ πάθους, ἀπομακρύνοντας μέ τήν προσευχή τή λύπη ἀπό τήν ἀνάμνηση τοῦ κακοῦ πού σοῦ ἔκανε, καί ἔτσι, ἀφοῦ ἀποκτήσεις τήν ἀγάπη πρός αὐτόν καί γίνεις φιλάνθρωπος, θά ἐξαφανίσεις ἐξ ὁλοκλήρου ἀπό τήν ψυχή σου τό πάθος. Ἐάν πάλι ἄλλος τρέφει μνησικακία ἐναντίον σου, συγχώρησε αὐτόν καί δεῖξε ταπεινοφροσύνη, καί, συναναστρεφόμενος αὐτόν μέ καλωσύνη, τόν ἀπαλλάσσεις ἀπό τό πάθος του αὐτό.

91 Τή λύπη ἐκείνου πού σέ φθονεῖ μέ κόπο θά τή σταματήσεις· διότι θεωρεῖ συμφορά του ἐκεῖνο τό πράγμα γιά τό ὁποῖο σέ φθονεῖ, καί δέν εἶναι δυνατό μέ ἄλλο τρόπο νά σταματήσεις τό φθόνο του, ἐάν δέν ἀποκρύψεις αὐτό γιά τό ὁποῖο σέ φθονεῖ. Ἐάν ὅμως αὐτό ὠφελεῖ πολλούς, ἐνῶ ἐκεῖνον τόν λυπεῖ, γιά ποιό ἀπό τά δύο θά δείξεις ἀδιαφορία; Πρέπει βέβαια νά φροντίσεις γιά τήν ὠφέλεια τῶν πολλῶν, νά μή δείξεις ὅμως ἀδιαφορία γιά ἐκεῖνον, ὅσο φυσικά εἶναι δυνατόν· οὔτε νά παρασυρθεῖς ἀπό τήν κακία τοῦ πάθους, καί ἔτσι νά βρεθεῖς νά πολεμᾶς ὄχι τό πάθος του, ἀλλά τόν ἴδιο πού πάσχει ἀπ' αὐτό, ἀλλά, δείχνοντας ταπεινοφροσύνη, νά θεωρεῖς αὐτόν ἀνώτερο ἀπό σένα, καί σέ κάθε περίπτωση καί τόπο καί πράγμα νά θεωρεῖς ἀνώτερον αὐτόν. Τόν δικό σου πάλι φθόνο μπορεῖς νά σταματήσεις, ἐάν χαίρεσαι καί ἐσύ γιά ἐκεῖνο πού χαίρεται ἐκεῖνος πού σύ φθονεῖς, καί λυπᾶσαι καί σύ μαζί μέ ἐκεῖνον γιά ἐκεῖνα πού λυπᾶται αὐτός, ἐκπληρώνοντας ἔτσι τά λόγια τοῦ Ἀποστόλου· «νά χαίρεσθε μαζί μέ ἐκείνους πού χαίρονται, καί νά κλαῖτε μαζί μέ ἐκείνους πού κλαίουν»[26].

26. Ρωμ. 12,15.

92 *Ὁ νοῦς ἡμῶν μέσος ἐστὶ δύο τινῶν, ἑκάστου τὰ ἴδια ἐνεργοῦντος· τοῦ μέν, τὴν ἀρετήν, τοῦ δέ, τὴν κακίαν· τουτέστι ἀγγέλου καὶ δαίμονος. Ἐξουσίαν δὲ ἔχει ὁ νοῦς καὶ δύναμιν ᾧ θέλει εἴτε ἕπεσθαι, εἴτε ἀντιστῆναι.*

93 *Αἱ μὲν ἅγιαι Δυνάμεις προτρέπονται ἡμᾶς ἐπὶ τὰ καλά, τὰ δὲ φυσικὰ σπέρματα καὶ ἡ ἀγαθὴ προαίρεσις, βοηθοῦσιν ἡμῖν· τὰς δὲ τῶν δαιμόνων προσβολάς, τὰ πάθη καὶ ἡ πονηρὰ προαίρεσις συνιστῶσι.*

94 *Τὸν καθαρὸν νοῦν, ποτὲ μὲν αὐτὸν ὁ Θεὸς αὐτῷ ἐπιβαίνων διδάσκει, ποτὲ δὲ αἱ ἅγιαι Δυνάμεις τὰ καλὰ ὑποτίθενται, ποτὲ δὲ ἡ φύσις τῶν πραγμάτων θεωρουμένη.*

95 *Χρὴ τὸν καταξιωθέντα γνώσεως νοῦν, τά τε νοήματα τηρεῖν ἀπαθῆ τῶν πραγμάτων, καὶ τὰ θεωρήματα ἀσφαλῆ, καὶ τὴν τῆς προσευχῆς κατάστασιν ἀθόλωτον. Οὐ δύναται δὲ ταῦτα ἀεὶ τηρεῖν ἐκ τῶν τῆς σαρκὸς ἀναδόσεων, διὰ τῆς τῶν δαιμόνων ἐπιβουλῆς καπνιζόμενος.*

96 *Οὐ δι' ὅσα λυπούμεθα, διὰ ταῦτα καὶ ὀργιζόμεθα. Πλεονάζει γὰρ τὰ τὴν λύπην ἐμποιοῦντα, παρὰ τὴν ὀργήν. Οἷον, ἐκλάσθη τόδε, ἀπώλετο τόδε, ἀπέθανεν ὁ δεῖνα. Διὰ γὰρ τὰ τοιαῦτα λυπούμεθα μόνον, διὰ δὲ τὰ λοιπὰ καὶ λυπούμεθα καὶ ὀργιζόμεθα, ἀφιλοσόφως διακείμενοι.*

97 *Δεχόμενος ὁ νοῦς τὰ τῶν πραγμάτων νοήματα, πρὸς ἕκαστον νόημα μετασχηματίζεσθαι πέφυκε. Θεωρῶν δὲ ταῦτα πνευματικῶς, πρὸς ἕκαστον θεώρημα ποικίλως μεταμορφοῦσθαι. Ἐν δὲ Θεῷ γενόμενος, ἄμορφος πάντη καὶ ἀσχημάτιστος*

92 Ὁ νοῦς μας βρίσκεται ἀνάμεσα σέ δύο πράγματα, πού τό καθένα ἀσκεῖ τή δική του ἐνέργεια· τό ἕνα ἀσκεῖ τήν ἀρετή, ἐνῶ τό ἄλλο τήν κακία· δηλαδή βρίσκεται ἀνάμεσα στόν ἄγγελο καί στό δαίμονα. Ὁ νοῦς ὅμως ἔχει τήν ἐξουσία καί τή δύναμη ν' ἀκολουθεῖ ἤ νά ἀντιστέκεται σ' ὅποιον ἀπό τούς δύο θέλει.

93 Οἱ ἅγιες Δυνάμεις μᾶς προτρέπουν νά κάμνομε τά καλά, ἐνῶ τά σπέρματα πού ὑπάρχουν ἀπό τή φύση μας μέσα μας καί ἡ ἀγαθή προαίρεση μᾶς βοηθοῦν σ' αὐτό· στίς προσβολές πάλι τῶν δαιμόνων ἐναντίον μας συνεργοῦν τά πάθη καί ἡ πονηρή προαίρεση.

94 Πολλοί βέβαια εἶναι οἱ φίλοι, ἀλλ' ὅμως μόνο κατά τόν καιρό τῆς εὐτυχίας, ἐνῶ κατά τόν καιρό τῶν πειρασμῶν μόλις καί μετά δυσκολίας θά βρεῖς ἕναν.

95 Πρέπει ὁ νοῦς πού ἀξιώθηκε νά λάβει τήν πνευματική γνώση, νά τηρεῖ καί ἀπαθή τά νοήματα τῶν πραγμάτων, καί τά θεωρήματα ἀσφαλή, καί τήν κατάσταση τῆς προσευχῆς ἀθόλωτη. Δέν μπορεῖ ὅμως νά τηρεῖ πάντοτε αὐτά ἔτσι, ἐξ αἰτίας τῶν σαρκικῶν ἐκρήξεων πού φουντώνει τό ἄναμμά τους ἀπό τήν κακή ἐπενέργεια τῶν δαιμόνων.

96 Δέν συμβαίνει γιά ὅσα πράγματα λυπούμαστε νά ὀργιζόμαστε καί γιά τά ἴδια. Διότι εἶναι περισσότερα ἐκεῖνα πού προξενοῦν τή λύπη ἀπό ἐκεῖνα πού προξενοῦν τήν ὀργή. Ὅπως γιά παράδειγμα ἔσπασε αὐτό, χάθηκε ἐκεῖνο, πέθανε ὁ τάδε. Γιά ὅλα αὐτά λοιπόν καί τά παρόμοιά τους λυπούμαστε μόνο, ἐνῶ γιά ἄλλα καί λυπούμαστε καί ὀργιζόμαστε, μή ἀντιμετωπίζοντας αὐτά μέ φιλοσοφικότητα.

97 Δεχόμενος ὁ νοῦς τά νοήματα τῶν πραγμάτων, ἀπό τή φύση του παίρνει τήν ἀνάλογη θέση ἀπέναντι στό κάθε νόημα. Θεωρώντας αὐτά κατά τρόπο πνευματικό μεταμορφώνεται κατά τρόπο διάφορο πρός κάθε θεώρημα. Φθάνοντας ὅμως στή θεώρηση τοῦ Θεοῦ, γίνεται τότε τελείως ἄμορφος καί ἀσχημάτι-

*γίνεται. Τὸν γὰρ μονοειδῆ θεωρῶν, μονοειδὴς γίνεται καὶ ὅλος φωτοειδής.*

98 *Ψυχή ἐστι τελεία, ἧς ἡ παθητικὴ δύναμις νένευκεν ὁλοτελῶς πρὸς Θεόν.*

99 *Νοῦς ἐστι τέλειος ὁ διὰ πίστεως ἀληθοῦς τὸν ὑπεράγνωστον ὑπεραγνώστως ὑπερεγνωκώς, καὶ τῶν αὐτοῦ δημιουργημάτων τὰ καθόλου θεασάμενος· καὶ τῆς ἐν αὐτοῖς Προνοίας καὶ κρίσεως, τὴν περιληπτικὴν γνῶσιν παρὰ Θεοῦ εἰληφώς, ὡς ἐν ἀνθρώποις δέ φημι.*

100 *Τριχῶς τέμνεται ὁ χρόνος· καὶ ἡ μὲν πίστις τοῖς τρισὶ συμπαρατείνεται τμήμασι, ἡ δὲ ἐλπὶς τῷ ἑνί, ἡ δὲ ἀγάπη τοῖς δυσί. Καὶ ἡ μὲν πίστις καὶ ἐλπὶς μέχρι τινός, ἡ δὲ ἀγάπη εἰς ἀπείρους αἰῶνας τῷ ὑπεραπείρῳ ὑπερηνωμένη καὶ ἀεὶ ὑπεραύξουσα διαμένει. Καὶ διὰ τοῦτο, «μείζων πάντων ἡ ἀγάπη».*

στος. Διότι, θεωρώντας τόν ἁπλό Θεό, γίνεται καί αὐτός ὁλόκληρος ἁπλός καί φωτοειδής.

98 Τέλεια ψυχή εἶναι ἐκείνη τῆς ὁποίας ἡ παθητική δύναμη εἶναι στραμμένη ἐξ ὁλοκλήρου πρός τό Θεό.

99 Τέλειος νοῦς εἶναι ἐκεῖνος πού μέ πίστη ἀληθινή ἔχει ὑπεργνωρίσει κατά τρόπο ὑπεράγνωστο ἐκεῖνον πού εἶναι πέρα ἀπό κάθε γνώση· ἐπίσης πού ἡ θεώρησή του ἐπεκτάθηκε σ' ὅλα γενικά τά δημιουργήματα αὐτοῦ καί στήν πρόνοια καί κρίση αὐτοῦ πρός ὅλα αὐτά, λαμβάνοντας ἀπό τό Θεό τήν περιληπτική γνώση, ὅσο δηλαδή αὐτή εἶναι δυνατή στούς ἀνθρώπους.

100 Ὁ χρόνος διαιρεῖται σέ τρία μέρη· ἡ πίστη ἐπεκτείνεται καί στά τρία μέρη αὐτοῦ, ἡ ἐλπίδα στό ἕνα, καί ἡ ἀγάπη στά δύο. Ἡ πίστη καί ἡ ἐλπίδα φθάνουν μέχρι σ' ὡρισμένο σημεῖο, ἐνῶ ἡ ἀγάπη, ὑπερενωμένη μέ τόν ὑπεράπειρο Θεό στούς ἄπειρους αἰῶνες, παραμένει αὐξανόμενη γιά πάντα. Καί γι' αὐτό, «ἡ ἀγάπη εἶναι μεγαλύτερη ἀπ' αὐτά»[27].

---

**27. Α' Κορ. 13,13.**

*ΚΕΦΑΛΑΙΑ*

# *ΠΕΡΙ ΑΓΑΠΗΣ*

## *ΕΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ*

1 *Πρῶτον μὲν θαυμάζει ὁ νοῦς τὴν θείαν ἐννοούμενος κατὰ πάντα ἀπειρίαν καὶ τὸ ἀνέκβατον ἐκεῖνο καὶ πολυπόθητον πέλαγος. Δεύτερον δὲ ἐκπλήττεται, πῶς ἐκ τοῦ μηδενὸς τὴν τῶν ὄντων εἰς τὸ εἶναι παρήγαγεν ὕπαρξιν. Ἀλλ' ὥσπερ τῆς μεγαλοσύνης αὐτοῦ οὐκ ἔστι πέρας, οὕτω οὐδὲ τῆς φρονήσεως αὐτοῦ ἔστιν εὕρεσις.*

2 *Πῶς γὰρ οὐ θαυμάζει τὸ ἄπλετον ἐκεῖνο θεωρῶν καὶ ὑπὲρ ἔκπληξιν τῆς ἀγαθότητος πέλαγος; Ἢ πῶς οὐκ ἐξίσταται, ἐννοούμενος, πῶς καὶ πόθεν ἥ τε λογικὴ καὶ νοερὰ γέγονεν οὐσία, καὶ τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν τὰ σώματα, μηδεμιᾶς ὕλης τῆς τούτων προϋπαρξάσης γενέσεως; Ποία τε ἡ δύναμις ἐκείνη, ἡ εἰς ἐνέργειαν κινηθεῖσα, ταῦτα εἰς τὸ εἶναι παρήγαγεν; Ἀλλὰ τοῦτο Ἑλλήνων παῖδες οὐ παραδέχονται, ἀγνοοῦντες τὴν παντοδύναμον ἀγαθότητα καὶ τὴν δραστήριον αὐτῆς καὶ ὑπὲρ νοῦν σοφίαν καὶ γνῶσιν.*

3 *Ἐξ ἀϊδίου δημιουργὸς ὑπάρχων ὁ Θεός, ὅτε βούλεται δημιουργεῖ Λόγῳ ὁμοουσίῳ καὶ Πνεύματι δι' ἄπειρον ἀγαθότητα. Καὶ μὴ εἴπῃς, Τίνι τῷ λόγῳ νῦν ἐδημιούργησεν ἀεὶ ἀγαθὸς*

1. Ψαλμ. 114,3.
2. Βαρούχ 3,18.

## ΚΕΦΑΛΑΙΑ

# ΠΕΡΙ ΑΓΑΠΗΣ

### ΕΚΑΤΟΝΤΑΔΑ ΤΕΤΑΡΤΗ

1 Μόλις ὁ νοῦς τοῦ ἀνθρώπου κατανοήσει τήν θεία ἀπειρία καί τό χωρίς τέλος ἐκεῖνο καί τόσο πολύ ποθητό πέλαγος τοῦ Θεοῦ, κατά πρῶτον κυριεύεται ἀπό θαυμασμό, στή συνέχεια νιώθει ἔκπληξη γιά τό πῶς ὁ Θεός ἔφερε στήν ὕπαρξη ἀπό τό μηδέν τά ὄντα. Ἀλλ' ὅπως ἀκριβῶς δέν ὑπάρχει τέλος τῆς μεγαλωσύνης αὐτοῦ[1], ἔτσι δέν εἶναι δυνατή οὔτε ἡ ἀνεύρεση τῆς σοφίας αὐτοῦ[2].

2 Πράγματι πῶς δέν θά νιώσει θαυμασμό θεωρώντας τό ἀμέτρητο ἐκεῖνο πέλαγος τῆς ἀγαθότητας τοῦ Θεοῦ πού βρίσκεται πάνω ἀπό κάθε ἔκπληξη;. Ἤ πῶς δέν θά κυριευθεῖ ἀπό ἔκσταση, σκεπτόμενος πῶς καί ἀπό ποῦ δημιουργήθηκε ἡ λογική καί νοερή οὐσία καθώς καί τά τέσσερα στοιχεῖα ἀπό τά ὁποῖα ἀποτελοῦνται τά σώματα, τή στιγμή πού δέν ὑπῆρχε καμιά ὕλη πρίν ἀπό τή δημιουργία αὐτῶν; Ποιά εἶναι ἡ δύναμη ἐκείνη πού τέθηκε σέ ἐνέργεια καί ἔφερε στήν ὕπαρξη αὐτά; Ἀλλ' οἱ Ἕλληνες δέν παραδέχονται αὐτό, ἀγνοώντας τήν παντοδύναμη ἀγαθότητα τοῦ Θεοῦ, καί τή δραστήρια σοφία καί γνώση αὐτοῦ, πού ὑπερβαίνει κάθε ἀνθρώπινο νοῦ.

3 Ὑπάρχοντας ὁ Θεός αἰώνιος δημιουργός, ὅταν θέλει δημιουργεῖ ἐξ αἰτίας τῆς ἄπειρης ἀγαθότητάς του μαζί μέ τόν ὁμοούσιο Λόγο του καί τό ἅγιο Πνεῦμα. Καί μή πεῖς, Γιά ποιό λόγο δημιούργησε τώρα τά ὄντα, ἀφοῦ πάντοτε ἦταν ἀγαθός;

*ὑπάρχων;'. Ἐπεί, κἀγώ σοι λέγω, ὅτι ἡ τῆς ἀπείρου οὐσίας ἀνεξιχνίαστος σοφία τῇ ἀνθρωπίνῃ οὐχ ὑποπίπτει γνώσει.*

4 *Τὴν ἐξ ἀϊδίου ἐν αὐτῷ ὁ Δημιουργὸς τῶν ὄντων προϋπάρχουσαν γνῶσιν, ὅτε ἐβουλήθη οὐσίωσε καὶ προεβάλετο. Ἄτοπον γάρ ἐστιν ἐπὶ Θεοῦ τοῦ παντοδυνάμου διστάσαι, εἰ δύναταί τι οὐσιῶσαι, ὅτε βούλεται.*

5 *Δι' ἣν μὲν αἰτίαν ὁ Θεὸς ἐδημιούργησε, ζήτει, ἐστὶ γὰρ γνῶσις, τὸ δὲ πῶς καὶ διὰ τί προσφάτως, μὴ ζήτει· οὐκ ἔστι γὰρ τῷ σῷ ὑποπίπτουσα νῷ. Διότι τῶν θείων, τὰ μὲν ληπτά, τὰ δὲ ἄληπτα τοῖς ἀνθρώποις. «Θεωρία γὰρ ἀχαλίνωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν», ὡς ἔφη τις τῶν ἁγίων.*

6 *Τινές φασι συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὰ δημιουργήματα, ὅπερ ἀμήχανον. Πῶς γὰρ τῷ πάντῃ ἀπείρῳ, τὰ κατὰ πάντα πεπερασμένα, συνυπάρχειν δύναται ἐξ ἀϊδίου; ἢ πῶς κυρίως δημιουργήματα, εἰ συναΐδια τῷ Δημιουργῷ; Ἀλλ' οὗτος ὁ λόγος τῶν Ἑλλήνων ἐστίν, οἵτινες οὐσιῶν μὲν οὐδαμῶς, ποιοτήτων δὲ μόνον δημιουργὸν τὸν Θεὸν εἰσάγουσιν. Ἡμεῖς δὲ τὸν παντοδύναμον ἐγνωκότες Θεόν, οὐ ποιοτήτων, ἀλλ' οὐσιῶν πεποιωμένων δημιουργὸν αὐτὸν εἶναί φαμεν. Εἰ δὲ τοῦτο, οὐκ ἐξ ἀϊδίου συνύπαρκτα τῷ Θεῷ τὰ δημιουργήματα.*

7 *Κατά τι μὲν γνωστὸν τὸ Θεῖον καὶ τὰ θεῖα, κατά τι δέ ἄγνωστον. Καὶ γνωστὸν μὲν τοῖς περὶ αὐτὸ θεωρήμασιν, ἄγνωστον δὲ τοῖς κατ' αὐτό.*

8 *Μὴ ἕξεις καὶ ἐπιτηδειότητας ζητήσῃς ἐπὶ τῆς ἁπλῆς καὶ*

3. Δηλαδὴ ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ. *Ὁμιλ. Εἰς τὸ Πάσχα*, 2.

Διότι καί ἐγώ θά σοῦ πῶ, ὅτι ἡ ἀνεξερεύνητη σοφία τῆς ἄπειρης οὐσίας τοῦ Θεοῦ δέν γίνεται κατανοητή ἀπό τόν ἀνθρώπινο νοῦ.

4 Τή γνώμη λοιπόν τῶν ὄντων, πού προϋπῆρχε αἰώνια στό Δημιουργό, ὅταν αὐτός θέλησε τήν οὐσίωσε καί τήν προέβαλε, καί εἶναι παράλογο ν' ἀμφιβάλλει κανείς γιά τόν παντοδύναμο Θεό, ἐάν μπορεῖ νά φέρει στήν ὕπαρξη κάτι, ὅταν αὐτός θέλει.

5 Γιά ποιά αἰτία δημιούργησε ὁ Θεός τά ὄντα, ἐρεύνα το, διότι ἡ γνώση αὐτή εἶναι δυνατή, μή ψάχνεις νά βρεῖς ὅμως, τό πῶς τά δημιούργησε καί γιατί αὐτό τό ἔκανε πρόσφατα, διότι ἡ γνώση αὐτή δέν εἶναι δυνατή ἀπό τό νοῦ σου. Καθόσον ἀπό τά θεῖα, ἄλλα εἶναι κατανοητά ἀπό τούς ἀνθρώπους, καί ἄλλα εἶναι ἀκατανόητα. Διότι «ἡ ἀχαλίνωτη ἔρευνα θά μποροῦσε νά σπρώξει τόν ἄνθρωπο καί σέ γκρεμούς»[3] ὅπως εἶπε κάποιος ἀπό τούς ἁγίους.

6 Μερικοί λένε ὅτι τά δημιουργήματα συνυπάρχουν αἰώνια μέ τό Θεό, πράγμα πού εἶναι ἀδύνατο. Διότι πῶς ἔναι δυνατό νά συνυπάρχουν αἰώνια μέ τόν κατά πάντα ἄπειρο Θεό τά κατά πάντα πεπερασμένα ὄντα; ἤ πῶς εἶναι δυνατό νά εἶναι δημιουργήματα, ἐάν εἶναι συναιώνια μέ τό Δημιουργό; Ἀλλ' αὐτή ἡ σκέψη εἶναι τῶν Ἑλλήνων, οἱ ὁποῖοι δέν παραδέχονται τό Θεό μέ κανένα τρόπο δημιουργό οὐσιῶν, ἀλλά μόνο δημιουργό ποιοτήτων. Ἐμεῖς ὅμως πού γνωρίζουμε ὅτι ὁ Θεός εἶναι παντοδύναμος, δεχόμαστε ὅτι αὐτός εἶναι δημιουργός ὄχι ποιοτήτων, ἀλλ' οὐσιῶν, πού ἔλαβαν τήν ὕπαρξη ἀπ' αὐτόν. Ἐφόσον αὐτό ἔχει ἔτσι, τά δημιουργήματα δέν συνυπάρχουν αἰώνια μέ τό Θεό.

7 Ὁ Θεός καί τά θεῖα κατάτι εἶναι γνωστά, κατάτι ἄγνωστα. Καί γνωστός εἶναι ὁ Θεός ὡς πρός τίς θεωρούμενες ἐνέργειές του, ἐνῶ ἄγνωστος ὡς πρός ἐκεῖνα πού ἔχουν σχέση μέ τήν οὐσία του.

8 Μή ψάχνεις νά βρεῖς διάφορες καταστάσεις καί ἀνάγκες

*ἀπείρου οὐσίας τῆς ἁγίας Τριάδος, ἵνα μὴ σύνθετον αὐτὴν ποιήσῃς, ὥσπερ τὰ κτίσματα, ὅπερ ἄτοπον καὶ ἀθέμιτον ἐπὶ Θεοῦ ἐννοῆσαι.*

9 *Μόνη ἁπλῆ καὶ μονοειδὴς καὶ ἄποιος καὶ εἰρηναῖος καὶ ἀστασίαστος, ἡ ἄπειρος οὐσία καὶ παντοδύναμος καὶ δημιουργικὴ τῶν ὅλων. Πᾶσα δὲ ἡ κτίσις σύνθετος ὑπάρχει ἐξ οὐσίας καὶ συμβεβηκότος, καὶ ἐπιδεὴς ἀεὶ τῆς θείας προνοίας, ὡς τροπῆς οὐκ ἐλευθέρα.*

10 *Πᾶσα ἡ νοερὰ οὐσία καὶ αἰσθητικὴ ἔλαβεν δυνάμεις παρὰ Θεοῦ εἰς τὸ εἶναι παραχθεῖσα ἀντιληπτικὰς τῶν ὄντων· ἡ μὲν νοερὰ τὰς νοήσεις, ἡ δὲ αἰσθητικὴ τὰς αἰσθήσεις.*

11 *Ὁ μὲν Θεὸς μετέχεται μόνον, ἡ δὲ κτίσις καὶ μετέχει καὶ μεταδίδωσι. Καὶ μετέχει μὲν τοῦ εἶναι καὶ τοῦ εὖ εἶναι, μετεδίδωσι δὲ τοῦ εὖ εἶναι μόνον· ἀλλ' ἑτέρως μὲν ἡ σωματική, ἑτέρως δὲ ἡ ἀσώματος οὐσία.*

12 *Ἡ μὲν ἀσώματος οὐσία καὶ λέγουσα καὶ πράττουσα καὶ θεωρουμένη τοῦ εὖ εἶναι μεταδίδωσιν, ἡ δὲ σωματικὴ θεωρουμένη μόνον.*

13 *Τὸ μὲν ἀεὶ εἶναι ἢ μὴ εἶναι τὴν λογικὴν καὶ νοερὰν οὐσίαν, ἐν τῇ βουλήσει ἐστὶ τοῦ τὰ πάντα καλὰ δημιουργήσαντος, τὸ δὲ ἀγαθὰ ταῦτα εἶναι κατὰ προαίρεσιν ἢ φαῦλα, ἐν τῷ θελήματι τῶν γεγονότων ὑπάρχει.*

14 *Οὐ περὶ τὴν οὐσίαν τῶν γεγονότων τὸ κακὸν θεωρεῖται, ἀλλὰ περὶ τὴν ἐσφαλμένην καὶ ἀλόγιστον κίνησιν.*

15 *Εὐλόγως κινεῖται ἡ ψυχή, ὅταν τὸ μὲν ἐπιθυμητικὸν αὐτῆς*

στήν ἁπλή καί ἄπειρη οὐσία τῆς ἁγίας Τριάδος, γιά νά μή κάνεις αὐτήν σύνθετη, ὅπως ἀκριβῶς εἶναι τά κτίσματα, πράγμα πού εἶναι παράλογο καί ἀσέβεια νά τό σκεφθεῖς γιά τό Θεό.

9 Ἡ ἄπειρη οὐσία τοῦ Θεοῦ, ἡ παντοδύναμη καί δημιουργική τῶν πάντων, εἶναι ἡ μόνη ἁπλή καί μονοειδής καί ἄμορφη καί εἰρηνική καί χωρίς ἀντιθέσεις. Ὁλόκληρη ἡ κτίση εἶναι σύνθετη, ἀποτελούμενη ἀπό οὐσία καί συμβεβικότα[4], καί ἔχει πάντοτε ἀνάγκη ἀπό τήν πρόνοια τοῦ Θεοῦ, ἐπειδή ὑπόκειται σέ μεταβολές.

10 Κάθε νοερή καί αἰσθητή οὐσία, πού ἔλαβε τήν ὕπαρξή της ἀπό τό Θεό, προικίσθηκε ἀπ' αὐτόν μέ δυνάμεις μέ τίς ὁποῖες κατανοεῖ τά ὄντα· ἡ νοερή οὐσία ἔλαβε τίς νοήσεις, ἐνῶ ἡ αἰσθητή τίς αἰσθήσεις.

11 Ὁ Θεός μετέχεται μόνο, ἐνῶ ἡ κτίση καί μετέχει καί μεταδίδει. Μετέχει τοῦ Θεοῦ ὡς πρός τήν ὕπαρξη πού ἔχει ἀπ' αὐτόν καί τήν ἀγαθότητα, μεταδίδει ὅμως μόνο τήν ἀγαθότητα· ἀλλά διαφορετικά μεταδίδει αὐτήν ἡ σωματική οὐσία, καί διαφορετικά ἡ ἀσώματη οὐσία.

12 Ἡ ἀσώματη οὐσία μεταδίδει τήν ἀγαθότητα καί μέ τό λόγο, καί μέ τίς πράξεις, καί παρατηρούμενη, ἐνῶ ἡ σωματική μεταδίδει αὐτήν μόνο παρατηρούμενη.

13 Ἡ αἰώνια ἤ μή ὕπαρξη τῆς λογικῆς καί νοερῆς οὐσίας ἐξαρτᾶται ἀπό τή θέληση τοῦ Θεοῦ, πού δημιούργησε τά πάντα καλά, τό νά εἶναι ὅμως αὐτά καλά ἤ κακά κατά προαίρεση, αὐτό ἐξαρτᾶται ἀπό τή θέληση τῶν δημιουργημάτων.

14 Τό κακό δέν ὑπάρχει στήν οὐσία τῶν δημιουργημάτων, ἀλλά στήν ἐσφαλμένη καί ἀσυλλόγιστη ἐνέργεια αὐτῶν.

15 Ἡ ψυχή ἐνεργεῖ ὀρθά, ὅταν τό ἐπιθυμητικό της ἔχει ἀσκη-

---

4. Συμβεβηκός εἶναι κάτι πού δέν ἀνήκει στήν οὐσία ἑνός πράγματος, ἀλλ' εἶναι ἀποτέλεσμα καί ἰδιαίτερο γνώρισμα αὐτοῦ.

*τῇ ἐγκρατείᾳ πεποίωται, τὸ δὲ θυμικὸν τῆς ἀγάπης ἀντέχεται, τὸ μῖσος ἀποστρεφόμενον, τὸ δὲ λογιστικὸν πρὸς τὸν Θεὸν διάγει διὰ προσευχῆς καὶ θεωρίας πνευματικῆς.*

16 *Οὔπω ἔχει τελείαν ἀγάπην οὐδὲ τῆς θείας Προνοίας κατὰ βάθος τὴν γνῶσιν ὁ ἐν καιρῷ πειρασμοῦ μὴ μακροθυμῶν ἐπὶ τοῖς συμβαίνουσι λυπηροῖς, ἀλλ' ἀποκόπτων ἑαυτὸν τῆς τῶν πνευματικῶν ἀδελφῶν ἀγάπης.*

17 *Σκοπὸς τῆς θείας Προνοίας, τό, τοὺς ὑπὸ τῆς κακίας ποικίλως διεσχισμένους, διὰ τῆς ὀρθῆς πίστεως καὶ πνευματικῆς ἀγάπης ἑνοποιεῖν. Εἴπερ διὰ τοῦτο πέπονθεν ὁ Σωτήρ, «ἵνα τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν». Ὁ οὖν μὴ στέγων τὰ ὀχληρὰ μηδὲ φέρων τὰ λυπηρὰ μηδὲ ὑπομένων τὰ ἐπίπονα, ἐκτὸς τῆς θείας ἀγάπης καὶ τοῦ σκοποῦ τῆς Προνοίας περιπατεῖ.*

18 *Εἰ «ἡ ἀγάπη μακροθυμεῖ καὶ χρηστεύεται», ὁ ὀλιγοψυχῶν ἐπὶ τοῖς συμβαίνουσι λυπηροῖς καὶ διὰ τοῦτο πονηρευόμενος ἐπὶ τοῖς λυπήσασι καὶ τῆς πρὸς αὐτοὺς ἀγάπης ἑαυτὸν ἀποκόπτων, πῶς τοῦ σκοποῦ τῆς θείας Προνοίας οὐκ ἐκπίπτει;*

19 *Πρόσεχε σεαυτῷ, μήποτε ἡ χωρίζουσά σε ἐκ τοῦ ἀδελφοῦ κακία οὐκ ἐν τῷ ἀδελφῷ, ἀλλ' ἐν σοὶ εὑρίσκηται, καὶ σπεῦσον αὐτῷ διαλλαγῆναι, ἵνα μὴ τῆς ἐντολῆς τῆς ἀγάπης ἐκπέσῃς.*

20 *Μὴ καταφρονήσῃς τῆς ἐντολῆς τῆς ἀγάπης, ὅτι δι' αὐτῆς υἱὸς Θεοῦ ἔσῃ, ἣν παραβαίνων, υἱὸς γεέννης εὑρεθήσῃ.*

21 *Τὰ χωρίζοντα τῆς τῶν φίλων ἀγάπης, εἰσὶ ταῦτα· τὸ φθο-*

---

5. Ἰω. 11,52.

θεῖ μέ τήν ἐγκράτεια, τό θυμικό κυριαρχεῖται ἀπό τήν ἀγάπη καί ἀποστρέφεται τό μίσος, καί τό λογιστικό της εἶναι προσηλωμένο στό Θεό μέ τήν προσευχή καί τήν πνευματική θεωρία.

16 Ἐκεῖνος, πού κατά τόν καιρό τῆς δοκιμασίας δέν δείχνει μακροθυμία γιά τά λυπηρά πού τοῦ συμβαίνουν, δέν ἔχει ἀκόμη τέλεια ἀγάπη, οὔτε γνώρισε κατά βάθος τήν πρόνοια τοῦ Θεοῦ, μέ ἀποτέλεσμα ν' ἀποκόπτει τόν ἑαυτό του ἀπό τήν ἀγάπη τῶν πνευματικῶν ἀδελφῶν.

17 Σκοπός τῆς θείας πρόνοιας εἶναι νά συνενώνει μέ τήν ὀρθή πίστη καί τήν πνευματική ἀγάπη ἐκείνους πού ἐξ αἰτίας τῆς κακίας εἶναι διαιρημένοι σέ διάφορες ὁμάδες. Διότι γι' αὐτό ἀκριβῶς ἔπαθε ὁ Σωτήρας Χριστός, «γιά νά συγκεντρώσει σέ ἕνα τά διασκορπισμένα τέκνα τοῦ Θεοῦ»[5]. Ἐκεῖνος λοιπόν πού δέν ὑπομένει τά δυσάρεστα, οὔτε ὑποφέρει τά λυπηρά, οὔτε ὑπομένει τά ἐπίπονα, αὐτός περπατεῖ ἔξω ἀπό τή θεία ἀγάπη καί τό σκοπό τῆς πρόνοιας τοῦ Θεοῦ.

18 Ἐάν «ἡ ἀγάπη δείχνει μακροθυμία καί καλωσύνη»[6], ἐκεῖνος πού δείχνει ὀλιγοψυχία στά λυπηρά πού συμβαίνουν, καί γι' αὐτό τρέφει κακία ἐναντίον ἐκείνων πού τόν λύπησαν, ἀποκόπτοντας ἔτσι τόν ἑαυτό του ἀπό τήν ἀγάπη πρός αὐτούς, πῶς αὐτός δέν ἀπομακρύνεται ἀπό τό σκοπό τῆς πρόνοιας τοῦ Θεοῦ;

19 Πρόσεχε τόν ἑαυτό σου, μήπως ἡ κακία, πού σέ ἀπομακρύνει ἀπό τόν ἀδελφό σου, βρίσκεται ὄχι στόν ἀδελφό σου, ἀλλά σέ σένα, καί τρέξε νά συμφιλιωθεῖς μ' αὐτόν, γιά νά μή ἐκπέσεις ἀπό τήν ἐντολή τῆς ἀγάπης.

20 Μή περιφρονήσεις τήν ἐντολή τῆς ἀγάπης, διότι μ' αὐτήν θά γίνεις υἱός τοῦ Θεοῦ, τήν ὁποία παραβαίνοντας θά βρεθεῖς νά εἶσαι υἱός τῆς γέεννας.

21 Ἐκεῖνα πού ἀπομακρύνουν ἀπό τήν ἀγάπη τῶν φίλων εἶναι

6. Α' Κορ. 13,4.

*νεῖν ἢ φθονεῖσθαι, τὸ ζημιοῦν ἢ ζημιοῦσθαι, τὸ ἀτιμάζειν ἢ ἀτιμάζεσθαι, καὶ οἱ ἐξ ὑπονοίας λογισμοί. Μήποτε οὖν ἔδρασάς τι τοιοῦτον ἢ πέπονθας καὶ διὰ τοῦτο τῆς τοῦ φίλου ἀγάπης χωρίζῃ;*

22 *Συνέβη σοι πειρασμὸς ἐκ τοῦ ἀδελφοῦ, καὶ ἡ λύπη εἰς μῖσός σε ἤγαγε. Μὴ νικῶ ὑπὸ τοῦ μίσους, ἀλλὰ νίκα ἐν τῇ ἀγάπῃ τὸ μῖσος. Νικήσεις δὲ τρόπῳ τοιούτῳ· προσευχόμενος ὑπὲρ αὐτοῦ γνησίως πρὸς τὸν Θεόν· τήν τε ἀπολογίαν αὐτοῦ δεχόμενος· ἢ καὶ αὐτὸς διὰ ταύτης αὐτὸν θεραπεύων, καὶ σεαυτὸν αἴτιον τοῦ πειρασμοῦ λογιζόμενος, καὶ μακροθυμῶν μέχρις οὗ παρέλθῃ τὸ νέφος.*

23 *Μακρόθυμός ἐστιν ὁ τὸ τέλος ἐκδεχόμενος τοῦ πειρασμοῦ καὶ τὸ καύχημα τῆς καρτερίας λαμβάνων.*

24 *«Ἀνὴρ μακρόθυμος, πολὺς ἐν φρονήσει», ὅτι πάντα τὰ συμβαίνοντα ἐπὶ τὸ τέλος ἀναφέρει· κἀκεῖνο περιμένων, ἀνέχεται τῶν λυπηρῶν. «Τὸ δὲ τέλος ἐστί, ζωὴ αἰώνιος», κατὰ τὸν θεῖον Ἀπόστολον. «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν».*

25 *Μὴ εὔκολος ἔσο ἐπὶ ἀποβολῇ πνευματικῆς ἀγάπης, διότι ἄλλη σωτηρίας ὁδὸς οὐχ ὑπολέλειπται τοῖς ἀνθρώποις.*

26 *Μὴ τὸν χθὲς πνευματικὸν ἀδελφὸν καὶ ἐνάρετον, διὰ τὸ ἐν σοὶ σήμερον ἐξ ἐπηρείας τοῦ πονηροῦ ἐγγινόμενον μῖσος, κρῖνε φαῦλον καὶ πονηρόν· ἀλλὰ διὰ τῆς μακροθυμούσης ἀγάπης τὰ*

7. Παροιμ. 14,29.
8. Ρωμ. 6,22.

αὐτά· τό νά φθονεῖ κανείς ἤ νά φθονεῖται, τό νά ζημιώνει ἤ νά ζημιώνεται, τό νά περιφρονεῖ ἤ νά περιφρονεῖται, καί οἱ λογισμοί πού δημιουργοῦνται ἀπό ὑπόνοιες. Μήπως λοιπόν ἔκανες κάτι παρόμοιο ἤ ἔπαθες καί γι' αὐτό ἔχεις ἀπομακρυνθεῖ ἀπό τήν ἀγάπη τοῦ φίλου;

22 Σοῦ συνέβηκε κάποιος πειρασμός ἐκ μέρους τοῦ ἀδελφοῦ σου καί ἡ λύπη σέ ὁδήγησε σέ μίσος. Μή νικιέσαι ἀπό τό μίσος, ἀλλά νίκα μέ τήν ἀγάπη τό μίσος. Θά τό νικήσεις μέ τόν ἑξῆς τρόπο· ἐάν προσεύχεσαι γι' αὐτόν πρός τό Θεό μέ καθαρότητα καρδιᾶς, καί δέχεσαι τήν ἀπολογία αὐτοῦ· ἤ καί ἐάν καταφεύγεις καί σύ σέ ἀπολογία ἐνώπιον αὐτοῦ, θεωρεῖς τόν ἑαυτό σου αἴτιο τοῦ πειρασμοῦ, καί δείχνεις μακροθυμία μέχρι νά περάσει τό σύννεφο.

23 Μακρόθυμος εἶναι ἐκεῖνος πού περιμένει τό τέλος τοῦ πειρασμοῦ καί κερδίζει τόν ἔπαινο τῆς ὑπομονῆς.

24 «Ὁ μακρόθυμος ἄνθρωπος διακρίνεται γιά τή μεγάλη σύνεσή του»[7], διότι σ' ὅλα ἐκεῖνα πού τοῦ συμβαίνουν ἀποβλέπει στό τέλος, καί, περιμένοντας ἐκεῖνο, ἀνέχεται τά λυπηρά. «Τό τέλος», κατά τόν Ἀπόστολο, «εἶναι ἡ αἰώνια ζωή»[8]. «Αὐτή εἶναι ἡ αἰώνια ζωή, γιά νά γνωρίσουν ἐσένα τόν μόνον ἀληθινό Θεό, καί τόν Ἰησοῦ Χριστό, τόν ὁποῖον ἔστειλες στόν κόσμο»[9].

25 Μή γίνεσαι εὔκολος στήν ἀπομάκρυνση τῆς πνευματικῆς ἀγάπης, διότι ἄλλη ὁδός σωτηρίας δέν ἀπομένει γιά τούς ἀνθρώπους.

26 Μή θεωρεῖς κακό καί πονηρό τόν μέχρι χθές πνευματικό καί ἐνάρετο ἀδελφό, ἐξ αἰτίας τοῦ μίσους πρός αὐτόν πού σοῦ δημιουργήθηκε σήμερα ἀπό τήν κακή ἐπενέργεια τοῦ διαβόλου, ἀλλά μέ τή γεμάτη ἀπό μακροθυμία ἀγάπη, σκεπτόμενος

9. Ἰω. 17,3.

*χθεσινὰ καλὰ λογιζόμενος, τὸ σήμερον μῖσος τῆς ψυχῆς ἀπόβαλε.*

27 *Μὴ ὃν ἐπῄνεις χθὲς ὡς καλὸν καὶ ἐνεκωμίαζες ὡς ἐνάρετον, σήμερον ὡς φαῦλον καὶ πονηρὸν κακολογήσῃς, διὰ τὴν σὴν ἐξ ἀγάπης εἰς μῖσος μεταβολήν, τὸν τοῦ ἀδελφοῦ ψόγον ἀπολογίαν τοῦ ἐν σοὶ πονηροῦ μίσους ποιούμενος, ἀλλὰ τοῖς αὐτοῖς ἐγκωμίοις ἐπίμεινον, κἂν ἔτι ὑπὸ τῆς λύπης κεκράτησαι, καὶ εἰς τὴν σωτηρίαν ἀγάπην εὐχερῶς ἐπανέρχῃ.*

28 *Μὴ τὸν συνήθη τοῦ ἀδελφοῦ ἔπαινον, διὰ τὴν ἔτι ἐν σοὶ πρὸς αὐτὸν ὑπάρχουσαν κεκρυμμένην λύπην, ἐν τῇ τῶν λοιπῶν ἀδελφῶν συντυχίᾳ νοθεύσῃς, συμπαραμίσγων τοῖς λόγοις λεληθότως τὸν ψόγον, ἀλλὰ καθαρῷ τῷ ἐπαίνῳ ἐν τῇ συντυχίᾳ χρῆσαι, καὶ γνησίως ὑπὲρ αὐτοῦ, ὡς σαυτοῦ, προσεύχου, καὶ τοῦ ὀλεθρίου μίσους τάχιστα ἀπαλλάττῃ.*

29 *Μὴ εἴπῃς, 'Οὐ μισῶ τὸν ἀδελφόν', τὴν μνήμην αὐτοῦ ἀποστρεφόμενος, ἀλλὰ ἄκουσον Μωϋσέως λέγοντος· «μὴ μισήσῃς τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν».*

30 *Ἐὰν ἀδελφὸς τυχὸν πειραζόμενος ἐπιμείνῃ κακολογῶν σε, ἀλλὰ σύ γε μὴ ἐξενεχθῇς τῆς ἀγαπητικῆς καταστάσεως, τοῦ αὐτοῦ πονηροῦ δαίμονος ἀνεχόμενος, ἐνοχλοῦντος κατὰ διάνοιαν. Οὐκ ἐξενεχθήσῃ δὲ ταύτης, ἐὰν λοιδορούμενος εὐλογήσῃς, ἐὰν ἐπιβουλευόμενος, εὐνοήσῃς. Αὕτη ἐστὶν ἡ ὁδὸς τῆς κατὰ Χριστὸν φιλοσοφίας, καὶ ὁ μὴ ταύτην ὁδεύων οὐ συναυλίζεται αὐτῷ.*

31 *Μὴ ὡς εὐνοοῦντας λογίζου τοὺς λόγους σοι φέροντας λύπην*

10. Λευΐτ. 19,17.

τά χθεσινά καλά, ἀπομάκρυνε τό μίσος ἀπό τήν ψυχή σου πού δημιουργήθηκε σήμερα.

27 Μή κακολογήσεις σάν φαῦλο καί κακό ἐξ αἰτίας τῆς μεταβολῆς ἀπό ἀγάπη σέ μίσος πού συνέβηκε μέσα σου, ἐκεῖνον πού χθές ἐπαινοῦσες σάν καλό καί τόν ἐγκωμίαζες σάν ἐνάρετο, προβάλλοντας σάν δικαιολογία τοῦ πονηροῦ μίσους πού ὑπάρχει μέσα σου τήν κατάκριση τοῦ ἀδελφοῦ σου, ἀλλά συνέχισε τά ἴδια ἐγκώμια, καί ἄν ἀκόμη διακατέχεσαι ἀπό λύπη, διότι ἔτσι μέ εὐκολία θά ἐπανέλθεις στή σωτήρια ἀγάπη.

28 Μή νοθεύσεις κατά τή συνομιλία μέ τούς ἄλλους ἀδελφούς σου τόν ἔπαινο τοῦ ἀδελφοῦ σου, ἐξ αἰτίας τῆς λύπης πού ἀκόμη ὑπάρχει μέσα σου κρυμμένη γι' αὐτόν, ἀναμειγνύοντας κρυφά μέ τά λόγια σου τήν κατηγορία, ἀλλά χρησιμοποίησε στή συνομιλία σου μέ αὐτούς καθαρή καρδιά, σάν νά πρόκειται γιά τόν ἑαυτό σου, καί ἔτσι πάρα πολύ γρήγορα θ' ἀπαλλαγεῖς ἀπό τό ὀλέθριο μίσος.

29 Μή πεῖς, 'Δέ μισῶ τόν ἀδελφό' ἀποφεύγοντας ἀκόμη καί τήν ἐνθύμησή του, ἀλλ' ἄκουσε τόν Μωϋσῆ πού λέγει· «μή μισήσεις τόν ἀδελφόσου μέσα στή σκέψη σου· θά ἐλέγξεις μέ τούς καλοπροαίρετους ἐλέγχους σου τόν ἀδελφό σου καί ἔτσι δέν θά ἁμαρτήσεις ἐξ αἰτίας αὐτοῦ»[10].

30 'Εάν κάποιος ἀδελφός συμβεῖ, πειραζόμενος ἀπό τό διάβολο, νά ἐπιμένει νά σέ κακολογεῖ, σύ μή ἀπομακρυνθεῖς ἀπό τήν κατάσταση τῆς ἀγάπης πρός αὐτόν, παραβλέποντας τόν ἴδιο πονηρό δαίμονα, πού ἐνοχλεῖ τή σκέψη σου. Δέν θ' ἀπομακρυνθεῖς ἀπ' αὐτήν ἐάν ἐπαινεῖς αὐτόν, ἐνῶ κατηγορεῖσαι[11], ἐάν, ἐνῶ ἐπιβουλεύεσαι ἀπ' αὐτόν, δείχνεις καλωσύνη πρός αὐτόν. Αὐτή εἶναι ἡ ὁδός τῆς ἀρετῆς πού εἶναι σύμφωνη μέ τούς λόγους τοῦ Χριστοῦ, καί ἐκεῖνος πού δέν βαδίζει αὐτήν δέν βρίσκεται κοντά στό Χριστό.

---

11. Α΄Κορ. 4,12.

*ἐν σοὶ καὶ μῖσος τὸν πρὸς ἀδελφὸν ἐργαζομένους, κἂν ἀληθεύειν δοκῶσιν, ἀλλ' ὡς θανατοῦντας ὄφεις τοὺς τοιούτους ἀποστρέφου, ἵνα κἀκείνους τοῦ κακολογεῖν ἀνακόψῃς, καὶ τὴν σεαυτοῦ ψυχὴν πονηρίας ἀπαλλάξῃς.*

32 *Μὴ λόγοις δι' αἰνιγμάτων τὸν ἀδελφὸν κεντήσῃς, ἵνα μή, τὰ ὅμοια παρ' αὐτοῦ ἀντιδεχόμενος, τὴν τῆς ἀγάπης διάθεσιν ἐξ ἀμφοτέρων ἀπελάσῃς, ἀλλὰ μετὰ παρρησίας ἀγαπητικῆς, ὕπαγε, ἔλεγξον αὐτόν, ἵνα, τὰς αἰτίας τῆς λύπης λύσας, ταραχῆς καὶ λύπης ἀμφοτέρους ἀπαλλάξῃς.*

33 *Ἐρεύνησον τὴν συνείδησιν μετὰ πάσης ἀκριβείας, μήποτε τῇ σῇ αἰτίᾳ ὁ ἀδελφὸς οὐ διηλλάγη, καὶ μὴ παραλογίζου ταύτην, τὰ κρυπτά σου γινώσκουσαν καὶ κατηγοροῦσάν σου ἐν τῷ καιρῷ τῆς ἐξόδου, καὶ ἐν καιρῷ δὲ προσευχῆς, πρόσκομμά σοι γινομένην.*

34 *Μὴ μνημόνευε ἐν τῷ καιρῷ τῆς εἰρήνης, τῶν ἐν τῷ καιρῷ τῆς λύπης ὑπὸ τοῦ ἀδελφοῦ λεχθέντων, κἂν τε κατὰ πρόσωπον τὰ λυπηρὰ ἐρρέθη, κἂν τε πρὸς ἄλλον περὶ σοῦ, καὶ μετὰ ταῦτα ἤκουσας, ἵνα μή, τῶν λογισμῶν τῆς μνησικακίας ἀνεχόμενος, εἰς τὸ ὀλέθριον μῖσος τοῦ ἀδελφοῦ ὑποστρέψῃς.*

35 *Οὐ δύναται ψυχὴ λογικὴ πρὸς ἄνθρωπον μῖσος τρέφουσα, πρὸς τὸν Θεὸν εἰρηνεῦσαι, τὸν τῶν ἐντολῶν δοτῆρα· «ἐὰν» γὰρ φησί, «μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν». Εἰ δὲ ἐκεῖνος εἰρηνεύειν οὐ θέλει, ἀλλὰ σύ γε σεαυτὸν*

12. Ματθ. 18,15.

31 Μή θεωρεῖς σάν φίλους ἐκείνους πού μεταφέρουν λόγια, τά ὁποῖα προξενοῦν λύπη σέ ἐσένα καί μίσος ἐναντίον τοῦ ἀδελφοῦ σου, καί ἄν ἀκόμη φαίνονται ὅτι λέγουν τῆν ἀλήθεια, ἀλλά ν' ἀποστρέφεσαι αὐτούς σάν φίδια πού θανατώνουν, ὥστε καί ἐκείνους νά τούς σταματήσεις νά κακολογοῦν, καί τήν ψυχή σου ν' ἀπαλλάξεις ἀπό τήν κακία.

32 Μή πληγώσεις τόν ἀδελφό σου μέ λόγια γεμάτα ἀπό ὑπονοούμενα ἐναντίον του, γιά νά μή συμβεῖ νά δεχθεῖς καί σύ τά ἴδια ἀπ' αὐτόν καί ἔτσι ἀπομακρύνεις καί ἀπό τούς δύο τή διάθεση τῆς ἀγάπης, ἀλλά μέ θάρρος γεμάτο ἀπό ἀγάπη πήγαινε καί ἔλεγξέ τον[12], ὥστε, ἀφοῦ διαλύσεις τίς αἰτίες τῆς λύπης, ν' ἀπαλλάξεις καί τούς δύο ἀπό τήν ταραχή καί τή λύπη.

33 Ἐρεύνησε τή συνείδησή σου μέ κάθε προσοχή, μήπως καί ἐξ αἰτίας σου δέν συμφιλιώθηκε ὁ ἀδελφός σου μαζί σου, καί μή κάμνεις ἐσφαλμένες σκέψεις γι' αὐτήν, πού γνωρίζει τίς ἀπόκρυφες σκέψεις σου, γιά νά μή σοῦ γίνει ἐμπόδιο κατά τήν ὥρα τῆς προσευχῆς, καί κατήγορος κατά τήν ἀναχώρησή σου ἀπό τήν ἐδῶ ζωή.

34 Μή φέρνεις στή σκέψη σου κατά τόν καιρό τῆς εἰρήνης τά ὅσα λέχθηκαν ἀπό τόν ἀδελφό σου ἐναντίον σου κατά τόν καιρό τῆς λύπης πού σοῦ προξένησε, εἴτε λέχθηκαν τά λυπηρά σέ σένα τόν ἴδιο, εἴτε σέ ἄλλον γιά σένα καί τά ἄκουσες μετά, ὥστε νά μή συμβεῖ, δείχνοντας ἀνοχή στούς λογισμούς τῆς μνησικακίας, νά ἐπιστρέψεις στό ὀλέθριο μίσος ἐναντίον τοῦ ἀδελφοῦ σου.

35 Δέν εἶναι δυνατό ψυχή λογική, πού τρέφει μίσος πρός κάποιον ἄνθρωπο, νά εἰρηνεύει μέ τό Θεό, πού ἔδωσε τίς ἐντολές· διότι λέγει· «ἐάν δέν συγχωρήσετε τά παραπτώματα τῶν ἀνθρώπων, οὔτε ὁ Πατέρας ὁ οὐράνιος θά συγχωρήσει τά δικά σας παραπτώματα»[13]. Ἐάν ἐκεῖνος δέν θέλει νά εἰρηνεύει μαζί σου, σύ ὅμως προφύλαξε τόν ἑαυτό σου ἀπό τό μίσος, προσευ-

13. Ματθ. 6,14.

*ἀπὸ μίσους φύλαξον, προσευχόμενος ὑπὲρ αὐτοῦ γνησίως, καὶ μὴ κακολογῶν αὐτὸν πρός τινα.*

36 *Ἡ τῶν ἁγίων ἀγγέλων ἄφραστος εἰρήνη ταῖς δυσὶ ταύταις κεκράτηται διαθέσεσι· τῇ τε πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ. Ὁμοίως δέ, καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων. Παγκάλως οὖν εἴρηται ὑπὸ τοῦ Σωτῆρος ἡμῶν, ὅτι «ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὁ νόμος ὅλος καὶ οἱ προφῆται κρέμανται».*

37 *Μὴ ἔσο αὐτάρεσκος, καὶ οὐκ ἔσῃ μισάδελφος· καὶ μὴ ἔσο φίλαυτος, καὶ ἔσῃ φιλόθεος.*

38 *Πνευματικοῖς συζῆσαι προῃρημένος, τοῖς σοῖς θελήμασιν ἀπὸ θυρῶν ἀπόταξαι· οὐ μὴ γὰρ ἑτέρῳ τρόπῳ εἰρηνεῦσαι δυνήσῃ, οὔτε πρὸς τὸν Θεὸν οὔτε πρὸς τοὺς συζῶντας.*

39 *Ὁ τελείαν ἀγάπην κτήσασθαι δυνηθεὶς καὶ ὅλον τὸν βίον αὐτοῦ πρὸς ταύτην ρυθμίσας, οὗτος λέγει Κύριον Ἰησοῦν ἐν Πνεύματι ἁγίῳ. Καὶ ἐκ τοῦ ἐναντίου, τὰ ἐναντία δηλονότι.*

40 *Ἡ μὲν εἰς Θεὸν ἀγάπη, εἰς τὴν θείαν ὁμιλίαν ἀεὶ φιλεῖ πτερῶσαι τὸν νοῦν, ἡ δὲ εἰς τὸν πλησίον, ἀεὶ καλὰ λογίζεσθαι περὶ αὐτοῦ παρασκευάζει.*

41 *Τοῦ ἔτι δόξαν ἀγαπῶντος κενὴν ἢ τινι τῶν ὑλικῶν πραγμάτων προσκειμένου, ἐστὶ τὸ πρὸς ἀνθρώπους λυπεῖσθαι διὰ πρόσκαιρα, ἢ μνησικακεῖν αὐτοῖς, ἢ μῖσος ἔχειν πρὸς αὐτούς, ἢ λογισμοῖς δουλεύειν αἰσχροῖς, τῆς δὲ φιλοθέου ψυχῆς ταῦτα πάντα ἀλλότρια.*

42 *Ὅταν μηδὲν εἴπῃς μηδὲ πράξῃς αἰσχρὸν κατὰ διάνοιαν, καὶ*

14. Ματθ. 22,40.
15. Α' Κορ. 12,3.

χόμενος μέ καθαρή καρδιά γι' αὐτόν καί μή κακολογώντας τον σέ κανένα.

36 Ἡ ἀνέκφραστη εἰρήνη τῶν ἁγίων ἀγγέλων διατηρεῖται μέ τίς δύο αὐτές διαθέσεις, μέ τήν ἀγάπη δηλαδή πρός τό Θεό, καί μέ τήν ἀγάπη ἀναμεταξύ τους. Τό ἴδιο πράγμα γίνεται καί μέ τούς ἁγίους ὅλων τῶν αἰώνων. Πάρα πολύ ὀρθά λοιπόν λέχθηκε ἀπό τό Σωτήρα μας, ὅτι «ὅλος ὁ νόμος καί οἱ προφῆτες κρέμονται ἀπό αὐτές τίς δύο ἐντολές»[14].

37 Μήν εἶσαι αὐτάρεσκος, καί δέν θά γίνεις μισάδελφος· καί μή εἶσαι φίλαυτος, καί θά γίνεις φιλόθεος.

38 Παίρνοντας τήν ἀπόφαση νά ζήσεις μαζί μέ πνευματικούς ἀδελφούς, ἀπομάκρυνε κατά την εἴσοδό σου σ' αὐτούς τά θελήματά σου· διότι δέν θά μπορέσεις μέ ἄλλο τρόπο νά εἰρηνεύσεις οὔτε μέ τό Θεό, οὔτε μέ ἐκείνους πού ζοῦν μαζί σου.

39 Ἐκεῖνος πού μπόρεσε ν' ἀποκτήσει τέλεια ἀγάπη καί ρύθμισε ὅλη τή ζωή του σύμφωνα μ' αὐτήν, αὐτός μπορεῖ νά ὀνομάζει Κύριον τόν Ἰησοῦν, ἐπικαλούμενος τό ἅγιο Πνεῦμα[15]. Εἶναι φανερό ὅτι τό ἀντίθετο πράγμα συμβαίνει στήν ἀντίθετη περίπτωση.

40 Ἡ πρός τό Θεό ἀγάπη ἐπιθυμεῖ πάντοτε νά βλέπει τό νοῦ νά πετᾶ καί νά ἔρχεται σέ στενή ἐπικοινωνία μέ τό Θεό, ἐνῶ ἡ ἀγάπη πρός τόν πλησίον κάμνει τόν νοῦ νά σκέπτεται πάντοτε καλά γι' αὐτόν.

41 Ἐκεῖνος πού ἀγαπᾶ ἀκόμη τή μάταια δόξα ἤ εἶναι προσκολλημένος σέ κάποιο ἀπό τά ὑλικά πράγματα, συμβαίνει αὐτός ὁπωσδήποτε νά λυπᾶται πρός τούς ἀνθρώπους γιά πρόσκαιρα πράγματα, ἤ νά μνησικακεῖ ἐναντίον αὐτῶν, ἤ νά τρέφει μίσος πρός αὐτούς, ἤ νά εἶναι δοῦλος αἰσχρῶν λογισμῶν, ἐνῶ ὅλα αὐτά εἶναι ἄγνωστα γιά τήν ψυχή ἐκείνου πού ἀγαπᾶ τό Θεό.

42 Ὅταν δέν πεῖς τίποτε, οὔτε καί κάνεις κάτι αἰσχρό μέ τή

*ὅταν τῷ ζημιώσαντι ἢ κακολογήσαντι μὴ μνησικακήσῃς· καὶ ὅταν ἐν τῷ καιρῷ τῆς προσευχῆς ἄϋλον καὶ ἀνείδεον ἀεὶ ἔχῃς τὸν νοῦν, τότε γνῶθι, ὅτι φθάσας εἰς τὸ μέτρον τῆς ἀπαθείας καὶ τῆς τελείας ἀγάπης.*

43 *Οὐ μικρὸς ἀγὼν κενοδοξίας ἀπαλλαγῆναι, ἀπαλλάττεται δέ τις, διὰ κρυπτῆς τῶν ἀρετῶν ἐργασίας καὶ συχνοτέρας προσευχῆς. Σημεῖον δὲ τῆς ἀπαλλαγῆς τὸ μηκέτι μνησικακεῖν τῷ κακολογήσαντι ἢ κακολογοῦντι.*

44 *Εἰ θέλεις εἶναι δίκαιος, ἀπόνεμε ἑκάστῳ τῶν ἐν σοὶ μερῶν τὰ κατ' ἀξίαν· ψυχῇ λέγω καὶ σώματι. Καὶ τῷ μὲν λογιστικῷ τῆς ψυχῆς ἀναγνώσματα καὶ θεωρήματα πνευματικὰ καὶ προσευχήν, τῷ δὲ θυμικῷ, ἀγάπην πνευματικήν, τὴν τῷ μίσει ἀντικειμένην, τῷ δὲ ἐπιθυμητικῷ, σωφροσύνην καὶ ἐγκράτειαν, τῷ δὲ σαρκίῳ διατροφὴν καὶ σκεπάσματα, τὰ μόνα ἀναγκαιότερα.*

45 *Κατὰ φύσιν ὁ νοῦς ἐνεργεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα καὶ τοὺς λόγους τῶν ὄντων θεωρῇ καὶ πρὸς τὸν Θεὸν διάγῃ.*

46 *Ὥσπερ ὑγεία καὶ νόσος πρὸς τὸ σῶμα θεωρεῖται τοῦ ζώου, καὶ φῶς καὶ σκότος πρὸς τὸν ὀφθαλμόν, οὕτως ἀρετὴ καὶ κακία πρὸς τὴν ψυχήν, καὶ γνῶσις καὶ ἀγνωσία πρὸς τὸν νοῦν.*

47 *Ἐν τοῖς τρισὶ τούτοις ὁ Χριστιανὸς φιλοσοφεῖ ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καὶ ἐν τῇ πίστει. Καὶ αἱ μὲν ἐντολαὶ τῶν παθῶν τὸν νοῦν χωρίζουσι, τὰ δὲ δόγματα εἰς τὴν γνῶσιν τῶν ὄντων αὐτὸν εἰσάγουσι, ἡ δὲ πίστις εἰς τὴν θεωρίαν τῆς ἁγίας Τριάδος.*

48 *Οἱ μὲν τῶν ἀγωνιζομένων ἀποκρούονται μόνον τοὺς ἐμπαθεῖς λογισμούς, οἱ δὲ καὶ αὐτὰ τὰ πάθη περικόπτουσι. Καὶ ἀποκρούεται μέν τις τοὺς ἐμπαθεῖς λογισμούς, οἷον, ἢ ψαλμῳδίᾳ ἢ*

σκέψη σου, καί ὅταν δέν κρατήσεις μνησικακία γιά ἐκεῖνον πού σέ ἔβλαψε ἤ σέ κακολόγησε, καί ὅταν ἀκόμη κατά τήν ὥρα τῆς προσευχῆς ἔχεις τά σχήματα τοῦ κόσμου, τότε πίστεψε, ὅτι ἔφθασες στό μέτρο τῆς ἀπάθειας καί τῆς τέλειας ἀγάπης.

43 Δέν εἶναι μικρός ἀγώνας τό ν' ἀπαλλαγεῖ κανείς ἀπό τή ματαιοδοξία, καί ἀπαλλάσσεται μέ κρυφή ἄσκηση τῶν ἀρετῶν καί συχνότερη προσευχή. Ἀπόδειξη τῆς ἀπαλλαγῆς εἶναι τό νά μή μνησικακεῖ πλέον ἐναντίον ἐκείνου πού τόν κακολόγησε ἤ τόν κακολογεῖ.

44 Ἐάν θέλεις νά εἶσαι δίκαιος δίνε αὐτό πού ἀναλογεῖ στό καθένα ἀπό τά δύο μέρη σου, ἐννοῶ στήν ψυχή καί στό σῶμα. Στό λογιστικό μέρος τῆς ψυχῆς δίνε ἀναγνώσματα, πνευματικά θεωρήματα, καί προσευχή, στό θυμικό μέρος αὐτῆς δίνε πνευματική ἀγάπη, πού ἀντιστέκεται στό μίσος, καί στό ἐπιθυμητικό μέρος αὐτῆς δίνε σωφροσύνη καί ἐγκράτεια, ἐνῶ στή σάρκα δίνε τροφές καί ἐνδύματα ἐκεῖνα μόνο πού εἶναι τά πιό ἀναγκαῖα.

45 Ὁ νοῦς ἐνεργεῖ φυσιολογικά ὅταν ἔχει ὑποταγμένα τά πάθη, ἐρευνᾶ τούς λόγους τῶν ὄντων, καί ζεῖ προσηλωμένος στό Θεό.

46 Ἐκεῖνο ἀκριβῶς πού θεωρεῖται ὅτι εἶναι γιά τόν ὀφθαλμό τό φῶς καί τό σκοτάδι, αὐτό εἶναι γιά τήν ψυχή ἡ ἀρετή καί ἡ κακία, καί γιά τό νοῦ ἡ γνώση καί ἡ ἀγνωσία.

47 Μέ τά τρία αὐτά ὁ Χριστιανός ἀσκεῖ τήν ἀρετή, μέ τίς ἐντολές, μέ τά δόγματα καί μέ τήν πίστη. Οἱ ἐντολές ἀπομακρύνουν τό νοῦ ἀπό τά πάθη, τά δόγματα ὁδηγοῦν στή γνώση τῶν ὄντων, ἐνῶ ἡ πίστη ὁδηγεῖ αὐτόν στή θεωρία τῆς ἁγίας Τριάδος.

48 Ἄλλοι ἀπό ἐκείνους πού ἀγωνίζονται ἀποκρούουν μόνο ἐμπαθεῖς λογισμούς, καί ἄλλοι ξερριζώνουν καί τά ἴδια τά πάθη. Τούς ἐμπαθεῖς λογισμούς τούς ἀποκρούει κανείς μέ τήν

*προσευχῇ ἢ μετεωρισμῷ, ἢ ἄλλῳ τινὶ τοπικῷ περισπασμῷ, ἐκκόπτει δὲ τὰ πάθη τῶν πραγμάτων ἐκείνων περιφρονῶν, πρὸς ἅπερ αὐτὰ κέκτηται.*

49 *Πρὸς ἅπερ τὰ πάθη κεκτήμεθα πράγματα, εἰσὶ ταῦτα, οἷον, γυνή, χρήματα, δῶρα, καὶ τὰ ἑξῆς. Καὶ τῆς μὲν γυναικὸς τότε δύναταί τις περιφρονεῖν, ὅτε καὶ μετὰ τὴν ἀναχώρησιν καὶ τὸ σῶμα ὡς δεῖ δι' ἐγκρατείας μαραίνει, τῶν δὲ χρημάτων ὅτε πείθει τὸν λογισμὸν ἐν παντὶ τῇ αὐταρκείᾳ στοιχῆσαι· τῆς δὲ δόξης, ὅτε τὴν κρυπτὴν ἀγαπήσει τῶν ἀρετῶν ἐργασίαν, καὶ Θεῷ φαινομένην μόνῳ· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· ὁ δὲ τούτων περιφρονῶν, οὐδὲ εἰς μῖσός τινος ἔρχεταί ποτε.*

50 *Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ καὶ τοῖς χρήμασι καὶ τοῖς ἑξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε μοναχόν, οὔπω δὲ καὶ τὸν ἔσω. Ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον, ὅ ἐστιν ὁ νοῦς. Καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐκόλως τις ποιεῖ μοναχόν, μόνον ἐὰν θελήσῃ, οὐκ ὀλίγος δὲ ἀγὼν τὸν ἔσω ἄνθρωπον ποιῆσαι μοναχόν.*

51 *Τίς ἄρα ἐστὶν ἐν τῇ γενεᾷ ταύτῃ ὁ παντάπασιν ἀπαλλαγεὶς ἐμπαθῶν νοημάτων καὶ τῆς καθαρᾶς καὶ ἀΰλου καταξιωθεὶς προσευχῆς, ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον μοναχοῦ;*

52 *Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται· τότε δὲ ἐλέγχονται, ὅταν τὰ πράγματα ἀναφαίνωνται.*

53 *Δύναταί τις μὴ ὀχλεῖσθαι ὑπὸ παθῶν ἐν τῇ τῶν πραγμάτων*

ψαλμωδία, μέ τήν προσευχή, μέ τήν πνευματική ἀνύψωση, ἤ καί μέ κάποια ἄλλη σωματική ἀπασχόληση, ἐνῶ τά πάθη τά ξερριζώνει περιφρονώντας τά πράγματα ἐκεῖνα ἀπό τά ὁποῖα δημιουργοῦνται αὐτά.

49 Τά πράγματα ἐκεῖνα ἀπό τά ὁποῖα δημιουργοῦνται τά πάθη εἶναι ἡ γυναίκα, τά χρήματα, τά δῶρα καί τά παρόμοια. Τή γυναίκα τότε κανείς μπορεῖ νά τήν περιφρονεῖ, ὅταν καί μετά τήν ἀναχώρηση ἀπό τόν κόσμο μαραίνει τό σῶμα μέ τήν ἐγκράτεια, ὅσο χρειάζεται, τά χρήματα τά περιφρονεῖ, ὅταν πείθει τό λογισμό νά ἐφαρμόζει στό κάθε τι τήν αὐτάρκεια, ἐνῶ τή δόξα τήν περιφρονεῖ, ὅταν ἀγαπήσει τήν κρυφή ἐργασία τῶν ἀρετῶν, πού εἶναι φανερή μόνο στό Θεό. Κατ' ἀνάλογο τρόπο μπορεῖ νά περιφρονήσει καί τά ἄλλα πράγματα. Ἐκεῖνος λοιπόν πού περιφρονεῖ αὐτά, δέν φθάνει ποτέ σέ κανένα μίσος.

50 Ἐκεῖνος πού ἀπαρνήθηκε τά κοσμικά πράγματα, ὅπως τή γυναίκα, τά χρήματα, καί τά παρόμοια, ἔκανε μοναχό μόνο τόν ἐξωτερικό ἄνθρωπο, ἐνῶ τόν ἐσωτερικό δέν τόν ἔκανε ἀκόμη. Ἐκεῖνος ὅμως πού ἀπαρνήθηκε τά ἐμπαθή νοήματα αὐτῶν, αὐτός ἔκανε μοναχό καί τόν ἐσωτερικό ἄνθρωπο, πού εἶναι ὁ νοῦς. Τόν ἐξωτερικό ἄνθρωπο εὔκολα τόν κάμνει κανείς μοναχό, ἀρκεῖ μόνο νά θελήσει, δέν χρειάζεται ὅμως λίγος ἀγώνας γιά νά κάνει μοναχό καί τόν ἐσωτερικό ἄνθρωπο.

51 Ποιός ἄραγε εἶναι ἐκεῖνος πού κατά τή γενεά αὐτή ἀπαλλάχθηκε τελείως ἀπό τά ἐμπαθῆ νοήματα καί καταξιώθηκε νά προσεύχεται μέ καρδιά καθαρή καί ἀπαλλαγμένη ἀπό τά ὑλικά πράγματα, πράγμα πού ἀποτελεῖ ἀπόδειξη τοῦ ἐσωτερικοῦ μοναχοῦ;

52 Πολλά πάθη εἶναι κρυμμένα μέσα στήν ψυχή μας, καί τότε φανερώνονται, ὅταν κάνουν τήν ἐμφάνισή τους τά πράγματα πού τά προξενοῦν.

53 Μπορεῖ κανείς, πού πέτυχε μερική ἀπάθεια, νά μή ἐνοχλεῖ-

*ἀπουσίᾳ, μερικῆς τυχὼν ἀπαθείας, ἐὰν δὲ ἀναφανῶσι τὰ πράγματα, εὐθὺς τὰ πάθη τὸν νοῦν περισπῶσι.*

54 *Μὴ νόμιζε τελείαν ἔχειν ἀπάθειαν, τοῦ πράγματος μὴ παρόντος. Ὅταν δὲ φανῇ καὶ μένῃς ἀκίνητος, πρός τε τὸ πρᾶγμα καὶ τὴν μετὰ ταῦτα μνήμην αὐτοῦ, τότε γνῶθι σεαυτὸν τῶν ὅρων αὐτῆς ἐπιβεβηκέναι. Πλὴν μηδὲ οὕτω καταφρονήσῃς, διότι ἀρετὴ μὲν χρονίζουσα νεκροῖ τὰ πάθη, ἀμελουμένη δέ, πάλιν ἐγείρει αὐτά.*

55 *Ὁ ἀγαπῶν τὸν Χριστὸν πάντως καὶ μιμεῖται αὐτὸν κατὰ δύναμιν. Οἷον, ὁ Χριστὸς τοὺς ἀνθρώπους εὐεργετῶν οὐκ ἐπαύσατο, καὶ ἀχαριστούμενος καὶ βλασφημούμενος, ἐμακροθύμει, καὶ τυπτόμενος ὑπ᾽ αὐτῶν καὶ φονευόμενος, ὑπέμενε, μηδενὶ τοσύνολον τὸ κακὸν λογιζόμενος. Ταῦτα δὲ τὰ τρία, τὰ ἔργα εἰσὶ τῆς εἰς τὸν πλησίον ἀγάπης, ὧν χωρὶς ὁ λέγων ἀγαπᾶν τὸν Χριστόν, ἢ τῆς βασιλείας αὐτοῦ τυχεῖν, ἑαυτὸν ἀπατᾷ· «οὐ γὰρ ὁ λέγων μοι», φησί, «Κύριε, Κύριε, οὗτος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου». Καὶ πάλιν· «ὁ ἀγαπῶν ἐμέ, καὶ τὰς ἐντολάς μου τηρήσει», καὶ τὰ ἑξῆς.*

56 *Ἅπας ὁ σκοπὸς τῶν ἐντολῶν τοῦ Σωτῆρος, ἵνα ἀκρασίας καὶ μίσους τὸν νοῦν ἐλευθερώσῃ καὶ εἰς τὴν αὐτοῦ ἀγάπην καὶ τοῦ πλησίον ἀγάγῃ, ἐξ ὧν τίκτεται τὸ φέγγος τῆς κατ᾽ ἐνέργειαν ἁγίας γνώσεως.*

57 *Μερικῆς γνώσεως παρὰ τοῦ Θεοῦ καταξιωθείς, μὴ ἀμέλει ἀγάπης καὶ ἐγκρατείας. Αὗται γάρ, τὸ παθητικὸν μέρος τῆς ψυ-*

16. Ματθ. 7,21.

ται ἀπό τά πάθη, ὅταν ἀπουσιάζουν τά πράγματα πού τά προξενοῦν, ἐάν ὅμως ἐμφανισθοῦν τά πράγματα, ἀμέσως τά πάθη ἀποσποῦν τό νοῦ.

54 Νά μή νομίζεις ὅτι ἔχεις τέλεια ἀπάθεια ὅταν τό πράγμα ἀπουσιάζει. Ὅταν κάνει τήν ἐμφάνισή του τό πράγμα καί μένεις ἀκίνητος καί ὡς πρός αὐτό, καί ὡς πρός τήν ἐνθύμηση αὐτοῦ στή συνέχεια, τότε πίστεψε, ὅτι πάτησες τά σύνορα τῆς ἀπάθειας. Πλήν ὅμως οὔτε καί ἔτσι νά δείξεις ἀμέλεια· διότι ἡ ἀρετή ὅσο περνάει ὁ χρόνος νεκρώνει τά πάθη, ὅταν ὅμως ἀμεληθεῖ, διεγείρονται καί πάλι αὐτά.

55 Ἐκεῖνος πού ἀγαπᾶ τό Χριστό ὁπωσδήποτε καί μιμεῖται αὐτόν κατά δύναμη. Γιά παράδειγμα, ὁ Χριστός δέν ἔπαυσε νά εὐεργετεῖ τούς ἀνθρώπους, καί, ἐνῶ συμπεριφέρονταν πρός αὐτόν μέ ἀχαριστία καί τόν βλασφημοῦσαν, αὐτός ἔδειχνε μακροθυμία, καί, ἐνῶ τόν χτυποῦσαν καί τόν ὁδηγοῦσαν στό θάνατο, τά ὑπέμενε ὅλα, μή σκεπτόμενος κακό γιά κανένα ἀπ' αὐτούς. Αὐτά τά τρία εἶναι τά ἔργα τῆς πρός τόν πλησίον ἀγάπης, χωρίς τά ὁποῖα, ἐκεῖνος πού λέγει, ὅτι ἀγαπᾶ τό Χριστό ἤ ὅτι θά ἐπιτύχει τή βασιλία αὐτοῦ, ἀπατᾶ τόν ἑαυτό του· διότι λέγει, «δέν θά εἰσέλθει στή βασιλεία τῶν οὐρανῶν ἐκεῖνος πού μοῦ λέγει, Κύριε, Κύριε, ἀλλ' ἐκεῖνος πού ἐκτελεῖ τό θέλημα τοῦ Πατέρα μου»[16]. Καί πάλι· «ἐκεῖνος πού μέ ἀγαπᾶ θά τηρήσει καί τίς ἐντολές μου»[17], καί τά ὅσα λέγονται στή συνέχεια.

56 Ὅλος ὁ σκοπός τῶν ἐντολῶν τοῦ Σωτήρα εἶναι νά ἐλευθερώσει τό νοῦ ἀπό τήν ἀκράτεια καί τό μίσος καί νά τόν ὁδηγήσει στήν ἀγάπη πρός αὐτόν καί τόν πλησίον, ἀπό τά ὁποῖα γεννιέται τό φῶς τῆς ἁγίας γνώσεως πού συνοδεύεται μέ τά ἔργα τῆς ἀγάπης.

57 Ὅταν καταξιωθεῖς νά λάβεις ἀπό τό Θεό λίγη γνώση, μή δείχνεις ἀμέλεια γιά τήν ἀγάπη καί τήν ἐγκράτεια. Διότι αὐτές,

17. Ἰω. 14,15.

*χῆς ἐκκαθαίρουσαι, τὴν ἐπὶ τὴν γνῶσιν ὁδὸν ἀεί σοι εὐτρεπίζουσιν.*

58 *Ὁδὸς ἐπὶ τὴν γνῶσίν ἐστιν ἀπάθεια καὶ ταπείνωσις, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.*

59 *Ἐπειδὴ ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ, σύζευξον τῇ γνώσει τὴν ἀγάπην, καὶ ἔσῃ ἄτυφος καὶ πνευματικὸς οἰκοδόμος, καὶ σεαυτὸν οἰκοδομῶν καὶ πάντας τοὺς ἐγγίζοντάς σοι.*

60 *Ἐντεῦθεν ἡ ἀγάπη οἰκοδομεῖ, ἐπειδὴ οὐδὲ φθονεῖ, οὐδὲ πρὸς φθονοῦντας πικραίνεται, οὐδὲ τὸ φθονούμενον δημοσιεύει ἐπιδεικτικῶς, οὐδὲ λογίζεται ἑαυτὸν ἤδη κατειληφέναι, καὶ ὧν δὲ οὐκ οἶδεν, ὁμολογεῖ ἀνερυθριάστως τὴν ἄγνοιαν. Οὕτως οὖν τὸν νοῦν ἄτυφον ἀπεργάζεται καὶ προκόπτειν εἰς τὴν γνῶσιν ἀεὶ παρασκευάζει.*

61 *Πέφυκέ πως παρέπεσθαι τῇ γνώσει ἡ οἴησις καὶ φθόνος ἐν προοιμίοις μάλιστα. Καὶ ἡ μὲν οἴησις ἔνδοθεν μόνον, ὁ δὲ φθόνος καὶ ἔνδοθεν καὶ ἔξωθεν. Καὶ ἔνδοθεν μὲν πρὸς τοὺς ἔχοντας γνῶσιν, ἔξωθεν δὲ ἀπὸ τῶν ἐχόντων. Ἡ οὖν ἀγάπη τὰ τρία ἀνατρέπει· τὴν μὲν οἴησιν, ἐπειδὴ οὐ φυσιοῦται, τὸν δὲ ἔνδοθεν φθόνον, ἐπεὶ οὐ ζηλοῖ, τὸν δὲ ἔξωθεν, ἐπειδὴ μακροθυμεῖ καὶ χρηστεύεται. Ἀνάγκη οὖν τὸν ἔχοντα γνῶσιν προσλαβέσθαι καὶ τὴν ἀγάπην, ἵνα ἄτρωτον τὸν νοῦν ἐν παντὶ διαφυλάττῃ.*

62 *Ὁ τοῦ χαρίσματος τῆς γνώσεως καταξιωθεὶς καὶ λύπην ἢ μνησικακίαν πρὸς ἄνθρωπον ἔχων ἢ μῖσος, ὅμοιός ἐστι τῷ*

---

18. Ἑβρ. 12,14.
19. Α' Κορ. 8,1.
20. Φιληππ. 3,12.

καθαρίζοντας τό παθητικό μέρος τῆς ψυχῆς, σοῦ ἑτοιμάζουν πάντοτε τήν ὁδό πού ὁδηγεῖ στή γνώση.

58 Ἡ ὁδός πού ὁδηγεῖ στή γνώση εἶναι ἡ ἀπάθεια καί ἡ ταπείνωση, «χωρίς τίς ὁποῖες κανένας δέν θά δεῖ τόν Κύριο»[18].

59 Ἐπειδή ἡ γνώση δημιουργεῖ ἀλαζονεία, ἐνῶ ἡ ἀγάπη οἰκοδομεῖ[19], γι' αὐτό σύζευξε τή γνώση μέ τήν ἀγάπη, καί θά γίνεις ταπεινόφρονας καί πνευματικός οἰκοδόμος, οἰκοδομώντας ἔτσι πνευματικά καί τόν ἑαυτό σου, καί ὅλους ἐκείνους πού σέ πλησιάζουν.

60 Γι' αὐτό τό λόγο ἡ ἀγάπη οἰκοδομεῖ, ἐπειδή οὔτε φθονεῖ, οὔτε πικραίνει ἐκείνους πού φθονοῦν, οὔτε δημοσιεύει ἐπιδεικτικά τό φθονούμενο, οὔτε θεωρεῖ τόν ἑαυτό του, ἐκεῖνος πού ἀγαπᾶ, ὅτι ἔφθασε στήν τέλεια γνώση[20], καί ἐκεῖνα πού δέν τά γνωρίζει, ὁμολογεῖ, χωρίς νά ντρέπεται, τήν ἄγνοια. Ἔτσι λοιπόν κάνει τό νοῦ ταπεινόφρονα, καί τόν προετοιμάζει νά προκόβει πάντοτε στή γνώση.

61 Εἶναι κατά κάποιο τρόπο φυσικό ν' ἀκολουθοῦν τή γνώση ἡ ἀλαζονεία καί ὁ φθόνος, καί μαλιστα στήν ἀρχή τῆς γνώσεως. Ἡ ἀλαζονεία ἐμφανίζεται μόνο ἐσωτερικά ἐνῶ ὁ φθόνος καί ἐσωτερικά καί ἐξωτερικά. Ἐσωτερικά ἐκδηλώνεται πρός ἐκείνους πού ἔχουν γνώση, ἐνῶ ἐξωτερικά ἀπό ἐκείνους πού ἔχουν γνώση. Ἡ ἀγάπη λοιπόν ἀνατρέπει καί τά τρία αὐτά· τήν ἀλαζονεία, ἐπειδή δέν ὑπερηφανεύεται, τόν ἐσωτερικό φθόνο, ἐπειδή δέν ζηλεύει, καί τόν ἐξωτερικό φθόνο, ἐπειδή δείχνει μακροθυμία καί καλωσύνη[21]. Πρέπει λοιπόν ἐκεῖνος πού ἔχει γνώση ν' ἀποκτήσει καί τήν ἀγάπη, γιά νά διαφυλάσσει σέ κάθε περίπτωση ἀπρόσβλητο τό νοῦ.

62 Ἐκεῖνος πού καταξιώθηκε νά λάβει τό χάρισμα τῆς γνώσεως, καί λυπεῖ τό συνάνθρωπό του ἤ τρέφει μνησικακία ἤ μίσος πρός αὐτόν, μοιάζει μέ ἐκεῖνον πού κατακεντάει τά μάτια του

21. Α' Κορ. 13,4.

*ἀκάνθαις καὶ τριβόλοις τοὺς ὀφθαλμοὺς κατακεντοῦντι. Διὸ ἀναγκαίως δέεται ἡ γνῶσις ἀγάπης.*

63 *Μὴ ὅλην τὴν σχολήν σου περὶ τὴν σάρκα ἔχε, ἀλλὰ ὅρισον αὐτῇ τὴν κατὰ δύναμιν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου περὶ τὰ ἔνδον τρέψον· «ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ἐστὶν ὠφέλιμος», καὶ τὰ ἑξῆς.*

64 *Ὁ ἀδιαλείπτως περὶ τὰ ἔνδον τὰς διατριβὰς ποιούμενος, σωφρονεῖ, μακροθυμεῖ, χρηστεύεται, ταπεινοφρονεῖ. Οὐ μόνον δέ, ἀλλὰ καὶ θεωρεῖ καὶ θεολογεῖ καὶ προσεύχεται. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ Ἀπόστολος, «Πνεύματι περιπατεῖτε», καὶ τὰ ἑξῆς.*

65 *Ὁ τὴν πνευματικὴν ὁδὸν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα, ἀλλ' ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχει καί, ἢ γαστριμαργεῖ καὶ ἀκολασταίνει, λυπεῖταί τε καὶ ὀργίζεται καὶ μνησικακεῖ, καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει, ἢ ἀμέτρως τῇ ἀσκήσει κέχρηται, καὶ θολοῖ τὴν διάνοιαν.*

66 *Οὐδὲν τῶν ἐκ Θεοῦ εἰς χρῆσιν ἡμῖν δοθέντων ἀναιρεῖ ἡ Γραφή, ἀλλὰ τὴν ἀμετρίαν κολάζει καὶ τὴν ἀλογιστίαν διορθοῦται. Οἷον, οὐ κωλύει ἐσθίειν, οὐδὲ παιδοποιεῖν, οὐδὲ χρήματα ἔχειν καὶ ὀρθῶς διοικεῖν, ἀλλὰ κωλύει γαστριμαργεῖν, πορνεύειν, καὶ τὰ ἑξῆς. Ἀλλ' οὐδὲ τὸ νοεῖν ταῦτα κωλύει (διὰ τοῦτο γὰρ γεγόνασιν), ἀλλὰ τὸ ἐμπαθῶς νοεῖν.*

67 *Τὰ μὲν τῶν ὑφ' ἡμῶν κατὰ Θεὸν πραττομένων κατ' ἐντολὴν πράττεται, τὰ δέ, οὐ κατ' ἐντολήν, ἀλλ', ὡς ἂν τις εἴποι,*

---

22. Α' Τιμ. 4,8.

μέ ἀγκάθια καί τριβόλια. Γι' αὐτό κατ' ἀνάγκη χρειάζεται ἡ γνώση τήν ἀγάπη.

63 Μή συγκεντρώνεις ὅλη τή φροντίδα σου στή σάρκα, ἀλλ' ὅρισε γι' αὐτήν τήν κατά δύναμη ἄσκηση, καί στρέψε ὅλο τό νοῦ σου πρός τήν ἐσωτερική ἄσκηση· «διότι ἡ σωματική ἄσκηση εἶναι λίγο ὠφέλιμη, ἐνῶ ἡ εὐσέβεια εἶναι ὡς πρός ὅλα ὠφέλιμη»[22], καί τά ἑξῆς.

64 Ἐκεῖνος πού ἀσχολεῖται ἀδιάκοπα μέ τήν ἐσωτερική ἄσκηση, αὐτός δείχνει σωφροσύνη, μακροθυμία, καλωσύνη καί ταπεινοφροσύνη. Καί ὄχι μόνο αὐτό, ἀλλά καί ἐρευνᾶ, καί θεολογεῖ, καί προσεύχεται. Καί αὐτό σημαίνει ἐκεῖνο πού λέγει ὁ Ἀπόστολος, «νά ἐνεργεῖτε ὁδηγούμενοι ἀπό τό Πνεῦμα»[23], καί τά ἑξῆς.

65 Ἐκεῖνος πού δέν γνωρίζει νά βαδίζει τήν πνευματική ὁδό, δέν φροντίζει γιά τά ἐμπαθῆ νοήματα, ἀλλ' ὅλη τή φροντίδα του τή συγκεντρώνει στή σάρκα, καί ἤ γίνεται κοιλιόδουλος καί ἀκόλαστος, λυπᾶται, ὀργίζεται καί μνησικακεῖ, καί μ' ὅλα αὐτά σκοτίζει τό νοῦ του, ἤ ἐφαρμόζει τήν ἄσκηση χωρίς μέτρο, καί ἔτσι θολώνει τό νοῦ του.

66 Τίποτε ἡ ἁγία Γραφή δέν ἀπορρίπτει ἀπό ἐκεῖνα πού μᾶς δόθηκαν ἀπό τό Θεό γιά νά τά χρησιμοποιοῦμε, ἀλλά κολάζει τήν ἀμετρία καί διορθώνει τήν ἀπερισκεψία. Γιά παράδειγμα, δέν ἐμποδίζει τό νά τρώγει κανείς, οὔτε ν' ἀποκτᾶ τέκνα, οὔτε νά ἔχει χρήματα καί τά διαχειρίζεται ὀρθά, ἀλλ' ἐμποδίζει τή γαστριμαργία, τήν πορνεία καί τά παρόμοια. Ἀκόμη οὔτε τό νά σκέπτεται αὐτά ἐμποδίζει (διότι γι' αὐτό δόθηκαν), ἀλλ' ἐμποδίζει τό νά σκέπτεται αὐτά μέ ἐμπάθεια.

67 Ἄλλα ἀπ' αὐτά πού πράττομε κατά Θεό, τά πράττομε κατ' ἐντολή αὐτοῦ, ἐνῶ ἄλλα δέν τά πράττομε κατ' ἐντολή αὐτοῦ,

23. Γαλ. 5,16.

καθ' ἑκούσιον προσφοράν. Οἷον κατ' ἐντολὴν μέν, τὸ ἀγαπᾶν τὸν Θεὸν καὶ τὸν πλησίον, τὸ ἀγαπᾶν τοὺς ἐχθρούς, τὸ μὴ μοιχεύειν μηδὲ φονεύειν καὶ τὰ λοιπά, ἅτινα καὶ παραβάντες, κατακρινόμεθα. Οὐ κατ' ἐντολὴν δέ, τὸ παρθενεύειν, ἡ ἀγαμία, ἡ ἀκτημοσύνη, ἡ ἀναχώρησις, καὶ τὰ ἑξῆς. Ταῦτα δώρων λόγον ἐπέχουσιν, ἵνα, ἐάν τινας τῶν ἐντολῶν κατορθῶσαι ἐξ ἀσθενείας μὴ δυνηθῶμεν, διὰ τῶν δώρων τὸν ἀγαθὸν ἡμῶν ἐξιλεωσώμεθα Δεσπότην.

68 Ὁ τὴν ἀγαμίαν τιμῶν ἢ παρθενίαν, ἀναγκαίως ὀφείλει ἔχειν τὴν ὀσφὺν δι' ἐγκρατείας, τὸν δὲ λύχνον, διὰ προσευχῆς καὶ θεωρίας καὶ ἀγάπης πνευματικῆς.

69 Τινὲς τῶν ἀδελφῶν ἐκτὸς ἑαυτοὺς εἶναι νομίζουσι τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων. Οὐ γὰρ ἴσασι διὰ τὴν ἀμέλειαν τῆς τῶν ἐντολῶν ἐργασίας, ὅτι ὁ τὴν εἰς Χριστὸν πίστιν ἀνόθευτον ἔχων, πάντα τὰ θεῖα χαρίσματα συλλήβδην ἔχει ἐν ἑαυτῷ. Ἐπειδὴ γὰρ τῆς εἰς αὐτὸν κατ' ἐνέργειαν ἀγάπης διὰ τὴν ἀργίαν μακρὰν ἐσμεν, τῆς δεικνυούσης ἡμῖν τοὺς ἐν ἡμῖν θείους θησαυρούς, εἰκότως ἐκτὸς ἑαυτοὺς τῶν θείων νομίζομεν χαρισμάτων.

70 Εἰ «ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως», κατὰ τὸν θεῖον Ἀπόστολον, «πάντες δὲ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν αὐτῷ εἰσιν ἀπόκρυφοι», πάντες ἄρα οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν εἰσιν ἀπόκρυφοι. Φανεροῦνται δὲ τῇ καρδίᾳ, κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου διὰ τῶν ἐντολῶν καθάρσεως.

24. Λουκᾶ 12,35.
25. Ἐφεσ. 3,17.

ἀλλά, ὅπως θά μποροῦσε νά πεῖ κανείς, τά πράττομε σάν προαιρετική προσφορά. Γιά παράδειγμα πράξεις μας κατ' ἐντολή τοῦ Θεοῦ εἶναι τό ν' ἀγαπᾶμε τό Θεό καί τόν πλησίον μας, τό ν' ἀγαπᾶμε τούς ἐχθρούς μας, τό νά μή μοιχεύουμε, οὔτε καί νά φονεύουμε καί τά λοιπά, τά ὁποῖα ἄν παραβοῦμε κατακρινόμαστε. Πράξεις μας πού δέν γίνονται κατ' ἐντολή εἶναι ἡ παρθενία, ἡ ἀγαμία, ἡ ἀκτημοσύνη, ἡ ἀναχώρηση ἀπό τόν κόσμο, καί τά ἑξῆς. Αὐτά ἐπέχουν θέση δώρων, ὥστε, ἐάν ἀπό ἀδυναμία δέν μπορέσουμε νά κατορθώσουμε μερικές ἐντολές, νά ἐξιλεώσουμε τόν ἀγαθό μας Κύριο μέ τά δῶρα αὐτά.

68 Ἐκεῖνος πού τιμᾶ τήν ἀγαμία ἤ τήν παρθενία, εἶναι ὑποχρεωμένος νά ἔχει περιζωσμένη τή μέση του καί τό λυχνάρι νά καίει[24]· τό ζώσιμο τῆς μέσης γίνεται μέ τήν ἐγκράτεια, ἐνῶ γιά νά καίει τό λυχνάρι χρειάζεται προσευχή, ἔρευνα καί ἀγάπη πνευματική.

69 Μερικοί ἀπό τούς ἀδελφούς νομίζουν ὅτι ὁ ἑαυτός τους βρίσκεται ἔξω ἀπό τά χαρίσματα τοῦ ἁγίου Πνεύματος. Διότι δέν γνωρίζουν, ἐξ αἰτίας τῆς ἀμέλειάς τους ὡς πρός τήν ἐκτέλεση τῶν ἐντολῶν, ὅτι ἐκεῖνος πού ἔχει ἀνόθευτη τήν πίστη στό Χριστό, αὐτός ἔχει συγχρόνως καί ὅλα τά θεῖα χαρίσματα. Ἐπειδή δηλαδή βρισκόμαστε ἐξ αἰτίας τῆς ἀδιαφορίας μας μακριά ἀπό τήν ἀγάπη πρός αὐτόν πού συνοδεύεται καί ἀπό ἔργα, καί ἡ ὁποία μᾶς φανερώνει τούς θησαυρούς πού ὑπάρχουν μέσα μας, πολύ σωστά νομίζομε ὅτι στερούμαστε τά θεῖα χαρίσματα.

70 Ἐάν «ὁ Χριστός μέ τήν πίστη μας κατοικεῖ μέσα στίς καρδιές μας»[25], ὅπως λέγει ὁ θεῖος Ἀπόστολος, καί «ὅλοι οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως εἶναι κρυμμένοι μέσα σ' αὐτόν»[26], τότε ὅλοι οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως εἶναι κρυμμένοι μέσα στίς καρδιές μας, καί φανερώνονται στήν καρδιά μας ἀνάλογα μέ τήν κάθαρση τοῦ καθένα πού πραγματοποιεῖται μέ τήν ἐκτέλεση τῶν ἐντολῶν.

26. Κολοσ. 2,3.

71 *Οὗτός ἐστιν ὁ θησαυρὸς ὁ ἐν τῷ ἀγρῷ κεκρυμμένος τῆς καρδίας σου, ὃν οὔπω εὗρες διὰ τὴν ἀργίαν. Εἰ γὰρ εὗρες, ἄρα ἂν πέπρακες πάντα, καὶ ἐκτήσω τὸν ἀγρὸν τοῦτον. Νῦν δὲ τὸν ἀγρὸν ἀφείς, τὰ περὶ τὸν ἀγρὸν περιέπεις, ἐν οἷς οὐδὲν ἄλλο εὑρίσκεται, πλὴν ἀκανθῶν καὶ τριβόλων.*

72 *Διὰ τοῦτο λέγει ὁ Σωτήρ· «μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Τότε δὲ ὄψονται αὐτὸν καὶ τοὺς ἐν αὐτῷ θησαυρούς, ὅτε διὰ ἀγάπης καὶ ἐγκρατείας ἑαυτοὺς καθαίρουσι, καὶ τοσούτῳ πλέον, ὅσῳ τὴν κάθαρσιν ἐπιτείνουσι.*

73 *Διὰ τοῦτο πάλιν λέγει· «πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα ὑμῖν καθαρὰ ἔσται», ὡς μηκέτι τοῖς περὶ τὸ σῶμα σχολαζόντων πράγμασιν, ἀλλὰ τὸν νοῦν καθαίρειν σπευδόντων ἀπὸ μίσους καὶ ἀκρασίας, ὃν καρδίαν ὀνομάζει ὁ Κύριος. Ταῦτα γὰρ τὸν νοῦν ῥυποῦντα, οὐκ ἐῶσι βλέπειν τὸν ἐν αὐτῷ κατοικοῦντα Χριστὸν διὰ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος.*

74 *'Ὁδοὺς' ἡ Γραφὴ τὰς ἀρετὰς ὀνομάζει, μείζων δὲ πασῶν τῶν ἀρετῶν ἡ ἀγάπη καθέστηκε. Διὰ τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· «ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι», ὡς καταφρονεῖν πείθουσαν τῶν ὑλικῶν πραγμάτων, καὶ μηδὲν τῶν προσκαίρων προτιμᾶν τῶν αἰωνίων.*

75 *Ἡ εἰς Θεὸν ἀγάπη ἀνθίσταται τῇ ἐπιθυμίᾳ, πείθει γὰρ τὸν νοῦν ἐγκρατεύεσθαι ἀπὸ τῶν ἡδονῶν. Ἡ δὲ εἰς τὸν πλησίον ἀνθίσταται τῷ θυμῷ, ποιεῖ γὰρ καταφρονεῖν δόξης καὶ χρημάτων. Καὶ ταῦτά εἰσι τὰ δύο δηνάρια, ἅπερ ὁ Σωτὴρ δέδωκε τῷ παν-*

---

27. Ματθ. 13,44.
28. Ματθ. 5,8.

71 Αὐτός εἶναι ὁ θησαυρός πού εἶναι κρυμμένος μέσα στόν ἀγρό τῆς καρδιᾶς σου, τόν ὁποῖο δέν βρῆκες ἀκόμη ἐξ αἰτίας τῆς ἀδιαφορίας σου. Διότι, ἐάν τόν ἔβρισκες, θά τά πουλοῦσες τότε ὅλα γιά ν' ἀποκτήσεις τόν ἀγρό αὐτό[27]. Τώρα ὅμως, ἀφήνοντας κατά μέρος τόν ἀγρό, φροντίζεις γιά τά βρισκόμενα γύρω ἀπό τόν ἀγρό, στά ὁποῖα δέν ὑπάρχει τίποτε ἄλλο, παρά ἀγκάθια καί τριβόλια.

72 Γι' αὐτό λέγει ὁ Σωτήρας· «μακάριοι εἶναι ἐκεῖνοι πού ἔχουν καθαρή καρδιά, διότι αὐτοί θά δοῦν τό Θεό»[28]. Τότε θά δοῦν αὐτόν, ὅταν καθαρίζουν τούς ἑαυτούς τους μέ τήν ἀγάπη καί τήν ἐγκράτεια, καί τόσο περισσότερο θά τόν δοῦν, ὅσο περισσότερο αὐξάνουν τήν κάθαρση.

73 Γι' αὐτό πάλι λέγει· «Πουλῆστε τά ὑπάρχοντά σας καί δῶστε ἐλεημοσύνη καί ὅλα τότε θά σᾶς εἶναι καθαρά»[29], ἐπειδή δέν ἀσχολοῦνται πλέον μέ τά πράγματα τοῦ σώματος, ἀλλά φροντίζουν νά καθαρίζουν τό νοῦ ἀπό τό μίσος καί τήν ἀκράτεια, τόν ὁποῖο ὁ Κύριος ὀνομάζει καρδιά. Διότι αὐτά ρυπαίνουν τό νοῦ, καί δέν ἀφήνουν νά βλέπει τό Χριστό πού κατοικεῖ μέσα σ' αὐτόν μέ τή χάρη τοῦ ἁγίου Βαπτίσματος.

74 Ὁδούς ἡ Γραφή ὀνομάζει τίς ἀρετές, μεγαλύτερη δέ ἀπό ὅλες τίς ἀρετές εἶναι ἡ ἀγάπη. Γι' αὐτό ἔλεγε ὁ Ἀπόστολος, «καί τώρα θά σᾶς δείξω μία ὑπέροχη ὁδό»[30], ἐπειδή αὐτή πείθει τόν ἄνθρωπο νά περιφρονεῖ τά ὑλικά πράγματα καί νά μή προτιμᾶ τίποτε ἀπό τά πρόσκαιρα ἔναντι τῶν αἰωνίων.

75 Ἡ ἀγάπη πρός τό Θεό ἐναντιώνεται στήν ἐπιθυμία, διότι πείθει τό νοῦ νά ἐγκρατεύεται ἀπό τίς ἡδονές. Ἡ ἀγάπη πάλι πρός τόν πλησίον ἐναντιώνεται στό θυμό, διότι κάμνει τό νοῦ νά περιφρονεῖ τή δόξα καί τά χρήματα. Καί αὐτά εἶναι τά δύο δηνάρια, τά ὁποῖα ἔδωσε ὁ Σωτήρας Χριστός στόν ξενοδόχο,

---

29. Λουκᾶ 12,33 καί 11,41.
30. Α' Κορ. 12,31.

*δοχεῖ, ἵνα σου ἐπιμέλειαν ποιήσηται. Ἀλλὰ μὴ φανῇς ἀγνώμων τοῖς λησταῖς συνδυάζων, μή ποτε πάλιν πληγῇς, καὶ οὐκ ἔτι ἡμιθανής, ἀλλη.*

76 *Κάθαιρε τὸν νοῦν σου ἀπὸ ὀργῆς καὶ μνησικακίας καὶ τῶν αἰσχρῶν λογισμῶν, καὶ τότε δυνήσῃ γνῶναι τὴν τοῦ Χριστοῦ ἐνοίκησιν.*

77 *Τίς σε ἐφώτισεν εἰς τὴν πίστιν τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος; ἢ τίς σοι ἐγνώρισε τὴν ἔνσαρκον οἰκονομίαν τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος; Τίς δέ σε ἐδίδαξε τοὺς περὶ ἀσωμάτων λόγους, ἢ τοὺς περὶ γενέσεως καὶ συντελείας τοῦ ὁρωμένου κόσμου, ἢ περὶ τῆς ἐν κεκρῶν ἀναστάσεως καὶ αἰωνίου ζωῆς, ἢ περὶ τῆς δόξης τῆς βασιλείας τῶν οὐρανῶν καὶ τῆς φοβερᾶς κρίσεως; Οὐχὶ ἡ χάρις τοῦ Χριστοῦ ἡ ἐνοικοῦσα ἐν σοί, ἥτις ἐστὶν ὁ ἀρραβὼν τοῦ ἁγίου Πνεύματος; Τί μεῖζον ταύτης τῆς χάριτος; ἢ τί κρεῖττον ταύτης τῆς σοφίας καὶ τῆς γνώσεως; ἢ τί τῶν ἐπαγγελιῶν ὑψηλότερον; Εἰ δέ ἐσμεν ἀργοὶ καὶ ἀμελεῖς, καὶ μὴ καθαίρομεν ἑαυτοὺς τῶν κωλυόντων ἡμᾶς, καὶ τὸν νοῦν ἡμῶν ἐκτυφλούντων παθῶν, ὥστε δύνασθαι καὶ τρανότερον ἡλίου τοὺς περὶ τούτων λόγους ὁρᾶν, ἑαυτοὺς αἰτιασώμεθα, καὶ μὴ τὴν τῆς χάριτος ἐνοίκησιν ἀρνησώμεθα.*

78 *Ὁ ἐπαγγειλάμενός σοι Θεὸς τὰ αἰώνια ἀγαθὰ καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν τῇ καρδίᾳ δεδωκώς, ἐνετείλατό σοι ἐπιμελεῖσθαί σε τοῦ βίου, ἵνα ὁ ἔσω ἄνθρωπος τῶν παθῶν ἐλευθερωθείς, ἄρξηται ἀπεντεῦθεν τῆς τῶν ἀγαθῶν ἀπολαύσεως.*

79 *Τῶν θείων καὶ ὑψηλῶν καταξιωθεὶς θεωρημάτων, σφό-*

31. Λουκᾶ 10,35.

γιά νά σέ φροντίσει[31]. Ἀλλά μή φανεῖς ἀχάριστος, συνεργαζόμενος μέ τούς ληστές, μήπως πληγωθεῖς καί πάλι, καί βρεθεῖς ὄχι πλέον μισοπεθαμένος, ἀλλά νεκρός.

76 Καθάρισε τό νοῦ σου ἀπό τήν ὀργή, τή μνησικακία, καί τούς αἰσχρούς λογισμούς, καί τότε θά μπορέσεις νά γνωρίσεις τήν ἐγκατοίκηση τοῦ Χριστοῦ μέσα σου.

77 Ποιός σέ φώτισε στήν πίστη τῆς ἁγίας καί ὁμοουσίου καί προσκυνητῆς Τριάδος; ἤ ποιός σοῦ γνώρισε τήν ἔνσαρκη οἰκονομία τοῦ ἑνός προσώπου τῆς ἁγίας Τριάδος; Ποιός σέ δίδαξε τούς λόγους γιά τίς ἀσώματες δυνάμεις, ἤ γιά τή δημιουργία καί τή συντέλεια τοῦ ὁρατοῦ κόσμου; ἤ γιά τήν ἀνάσταση ἐκ νεκρῶν καί τήν αἰώνια ζωή, ἤ γιά τή δόξα τῆς βασιλείας τῶν οὐρανῶν καί τή φοβερή κρίση; Δέν σοῦ τά δίδαξε ἡ χάρη τοῦ Χριστοῦ πού κατοικεῖ μέσα σου, ἡ ὁποία εἶναι ὁ ἀρραβώνας τοῦ ἁγίου Πνεύματος; Τί ὑπάρχει μεγαλύτερο ἀπ' αὐτή τή χάρη; ἤ τί ἀνώτερο ἀπό αὐτή τή σοφία καί τή γνώση; ἤ τί ὑψηλότερο ἀπό τίς ὑποσχέσεις πού μᾶς δόθηκαν; Ἐάν εἴμαστε ὀκνηροί καί ἀδιάφοροι καί δέν καθαρίζομε ἑαυτό μας ἀπό τά πάθη πού μᾶς ἐμποδίζουν καί τυφλώνουν τό νοῦ μας, γιά νά μποροῦμε νά βλέπουμε λαμπρότερα ἀπό τόν ἥλιο τούς λόγους γιά ὅλα αὐτά, τότε ἄς κατηγορήσουμε τόν ἑαυτό μας, καί ἄς μή ἀρνούμαστε τήν ἐγκατοίκηση μέσα μας τῆς χάριτος τοῦ Θεοῦ.

78 Ὁ Θεός πού σοῦ ὑποσχέθηκε τά αἰώνια ἀγαθά καί ἔδωσε στήν καρδιά σου τόν ἀρραβώνα τοῦ Πνεύματος[32], σοῦ ἔδωσε ἐντολή νά φροντίζεις τή ζωή σου, ὥστε, ἀφοῦ ὁ ἐσωτερικός σου ἄνθρωπος ἐλευθερωθεῖ ἀπό τά πάθη, ν' ἀρχίσει ἀπό τήν ἐδῶ ζωή ν' ἀπολαμβάνει τά ἀγαθά.

79 Ἀφοῦ καταξιώθηκες νά γνωρίσεις τά θεῖα καί ὑψηλά θεωρήματα, δεῖχνε μεγάλη φροντίδα γιά τήν ἀγάπη καί τήν ἐγκρά-

32. Β' Κορ. 1,22.

*δρα ἐπιμελοῦ ἀγάπης καὶ ἐγκρατείας, ἵνα, τὸ παθητικὸν ἀτάραχον διαφυλάττων, ἀνέκλειπτον ἕξῃς τὸ τῆς ψυχῆς φέγγος.*

*80 Τὸ θυμικὸν τῆς ψυχῆς ἀγάπῃ χαλίνωσον, καὶ τὸ ἐπιθυμητικὸν αὐτῆς ἐγκρατείᾳ καταμάρανον, καὶ τὸ λογικὸν αὐτῆς προσευχῇ πτέρωσον, καὶ τὸ φῶς τοῦ νοῦ οὐκ ἀμαυροῦταί ποτε.*

*81 Τὰ τὴν ἀγάπην λύοντα, εἰσὶ ταῦτα· οἷον, ἀτιμία, ζημία, συκοφαντία ἢ εἰς πίστιν ἢ εἰς βίον, δαρμοί, πληγαί, καὶ τὰ ἑξῆς· καὶ ταῦτα ἢ αὐτῷ συμβαίνοντα, ἤ τινι τῶν αὐτοῦ συγγενῶν ἢ φίλων. Ὁ οὖν διά τι τούτων λύων τὴν ἀγάπην, οὔπω ἔγνω τίς ὁ σκοπὸς τῶν τοῦ Χριστοῦ ἐντολῶν.*

*82 Σπούδασον ὅσον δύνασαι πάντα ἄνθρωπον ἀγαπῆσαι. Εἰ δὲ τοῦτο οὔπω δύνασαι, κἂν μηδένα μισήσῃς. Οὐ δύνασαι δὲ οὐδὲ τοῦτο ποιῆσαι, εἰ μὴ τῶν τοῦ κόσμου πραγμάτων καταφρονήσῃς.*

*83 Ὁ δεῖνα ἐβλασφήμησε· μὴ μισήσῃς ἐκεῖνον, ἀλλὰ τὴν βλασφημίαν καὶ τὸν βλασφημῆσαι παρασκευάσαντα δαίμονα. Εἰ δὲ τὸν βλασφημήσαντα μισεῖς, ἄνθρωπον ἐμίσησας καὶ τὴν ἐντολὴν παρέβης· καὶ ὅπερ ἐκεῖνος τῷ λόγῳ ἐποίησε, ποιεῖς σὺ τῷ ἔργῳ. Εἰ δὲ τὴν ἐντολὴν φυλάττεις, τὰ τῆς ἀγάπης ἐπίδειξαι· καὶ εἴ τι δύνασαι, βοήθησον, ἵνα τοῦ κακοῦ αὐτὸν ἀπαλλάξῃς.*

*84 Οὐ θέλει σε ὁ Χριστὸς μῖσος ἔχειν πρὸς ἄνθρωπον, ἢ λύπην ἢ ὀργὴν ἢ μνησικακίαν τοσύνολον καθ' οἱονδήποτε τρόπον, ἢ δι' οἱονδήποτε πρᾶγμα πρόσκαιρον. Καὶ τοῦτο πάντῃ βοῶσι τὰ τέσσαρα Εὐαγγέλια.*

*85 Πολλοί ἐσμεν οἱ λέγοντες, ὀλίγοι δὲ οἱ ποιοῦντες. Ἀλλ' οὖν τὸν λόγον τοῦ Θεοῦ οὐδεὶς ὤφειλε νοθεύειν διὰ τὴν ἰδίαν ἀμέλειαν, ἀλλ' ὁμολογεῖν μὲν τὴν ἑαυτοῦ ἀσθένειαν, μὴ ἀποκρύ-*

τεια, ὥστε, διαφυλάσσοντας ἀτάραχο τό παθητικό μέρος τῆς ψυχῆς σου, νά ἔχεις ἄσβεστο τό φῶς τῆς ψυχῆς σου.

80 Τό θυμικό μέρος τῆς ψυχῆς σου χαλιναγώγησέ το μέ τήν ἀγάπη, τό ἐπιθυμητικό μέρος αὐτῆς καταμάρανέ το μέ τήν ἐγκράτεια, καί τό λογικό μέρος αὐτῆς ἀναπτέρωσέ το μέ τήν προσευχή, ὁπότε ποτέ δέν θά ἐπισκοτισθεῖ τό φῶς τοῦ νοῦ σου.

81 Ἐκεῖνα πού καταστρέφουν τήν ἀγάπη εἶναι αὐτά· δηλαδή ἡ ἀτιμία, ἡ ζημία, ἡ συκοφαντία σέ θέματα πίστεως ἤ ἠθικῆς, οἱ δαρμοί, οἱ πληγές, καί τά παρόμοια, τά ὁποῖα συμβαίνουν ἤ σ' αὐτόν τόν ἴδιο, ἤ σέ κάποιον ἀπό τούς συγγενεῖς ἤ φίλους του. Ἐκεῖνος λοιπόν πού καταστρέφει τήν ἀγάπη γιά κάτι ἀπ' αὐτά, δέν γνώρισε ἀκόμη ποιός εἶναι ὁ σκοπός τῶν ἐντολῶν τοῦ Χριστοῦ.

82 Φρόντισε ὅσο μπορεῖς ν' ἀγαπήσεις τόν κάθε ἄνθρωπο. Ἐάν δέν μπορεῖς ἀκόμη νά τό κάνεις αὐτό, μή μισήσεις τουλάχιστο κανένα. Καί δέν θά μπορέσεις οὔτε καί αὐτό νά τό κάνεις, ἐάν δέν περιφρονήσεις τά πράγματα τοῦ κόσμου.

83 Βλασφήμησε ὁ τάδε· μή μισήσεις αὐτόν, ἀλλά τή βλασφημία καί τό δαίμονα πού τόν ἔκανε νά βλασφημήσει. Ἐάν ὅμως μισεῖς ἐκεῖνον πού βλασφήμησε, μίσησες ἄνθρωπο καί παρέβηκες τήν ἐντολή, καί ἐκεῖνο ἀκριβῶς πού ἔκανε ἐκεῖνος μέ τό λόγο, τό κάμνεις σύ μέ τήν πράξη σου. Ἐάν φυλάσσεις τήν ἐντολή, δεῖξε τά γνωρίσματα τῆς ἀγάπης, καί βοήθησέ τον, ἄν μπορεῖς, ὥστε νά τόν ἀπαλλάξεις ἀπό τό κακό.

84 Δέν θέλει ὁ Χριστός νά ἔχεις πρός ἄνθρωπο μίσος, ἤ λύπη, ἤ ὀργή, ἤ μνησικακία ὁποιασδήποτε μορφῆς γιά ὁποιοδήποτε πρόσκαιρο πράγμα. Καί αὐτό τό διακηρύσσουν παντοῦ τά τέσσερα εὐαγγέλια.

85 Πολλοί εἴμαστε ἐκεῖνοι πού διδάσκουμε, ἀλλά λίγοι εἴμαστε ἐκεῖνοι πού κάμνουμε αὐτό πού διδάσκουμε. Ὅμως τό λόγο τοῦ Θεοῦ δέν πρέπει κανένας νά τόν νοθεύει ἐξ αἰτίας τῆς

*πτειν δὲ τὴν τοῦ Θεοῦ ἀλήθειαν, ἵνα μὴ ὑπόδικοι γενώμεθα, μετὰ τῆς τῶν ἐντολῶν παραβάσεως, καὶ τῆς τοῦ λόγου τοῦ Θεοῦ παρεξηγήσεως.*

86 *Ἀγάπη καὶ ἐγκράτεια παθῶν τὴν ψυχὴν ἐλευθεροῦσιν, ἀνάγνωσις καὶ θεωρία ἀγνοίας τὸν νοῦν ἀπαλλάττουσιν, ἡ δὲ τῆς προσευχῆς κατάστασις αὐτῷ παρίστησιν αὐτὸν τῷ Θεῷ.*

87 *Ὅταν ἴδωσιν ἡμᾶς οἱ δαίμονες τῶν πραγμάτων τοῦ κόσμου καταφρονοῦντας, ἵνα μὴ δι᾽ αὐτὰ τοὺς ἀνθρώπους μισήσωμεν καὶ τῆς ἀγάπης ἐκπέσωμεν, τότε συκοφαντίας καθ᾽ ἡμῶν ἐγείρουσιν, ἵνα, τὴν λύπην μὴ φέροντες, τοὺς συκοφαντήσαντας μισήσωμεν.*

88 *Οὐκ ἔστι πόνος ψυχῆς βαρύτερος συκοφαντίας, κἄν τε εἰς πίστιν, κἄν τε εἰς βίον τις συκοφαντεῖται, καὶ οὐδεὶς ταύτης καταφρονεῖν δύναται, εἰ μὴ μόνος ὁ εἰς Θεὸν ἀποβλεπόμενος, ὡς ἡ Σωσάννα, τὸν μόνον δυνάμενον καὶ ἐξ ἀναγκῶν ῥύσασθαι, ὥσπερ κἀκείνην, καὶ τοὺς ἀνθρώπους πληροφορῆσαι, ὡς καὶ περὶ ἐκείνης, καὶ τὴν ψυχὴν τῇ ἐλπίδι παραμηθήσασθαι.*

89 *Ὅσον εὔχῃ ἐκ τῆς ψυχῆς ὑπὲρ τοῦ συκοφαντήσαντος, τοσοῦτον καὶ ὁ Θεὸς πληροφορεῖ τοὺς σκανδαλισθέντας.*

90 *Φύσει ἀγαθὸς μόνος ὁ Θεός, καὶ γνώμῃ ἀγαθὸς μόνος ὁ θεομίμητος. Σκοπὸς γὰρ αὐτῷ ἐστι, τῷ φύσει ἀγαθῷ τοὺς πονηροὺς συνάψαι, ἵνα γένωνται ἀγαθοί. Διὰ τοῦτο ὑπ᾽ αὐτῶν λοιδορούμενος, εὐλογῇ· διωκόμενος, ἀνέχεται· βλασφημούμενος, πα-*

33. Δαν. 13,1 ἑ.
34. Ματθ. 19,17.

ἀμέλειάς του, ἀλλά νά ὁμολογεῖ τήν ἀδυναμία καί νά μή κρύβει τήν ἀλήθεια τοῦ Θεοῦ, ὥστε νά μή εἴμαστε ἄξιοι κατηγορίας μαζί μέ τήν παράβαση τῶν ἐντολῶν, καί γιά τήν παρερμηνεία καί νοθεία τοῦ λόγου τοῦ Θεοῦ.

86 Ἡ ἀγάπη καί ἡ ἐγκράτεια ἐλευθερώνουν τήν ψυχή ἀπό τά πάθη, ἡ ἀνάγνωση καί ἡ θεωρία ἀπαλάσσουν τό νοῦ ἀπό τήν ἄγνοια, ἐνῶ ἡ κατάσταση τῆς προσευχῆς ὁδηγεῖ αὐτόν μπροστά στόν ἴδιο τό Θεό.

87 Ὅταν μᾶς δοῦν οἱ δαίμονες νά περιφρονοῦμε τά πράγματα τοῦ κόσμου, ὥστε νά μή μισήσουμε ἐξ αἰτίας αὐτῶν τούς ἀνθρώπους καί ἐκπέσουμε ἀπό τήν ἀγάπη, τότε παρακινοῦν ἄλλους νά μᾶς συκοφαντήσουν, ὥστε, μή ὑποφέροντας τή λύπη, νά μισήσουμε ἐκείνους πού μᾶς συκοφάντησαν.

88 Δέν ὑπάρχει βαρύτερος πόνος τῆς ψυχῆς ἀπό τή συκοφαντία, εἴτε συκοφαντεῖται κανείς γιά θέματα πίστεως, εἴτε γιά θέματα ἠθικῆς, καί κανένας δέν μπορεῖ ν' ἀδιαφορήσει γι' αὐτήν, παρά μόνο ἐκεῖνος πού εἶναι προσηλωμένος στό Θεό, ὅπως ἡ Σωσάννα[33], ὁ ὁποῖος Θεός εἶναι ὁ μόνος πού μπορεῖ νά μᾶς ἐλευθερώσει ἀπό τίς δυσκολίες, ὅπως ἀκριβῶς ἐλευθέρωσε καί ἐκείνη, καί νά φανερώσει στούς ἀνθρώπους τήν ἀλήθεια, ὅπως ἔκανε καί στήν περίπτωση ἐκείνης, καί νά παρηγορήσει τήν ψυχή μέ τήν ἐλπίδα.

89 Ὅσο περισσότερο προσεύχεσαι μέ ὅλη τή δύναμη τῆς ψυχῆς σου γιά ἐκεῖνον πού σέ συκοφάντησε, τόσο περισσότερο καί ὁ Θεός γνωρίζει τήν ἀλήθεια σ' ἐκείνους πού σκανδαλίσθηκαν.

90 Ἐκ φύσεως ἀγαθός εἶναι μόνο ὁ Θεός [34], καί ἀγαθός μέ τή θέλησή του εἶναι μόνο ἐκεῖνος πού μιμεῖται τό Θεό. Διότι ὁ σκοπός αὐτοῦ εἶναι νά συνενώσει τούς κακούς μέ τόν ἐκ φύσεως ἀγαθό Θεό, γιά νά γίνουν ἀγαθοί. Γι' αὐτό, ἐνῶ κατηγορεῖται ἀπ' αὐτούς, ἐπαινεῖ αὐτούς, ἐνῶ διώκεται, δείχνει ἀνοχή, ἐνῶ συκοφαντεῖται, μιλάει μέ καλωσύνη, καί ἐνῶ ὁδηγεῖται στό

*ρακαλεῖ· φονευόμενος, ὑπερεύχεται. Πάντα ποιεῖ, ἵνα τοῦ σκοποῦ τῆς ἀγάπης μὴ ἐκπέσῃ.*

91 *Αἱ μὲν ἐντολαὶ τοῦ Κυρίου διδάσκουσιν ἡμᾶς τοῖς μέσοις εὐλόγως χρήσασθαι πράγμασι, ἡ δὲ εὔλογος τῶν μέσων χρῆσις τὴν τῆς ψυχῆς καθαίρει κατάστασιν, ἡ δὲ καθαρὰ κατάστασις τίκτει τὴν διάκρισιν, ἡ δὲ διάκρισις τίκτει τὴν ἀπάθειαν, ἐξ ἧς τίκτεται ἡ τελεία ἀγάπη.*

92 *Οὔπω ἔχει τὴν ἀπάθειαν ὁ διὰ σύμβασιν πειρασμοῦ τὸ ἐλάττωμα τοῦ φίλου παραβλέπειν μὴ δυνάμενος, ἢ ὂν τυχόν, ἢ δὲ εἶναι δοκοῦν. Τὰ γὰρ ἐγκείμενα τῇ ψυχῇ πάθη ἐκταρασσόμενα ἐκτυφλοῖ τὴν διάνοιαν καὶ οὐκ ἐᾷ διαβλέψαι εἰς τὰς τῆς ἀληθείας αὐγάς, οὐδὲ διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. Οὐκ ἄρα οὖν οὐδὲ τὴν τελείαν ἀγάπην ὁ τοιοῦτος ἐκτήσατο, «τὴν ἔξω βάλλουσαν τὸν φόβον» τῆς κρίσεως.*

93 *«Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα». Ἐπειδὴ τὰς τοῦ φίλου συμφορὰς ἰδίας λογίζεται καὶ συνυποφέρει αὐτῷ μέχρι θανάτου κακοπαθῶν.*

94 *Πολλοὶ μὲν οἱ φίλοι, ἀλλ' ἐν καιρῷ εὐημερίας, ἐν δὲ καιρῷ πειρασμῶν μόλις ἂν εὑρήσεις ἕνα.*

95 *Πάντα μὲν ἄνθρωπον ἐκ ψυχῆς ἀγαπητέον, ἐπὶ τῷ Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον καὶ ἐξ ὅλης ἰσχύος αὐτὸν θεραπευτέον. Ἐφόσον γὰρ αὐτὸς ἡμᾶς συντηρεῖ, οἵ τε φίλοι πάντες ἡμᾶς περιέπουσι, καὶ οἱ ἐχθροὶ πάντες πρὸς ἡμᾶς ἀδυνατοῦσιν. Ἐπὰν δὲ αὐτὸς ἡμᾶς ἐγκαταλίπῃ, οἵ τε φίλοι πάντες ἡμᾶς ἀποστρέφονται, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἰσχύουσι.*

---

35. Α' Κορ. 4,12.
36. Α' Ἰω. 4,18.

θάνατο[35], προσεύχεται γι' αὐτούς. Ὅλα τά κάνει γιά νά μή ἐκπέσει ἀπό τό σκοπό τῆς ἀγάπης.

91 Οἱ ἐντολές τοῦ Κυρίου μᾶς διδάσκουν νά χρησιμοποιοῦμε σωστά τά κοινά πράγματα τοῦ κόσμου, ἡ σωστή χρήση τῶν πραγμάτων αὐτῶν καθαρίζει τήν ψυχή ἀπό τήν κατάσταση στήν ὁποία βρίσκεται, ἡ καθαρή αὐτή κατάσταση τῆς ψυχῆς γεννάει τήν ὀρθή γνώση τῶν πνευματικῶν ἐννοιῶν, ἡ ἐπίγνωση αὐτή γεννάει τήν ἀπάθεια, ἀπό τήν ὁποία γεννιέται ἡ τέλεια ἀγάπη.

92 Δέν ἔχει ἀκόμη τήν ἀπάθεια ἐκεῖνος πού ἐξ αἰτίας κάποιου πειρασμοῦ δέν μπορεῖ νά παραβλέψει τό ἐλάττωμα τοῦ φίλου του, εἴτε αὐτό εἶναι πραγματικά ἐλάττωμα, εἴτε θεωρεῖται σάν ἐλάττωμα. Διότι ταρασσόμενα τά πάθη πού ὑπάρχουν μέσα στήν ψυχή τυφλώνουν τό νοῦ καί δέν τόν ἀφήνουν νά δεῖ τό φῶς τῆς ἀλήθειας, οὔτε νά ξεχωρίσει τό καλό ἀπό τό κακό. Ἐπομένως ὁ ἄνθρωπος αὐτός δέν ἀπέκτησε οὔτε τήν τέλεια ἀγάπη, «πού ἀπομακρύνει τό φόβο»[36] τῆς κρίσεως.

93 «Φίλου πιστοῦ δέν ὑπάρχει ἀντάλλαγμα»[37]. Ἐπειδή θεωρεῖ δικές του τίς συμφορές τοῦ φίλου καί ὑποφέρει μαζί μ' αὐτόν κακοπαθώντας μέχρι θανάτου.

94 Ὑπάρχουν πολλοί φίλοι, ἀλλά κατά τόν καιρό τῆς εὐτυχίας, κατά τόν καιρό ὅμως τῶν δοκιμασιῶν μόλις καί μετά δυσκολίας θά μπορέσεις νά βρεῖς ἕνα.

95 Τόν κάθε ἄνθρωπο πρέπει νά τόν ἀγαπᾶμε μέσα ἀπό τήν ψυχή μας, ἀλλά πρέπει ν' ἀναθέτουμε τήν ἐλπίδα μόνο στό Θεό καί νά τόν ὑπηρετοῦμε μέ ὅλη τή δύναμή μας. Διότι, ἐφόσον αὐτός μᾶς συντηρεῖ, καί οἱ φίλοι τότε θά μᾶς φροντίζουν, καί ὅλοι οἱ ἐχθροί θά εἶναι ἀνίσχυροι ἀπέναντί μας. Ὅταν ὅμως μᾶς ἐγκαταλείπει αὐτός, καί ὅλοι οἱ φίλοι μᾶς ἀποστρέφονται, καί ὅλοι οἱ ἐχθροί γίνονται ἰσχυροί ἀπέναντί μας.

---

37. Σοφ. Σειράχ 6,15.

96 *Τέσσαρές εἰσι γενικοὶ ἐγκαταλείψεως τρόποι· ἡ μὲν οἰκονομική, ὡς ἐπὶ τοῦ Κυρίου, ἵνα διὰ τῆς δοκούσης ἐγκαταλείψεως οἱ ἐγκαταλελειμμένοι σωθῶσιν. Ἡ δὲ πρὸς δοκιμὴν, ὡς ἐπὶ τοῦ Ἰὼβ καὶ Ἰωσήφ, ἵνα ὁ μὲν ἀνδρείας, ὁ δὲ σωφροσύνης στῆλαι ἀναφανῶσιν. Ἡ δὲ πρὸς παίδευσιν πνευματικήν, ὡς ἐπὶ τοῦ Ἀποστόλου, ἵνα, ταπεινοφρονῶν, τὴν ὑπερβολὴν φυλάξῃ τῆς χάριτος. Ἡ δὲ κατὰ ἀποστροφήν, ὡς ἐπὶ τῶν Ἰουδαίων, ἵνα, κολαζόμενοι, πρὸς μετάνοιαν κατακαμφθῶσι. Σωτήριοι δὲ πάντες οἱ τρόποι ὑπάρχουσι καὶ τῆς θείας ἀγαθότητος καὶ φιλανθρωπίας ἀνάμεστοι.*

97 *Μόνοι οἱ ἀκριβεῖς τῶν ἐντολῶν φύλακες καὶ γνήσιοι τῶν θείων κριμάτων μύσται, τοὺς κατὰ συγχώρησιν Θεοῦ πειραζομένους οὐ καταλιμπάνουσι φίλους. Οἱ δὲ τῶν ἐντολῶν καταφρονηταὶ καὶ τῶν θείων κριμάτων ἀμύητοι, ὅταν μὲν ὁ φίλος εὐημερῇ, συναπολαύουσιν αὐτῷ, ἐπὰν δὲ πειραζόμενος κακοπαθῇ, καταλιμπάνουσιν αὐτόν. Ἔστι δὲ ὅταν καὶ μετὰ τῶν ἐναντίων ἵστανται.*

98 *Οἱ μὲν τοῦ Χριστοῦ φίλοι πάντας ἀγαπῶσι γνησίως, οὐχ ὑπὸ πάντων δὲ ἀγαπῶνται, οἱ δὲ τοῦ κόσμου φίλοι οὐδὲ πάντας ἀγαπῶσι, οὐδὲ ὑπὸ πάντων ἀγαπῶνται. Καὶ οἱ μὲν τοῦ Χριστοῦ μέχρι τέλους τὴν συνέχειαν τῆς ἀγάπης διατηροῦσιν, οἱ δὲ τοῦ κόσμου μέχρις οὗ ἀλλήλοις διὰ τὰ κόσμου προσκρούσωσι.*

99 *«Φίλος πιστός, σκέπη κραταιά», ἐπειδὴ καὶ εὐημεροῦντι τῷ φίλῳ σύμβουλός ἐστιν ἀγαθὸς καὶ συνεργὸς σύμψυχος, καὶ κακοπαθοῦντι ἀντιλήπτωρ γνησιώτατος καὶ ὑπέρμαχος συμπαθέστατος.*

---

38. Σοφ. Σειράχ 6,14.

96 Ὑπάρχουν τέσσερες γενικοί τρόποι ἐγκαταλείψεως· ἡ μία εἶναι οἰκονομική, ὅπως στήν περίπτωση τοῦ Κυρίου, ὥστε μέ τή φαινομενική ἐγκατάλειψη νά σωθοῦν ἐκεῖνοι πού ἦταν ἐγκαταλελειμμένοι. Ἡ δεύτερη γίνεται γιά δοκιμή, ὅπως στήν περίπτωση τοῦ Ἰώβ καί τοῦ Ἰωσήφ, ὥστε ὁ πρῶτος ν' ἀποδειχθεῖ στῆλος ἀνδρείας, ἐνῶ ὁ δεύτερος στῆλος σωφροσύνης. Ἡ τρίτη γίνεται γιά ἄσκηση πνευματική, ὅπως στήν περίπτωση τοῦ Παύλου, ὥστε ταπεινοφρονώντας νά φυλάξει τό μέγεθος τῆς χάριτος πού τοῦ δόθηκε. Ἡ τέταρτη εἶναι ἀποτέλεσμα ἀποστροφῆς τοῦ Θεοῦ, ὅπως στήν περίπτωση τῶν Ἰουδαίων, ὥστε δεχόμενοι τίς τιμωρίες νά ἐπιστρέψουν σέ μετάνοια. Ὅλοι αὐτοί οἱ τρόποιι εἶναι σωτήριοι καί εἶναι γεμάτοι ἀπό τήν ἀγαθότητα καί φιλανθρωπία τοῦ Θεοῦ.

97 Μόνο ἐκεῖνοι, πού φυλάσσουν μέ ἀκρίβεια τίς ἐντολές καί εἶναι γνήσιοι μύστες τῶν θείων ἐντολῶν, δέν ἐγκαταλείπουν τούς φίλους τους πού δοκιμάζονται κατά παραχώρηση τοῦ Θεοῦ, ἐνῶ ἐκεῖνοι, πού περιφρονοῦν τίς ἐντολές καί εἶναι ἀμύητοι στά κρίματα τοῦ Θεοῦ, ὅταν ὁ φίλος εὐτυχεῖ, ἀπολαμβάνουν καί αὐτοί μαζί μ' αὐτόν τήν εὐτυχία του, ὅταν ὅμως δοκιμαζόμενος κακοπαθεῖ, ἐγκαταλείπουν αὐτόν, καί συμβαίνει μάλιστα πολλές φορές καί νά συμμαχοῦν μέ τούς ἐχθρούς του.

98 Οἱ φίλοι τοῦ Χριστοῦ ἀγαποῦν γνήσια ὅλους τούς ἀνθρώπους, ἀλλά δέν ἀγαπιένται ἀπό ὅλους, ἐνῶ οἱ φίλοι τοῦ κόσμου οὔτε ἀγαποῦν ὅλους, οὔτε ἀγαπιένται ἀπό ὅλους. Καί οἱ φίλοι βέβαια τοῦ Χριστοῦ διατηροῦν μέχρι τέλους τῆς ζωῆς τους ἀδιάκοπη τήν ἀγάπη τους, ἐνῶ οἱ φίλοι τοῦ κόσμου διατηροῦν αὐτήν μέχρι πού νά ρθοῦν σέ σύγκρουση ἐξ αἰτίας τῶν κοσμικῶν πραγμάτων.

99 «Ὁ πιστός φίλος εἶναι σκέπη πανίσχυρη»[38], ἐπειδή καί ὅταν εὐτυχεῖ ὁ φίλος εἶναι σύμβουλος ἀγαθός καί σύμφωνος συνεργάτης, καί ὅταν κακοπαθεῖ εἶναι πάρα πολύ γνήσιος βοηθός καί πάρα πολύ συμπαθής ὑπέρμαχος.

100 *Πολλοὶ μὲν πολλὰ περὶ ἀγάπης εἰρήκασιν, ἐν μόνοις δὲ τοῖς Χριστοῦ μαθηταῖς ταύτην ζητήσας εὑρήσεις, ἐπεὶ καὶ μόνοι αὐτοὶ εἶχον τὴν ἀληθινὴν Ἀγάπην τῆς ἀγάπης διδάσκαλον, περὶ ἧς ἔλεγον· «ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι». Ὁ οὖν κτησάμενος τὴν ἀγάπην, αὐτὸν τὸν Θεὸν ἐκτήσατο· ἐπειδὴ «ὁ Θεὸς ἀγάπη ἐστίν».*

*Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.*



100 Πολλοί βέβαια ἔχουν πεῖ πολλά γιὰ τήν ἀγάπη, θά βρεῖς ὅμως αὐτήν ἄν τήν ἀναζητήσεις μόνο στούς μαθητές τοῦ Χριστοῦ, διότι καί μόνο αὐτοί εἶχαν τήν ἀληθινή Ἀγάπη, δάσκαλο ἀγάπης, γιά τήν ὁποία ἔλεγαν· «ἐάν ἔχω τό χάρισμα νά προφητεύω καί γνωρίζω ὅλα τὰ μυστήρια καθώς καί ὅλη τή γνώση, ἀλλά δέν ἔχω ἀγάπη, σέ τίποτε δέν ὠφελοῦμαι»[39]. Ἐκεῖνος λοιπόν πού ἀπέκτησε τήν ἀγάπη, ἀπέκτησε τόν ἴδιο τό Θεό, διότι ὁ Θεός εἶναι ἀγάπη»[40].

Σ' αὐτόν ἀνήκει ἡ δόξα στούς αἰῶνες. Ἀμήν.

39. Α΄ Κορ. 13,2.
40. Α΄ Ἰω. 4,46.



# ΛΟΓΟΣ
# ΑΣΚΗΤΙΚΟΣ

# ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ

**Κατὰ πεῦσιν καὶ ἀπόκρισιν**

1 *Ἀδελφὸς ἠρώτησε γέροντα, λέγων.*

*Παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, τίς ὁ σκοπὸς ἦν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως;*

*Καὶ ὁ γέρων ἀποκριθεὶς εἶπε.*

*Θαυμάζω σε, Ἀδελφέ, ὅτι καθ' ἡμέραν τοῦ συμβόλου ἀκούων τῆς πίστεως, περὶ τούτου με ἐρωτᾷς. Πλὴν λέγω σοι, ὅτι ὁ σκοπὸς τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ἡ ἡμετέρα ἦν σωτηρία.*

*Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Πῶς λέγεις, Πάτερ;*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

***Ἐπειδὴ γὰρ ὁ ἄνθρωπος ἀπ' ἀρχῆς γεγονὼς ὑπὸ τοῦ Θεοῦ, καὶ ἐν τῷ Παραδείσῳ τεθείς, τὴν ἐντολὴν παραβάς, τῇ φθορᾷ καὶ τῷ θανάτῳ ὑπέπεσεν· εἶτα τῇ ποικίλῃ τοῦ Θεοῦ προνοίᾳ κατὰ πᾶσαν γενεὰν καὶ γενεὰν κυβερνώμενος, ἐπέμενεν ἐπὶ τὸ χεῖρον προκόπτων, ὑπὸ τῶν ποικίλων τῆς σαρκὸς παθημάτων ἀγόμενος τῷ ἀπελπισμῷ τῆς ζωῆς, τούτου χάριν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός, ὁ προαιώνιος Λόγος ὁ ἐκ***

# ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ

**Κατά ἐρώτηση καί ἀπάντηση**

1 Ἀδελφός ἐρώτησε γέροντα, λέγοντας.

Σέ παρκαλῶ, πάτερ, πές μου, ποιός ἦταν ὁ σκοπός τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου;

Καί ὁ γέροντας ἀποκρίθηκε καί εἶπε.

Ἀπορῶ, ἀδελφέ, διότι, ἄν καί ἀκοῦς καθημερινά τό σύμβολο τῆς πίστεως, μέ ἐρωτᾶς γι' αὐτό. Πλήν ὅμως σοῦ λέγω, ὅτι ὁ σκοπός τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἦταν ἡ δική μας σωτηρία.

Καί ὁ Ἀδελφός εἶπε.

Πῶς τό ἐννοεῖς αὐτό, πάτερ;

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἐπειδή δηλαδή ὁ ἄνθρωπος, ἀφοῦ πλάσθηκε ἀπό τήν ἀρχή ἀπό τό Θεό καί τοποθετήθηκε μέσα στόν Παράδεισο, παρέβηκε τήν ἐντολή τοῦ Θεοῦ καί ὑπέπεσε στή φθορά καί τό θάνατο· ἔπειτα, κυβερνώμενος ἀπό γενεά σέ γενεά ἀπό τήν ποικίλη πρόνοια τοῦ Θεοῦ, ἐπέμενε νά προχωρεῖ ὅλο καί πρός τό χειρότερο, ὁδηγούμενος ἀπό τά ποικίλα πάθη τῆς σάρκας, στήν ἀπελπισία τῆς ζωῆς, πρός χάριν αὐτοῦ ὁ μονογενής Υἱός τοῦ Θεοῦ, ὁ προαιώνιος Λόγος ὁ προερχόμενος

*Θεοῦ Πατρός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ἐπέφανεν ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ τῆς ἁγίας Παρθένου, καὶ πολιτείαν ἡμῖν θεοειδοῦς ζωῆς ἐπέδειξε, καὶ ἐντολὰς ἁγίας δεδωκώς, καὶ βασιλείαν οὐρανῶν ἐπαγγειλάμενος τοῖς κατ' αὐτὰς πολιτευομένοις, καὶ κόλασιν αἰώνιον τοῖς παραβαίνουσιν ἀπειλήσας· καὶ παθὼν τὸ σωτήριον πάθος καὶ ἐκ νεκρῶν ἀναστάς, τὴν ἐλπίδα τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς ἐδωρήσατο ἡμῖν, τὸ κατάκριμα δι' ὑπακοῆς λύσας τῆς προγονικῆς ἁμαρτίας, καὶ τὸ κράτος τοῦ θανάτου θανάτῳ καταργήσας, ἵνα, «ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως ἐν αὐτῷ πάντες ζωοποιηθήσονται»· καὶ εἰς οὐρανοὺς ἀνελθὼν καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθεσθείς, τὸ Πνεῦμα τὸ ἅγιον κατέπεμψεν εἰς ἀρραβῶνα τῆς ζωῆς καὶ εἰς φωτισμὸν καὶ ἁγιασμὸν τῶν ἡμετέρων ψυχῶν καὶ εἰς βοήθειαν τῶν ἀγωνιζομένων ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας φυλάξαι τὰς ἐντολὰς αὐτοῦ. Οὗτος ἦν ὁ σκοπὸς τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ὡς ἐν συντόμῳ εἰπεῖν.*

2 *Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Ποίας οὖν ἐντολὰς ὀφείλω ποιῆσαι, πάτερ, ἵνα δι' αὐτῶν σωθῶ, ἤθελον συντόμως ἀκοῦσαι.*

***Καὶ ἀπεκρίθη ὁ γέρων.***

***Αὐτὸς ὁ Κύριος εἶπε μετὰ τὴν ἀνάστασιν τοῖς Ἀποστόλοις· «πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλά-***

---

1. ' Ησ. 9,2 Ματθ. 4,16

ἀπό τόν Πατέρα Θεό, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας, παρουσιάσθηκε σ' ἐμᾶς πού καθόμασταν μέσα στό σκότος καί τή σκιά τοῦ θανάτου[1], ἀφοῦ ἔλαβε σάρκα ἀπό τό ἅγιο Πνεῦμα καί τήν ἁγία Παρθένο καί μᾶς ἔδειξε τρόπο θεϊκῆς ζωῆς· μᾶς ἔδωσε καί ἅγιες ἐντολές καί ὑποσχέθηκε καί τή βασιλεία τῶν οὐρανῶν σ' ἐκείνους πού θά ζοῦν σύμφωνα μ' αὐτές, ἐπίσης καί ἀπείλησε μέ κόλαση αἰώνια ἐκείνους πού παραβαίνουν αὐτές. Ἀφοῦ ἔπαθε τό σωτήριο πάθος καί ἀναστήθηκε ἀπό τούς νεκρούς, μᾶς δώρησε τήν ἐλπίδα τῆς ἀναστάσεως καί τῆς αἰώνιας ζωῆς, ἀφοῦ μᾶς ἀπάλλαξε μέ τήν ὑπακοή του ἀπό τήν καταδίκη μας λόγω τῆς προγονικῆς ἁμαρτίας, καταργώντας μέ τό θάνατό του καί τό κράτος τοῦ θανάτου[2], ὥστε, «ὅπως ἀκριβῶς μέ τόν Ἀδάμ ὅλοι πεθαίνουν, ἔτσι καί μέ αὐτόν ὅλοι νά λάβουν ζωή»[3]. Ἀνέβηκε στούς οὐρανούς καί, ἀφοῦ κάθησε στά δεξιά τοῦ Πατέρα του, ἔστειλε τό ἅγιο Πνεῦμα σάν ἀρραβώνα μας μέ τή νέα ζωή, γιά νά φωτίσει καί ἁγιάσει τίς ψυχές μας, καί γιά νά βοηθήσει νά φυλάξουν τίς ἐντολές αὐτοῦ ἐκείνους πού ἀγωνίζονται γιά τή σωτηρία τους. Αὐτός ἦταν ὁ σκοπός τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, ὅπως θά μπορούσαμε νά ποῦμε μέ συντομία.

2 Καί ὁ Ἀδελφός εἶπε.

**Θά ἤθελα λοιπόν, πάτερ, ν' ἀκούσω ποιές ἐντολές ὀφείλω νά ἐφαρμόσω, γιά νά σωθῶ μέ τή βοήθεια αὐτῶν.**

Καί ἀποκρίθηκε ὁ γέροντας.

**Ὁ ἴδιος ὁ Κύριος εἶπε στούς Ἀποστόλους μετά τήν ἀνάστασή του· «πηγαίνετε καί κάντε μαθητές ὅλα τά ἔθνη, βαπτίζοντας αὐτούς στό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, διδάσκοντας αὐτούς νά τηροῦν ὅλα ὅσα**

---

2. Ἑβρ. 2,14
3. Α' Κορ.15, 22

*μην ὑμῖν»*. *Ὥστε οὖν ὅσα ἐνετείλατο δεῖ τηρεῖν πάντα ἄνθρωπον βαπτισθέντα εἰς τὸ ὄνομα τῆς ζωοποιοῦ καὶ θεαρχικῆς Τριάδος. Τούτου γὰρ χάριν τῇ ὀρθῇ πίστει ὁ Κύριος τὴν πασῶν τῶν ἐντολῶν συνέζευξε τήρησιν, ὡς εἰδώς, ὅτι ἀμήχανον τὴν μίαν διαζευχθεῖσαν τῆς μιᾶς σώζειν τὸν ἄνθρωπον. Διὰ τοῦτο καὶ ὁ Δαβὶδ τὴν ὀρθὴν πίστιν ἔχων, πρὸς τὸν Θεὸν ἔλεγε· «πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα». Κατὰ γὰρ πάσης ὁδοῦ ἀδίκου, πᾶσαι ἡμῖν αἱ ἐντολαὶ ὑπὸ τοῦ Κυρίου δεδώρηνται, καὶ ἐὰν παραλειφθῇ μία, τὴν ἀντικειμένην αὐτῇ ὁδὸν τῆς κακίας ἀντεισάγει πάντως.*

*3 Καὶ εἶπεν ὁ Ἀδελφός.*

*Καὶ τίς δύναται, πάτερ, πάσας τὰς ἐντολάς, τοσαύτας γε οὔσας, ποιεῖν;*

*Ἔφη ὁ γέρων.*

*Ὁ τὸν Κύριον ἐκμιμούμενος καὶ κατ' ἴχνος αὐτῷ ἐπακολουθῶν.*

*Καὶ εἶπεν ὁ Ἀδελφός.*

*Καὶ τίς δύναται τὸν Κύριον μιμήσασθαι; ὁ γὰρ Κύριος ἦν Θεός, εἰ καὶ ἄνθρωπος γέγονεν, ἐγὼ δὲ ἄνθρωπός εἰμι ἁμαρτωλὸς καὶ μυρίοις πάθεσι δεδουλωμένος· πῶς οὖν δύναμαι τὸν Κύριον μιμήσασθαι;*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Τῶν τῇ ὕλῃ τοῦ κόσμου δεδουλωμένων, οὐδεὶς δύναται τὸν Κύριον μιμήσασθαι, οἱ δὲ δυνάμενοι λέγειν, «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι», ἐκεῖνοι λαμβάνουσι*

4. Ματθ. 28,19-20

ἔδωσα ἐντολή σ' ἐσᾶς»[4]. Ὥστε λοιπόν πρέπει ὁ κάθε ἄνθρωπος, πού βαπτίσθηκε στό ὄνομα τῆς ζωοποιοῦ καί θεαρχικῆς Τριάδος, νά τηρεῖ ὅσα ἔδωσε ἐντολή ὁ Κύριος. Διότι ἐξ αἰτίας αὐτοῦ ὁ Κύριος συνένωσε τήν τήρηση ὅλων τῶν ἐντολῶν μέ τήν ὀρθή πίστη, ἐπειδή γνώριζε ὅτι εἶναι ἀδύνατο, ἐάν ἡ μία ἀποχωρισθεῖ ἀπό τήν ἄλλη, νά σώσει τόν ἄνθρωπο. Γι' αὐτό καί ὁ Δαβίδ, ἔχοντας τήν ὀρθή πίστη ἔλεγε· «συμορφωνόμουν πρός ὅλες τίς ἐντολές σου, καί μίσησα κάθε δρόμο πού ὁδηγεῖ στήν ἀδικία»[5]. Διότι ὅλες οἱ ἐντολές τοῦ Κυρίου μᾶς ἔχουν δωρηθεῖ ἐναντίον κάθε δρόμου πού ὁδηγεῖ στήν ἀδικία· καί ἄν παραλειφθεῖ μία ἐντολή, ὁπωσδήποτε εἰσάγει στή θέση της τό δρόμο τῆς κακίας πού ἀντιτίθεται σ' αὐτήν.

3 Καί εἶπεν ὁ Ἀδελφός.

Καί ποιός μπορεῖ, πάτερ, νά τηρεῖ ὅλες τίς ἐντολές, τή στιγμή βέβαια πού εἶναι τόσες πολλές;

Εἶπεν ὁ γέροντας.

Μιμούμενος τόν Κύριο καί ἀκολουθώντας τά ἴχνη αὐτοῦ.

Καί εἶπεν ὁ Ἀδελφός.

Καί ποιός μπορεῖ νά μιμηθεῖ τόν Κύριο; διότι ὁ Κύριος ἦταν Θεός, ἄν καί ἔγινε ἄνθρωπος, ἐνῶ ἐγώ εἶμαι ἄνθρωπος ἁμαρτωλός καί ὑποδουλωμένος σέ ἀμέτρητα πάθη· πῶς λοιπόν μπορῶ νά μιμηθῶ τόν Κύριο;

Καί ἀποκρίθηκε ὁ γέροντας.

Κανένας ἀπό ἐκείνους, πού εἶναι ὑποδουλωμένοι στήν ὕλη τοῦ κόσμου, δέν μπορεῖ νά μιμηθεῖ τόν Κύριο, ἐνῶ ἐκεῖνοι πού μποροῦν νά λένε, «νά, ἐμεῖς τά ἀφήσαμε ὅλα καί σέ ἀκο-

5. Ψαλμ. 118,128

*δύναμιν τοῦ τε μινήσασθαι αὐτὸν καὶ τοῦ πρὸς πάσας τὰς ἐντολὰς αὐτοῦ κατορθῶσαι.*

*Καί φησιν Ἀδελφός.*

*Ποίαν δύναμιν;*

*Ἀπεκρίθη ὁ γέρων.*

*Αὐτοῦ ἄκουσον λέγοντος· «ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει».*

4 *Ταύτην τὴν δύναμιν καὶ τὴν ἐξουσίαν λαβὼν ὁ Παῦλος ἔλεγε· «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ». Καὶ πάλιν· «οὐκ ἔστι νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ Πνεῦμα». Καὶ πάλιν· «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις». Καὶ πάλιν· «ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ».*

5 *Περὶ ταύτης τῆς ἐξουσίας καὶ βοηθείας προφητεύων ὁ Δαβίδ, ἔλεγε· «ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν». Καὶ μετ' ὀλίγα· «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις*

---

6. Λουκᾶ 18,28
7. Λουκᾶ 18,19
8. Φιλιπ. 3,17
9. Ρωμ. 8,1
10. Γαλ. 5,14

λουθήσαμε»[6], ἐκεῖνοι παίρνουν δύναμη καί νά μιμηθοῦν αὐτόν καί νά ἐπιτύχουν νά ἐκτελέσουν ὅλες τίς ἐντολές αὐτοῦ.

Καί λέγει ὁ Ἀδελφός.

Ποιά δύναμη παίρνουν;

Ἀποκρίθηκε ὁ γέροντας.

Ἄκουσε αὐτόν πού λέγει· «νά, σᾶς ἔχω δώσει ἐξουσία νά πατᾶτε ἐπάνω στά φίδια καί τούς σκορπιούς καί νά συντρίβετε ὅλη τή δύναμη τοῦ ἐχθροῦ, καί σέ τίποτε δέν θά μπορέσει νά σᾶς βλάψει»[7].

4 Αὐτήν τήν δύναμη καί τήν ἐξουσία ἀφοῦ ἔλαβε καί ὁ Παῦλος, ἔλεγε· «μιμητές μου γίνεσθε, ὅπως καί ἐγώ εἶμαι μιμητής τοῦ Χριστοῦ»[8]. Καί πάλι· «δέν ὑπάρχει τώρα κανένα εἶδος κατακρίσεως γιά ἐκείνους πού, πιστεύοντας στόν Ἰησοῦ Χριστό, ζοῦν ὄχι σύμφωνα μέ τίς ἐπιθυμίες τῆς σάρκας, ἀλλά σύμφωνα μέ τίς ἐντολές τοῦ Πνεύματος»[9]. Καί πάλι· «οἱ ἀφοσιωμένοι στό Χριστό ὑπέταξαν τόν σαρκικό ἄνθρωπο μέ τά πάθη του καί τίς ἐπιθυμίες του»[10]. Καί πάλι· «ὁ κόσμος εἶναι σταυρωμένος ὡς πρός ἐμένα, καί ἐγώ σταυρωμένος ὡς πρός τόν κόσμο[11]».

5 Γι' αὐτήν τήν ἐξουσία καί βοήθεια προφητεύοντας ὁ Δαυίδ, ἔλεγε· «ἐκεῖνος πού βρίσκεται κάτω ἀπό τή βοήθεια τοῦ Ὑψίστου, θά περνᾶ τίς νύχτες του ἀναπαυόμενος κάτω ἀπό τή σκέπη τοῦ Θεοῦ τοῦ οὐρανοῦ. Θά πεῖ στόν Κύριο· Βοηθός μου εἶσαι καί καταφύγιό μου· αὐτός εἶναι ὁ Θεός μου καί θά ἐλπίζω πάντοτε σ' αὐτόν»[12]. Καί μετά ἀπό λίγο προσθέτει· «θά περπατᾶς ἐπάνω στά φαρμακερά φίδια, τήν ἀσπίδα κιά τόν βασιλίσκο, καί θά καταπατᾶς τό λιοντάρι καί τόν δράκοντα· διότι θά δώσει ἐντολή ὁ Κύριος στούς ἀγγέλους

11. Γαλ. 6,4

12. Ψαλμ. 90, 1-2

*ταῖς ὁδοῖς σου». Οἱ δὲ τῇ σαρκὶ προσκείμενοι καὶ τὴν ὕλην ἀγαπῶντες τοῦ κόσμου, ἄκουε ποῖα παρ' αὐτοῦ ἀκούουσιν· «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος». Καὶ μετ' ὀλίγα· «καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος». Καί, «ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐ δύναταί μου εἶναι μαθητής». Ὁ οὖν θέλων γενέσθαι αὐτοῦ μαθητὴς καὶ ἄξιος αὐτοῦ εὑρεθῆναι καὶ δύναμιν παρ' αὐτοῦ λαβεῖν κατὰ τῶν πνευμάτων τῆς πονηρίας, χωρίζει ἑαυτὸν πάσης σαρκικῆς σχέσεως καὶ γυμνοῖ ἑαυτὸν πάσης ὑλικῆς προσπαθείας· καὶ οὕτω πρὸς τοὺς ἀοράτους ἐχθροὺς ὑπὲρ τῶν ἐντολῶν αὐτοῦ ἀγωνίζεται, ὡς αὐτὸς ὁ Κύριος ἑαυτὸν τύπον ἡμῖν παρέσχεν, ἔν τε τῇ ἐρήμῳ ὑπὸ τοῦ ἀρχηγοῦ αὐτῶν πειραζόμενος, καὶ ἐν τῇ οἰκουμένῃ ἐλθών, ὑπὸ τῶν ὑπ' αὐτοῦ ἐνεργουμένων.*

6 *Καὶ ὁ Ἀδελφὸς εἶπεν.*

*Ἀλλὰ πολλαί εἰσι, πάτερ, αἱ τοῦ Κυρίου ἐντολαί· καὶ τίς δύναται πάσας ἔχειν κατὰ νοῦν, ἵνα ὑπὲρ πασῶν ἀγωνίσηται; ἐγὼ δὲ μάλιστα, ὀλιγόνους ὑπάρχων; σύντομον λόγον ἤθελον ἀκοῦσαι, ἵνα, αὐτὸν κρατῶν, δι' αὐτοῦ ἐσωζόμην.*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Εἰ καὶ πολλαί εἰσιν, Ἀδελφέ, ἀλλ' ἑνὶ λόγῳ ἀνακεφαλαιοῦνται, ἐν τῷ, «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν». Καὶ ὁ ἀγωνιζόμενος τοῦτον κρατεῖν τὸν λό-*

13. Ψαλμ. 90,13·11
14. Ματθ. 10,37
15. Ματθ. 10,38

του γιά σένα, ὥστε νά σέ διαφυλάξουν σ' ὅλους τούς δρόμους σου»[13]. Ὅμως ἐκεῖνοι πού εἶναι ἀφοσιωμένοι στή σάρκα καί ἀγαποῦν τήν ὕλη τοῦ κόσμου, ἄκου ποιά λόγια θ' ἀκοῦν· «ἐκεῖνος πού ἀγαπᾶ τόν πατέρα του ἤ τή μητέρα του περισσότερο ἀπό μένα, αὐτός δέν εἶναι ἄξιός μου»[14]. Καί μετά ἀπό λίγο λέγει· «καί ἐκεῖνος πού δέν παίρνει τό σταυρό του καί δέν μέ ἀκολουθεῖ, δέν εἶναι ἄξιός μου»[15]· καί, «ὅποιος δέν ἀπαρνεῖται ὅλα τά ὑπάρχοντά του, δέν μπορεῖ νά εἶναι μαθητής μου»[16]. Ἐκεῖνος λοιπόν πού θέλει νά γίνει μαθητής αὐτοῦ καί νά βρεθεῖ ἄξιος αὐτοῦ καθώς καί νά λάβει ἀπ' αὐτόν δύναμη ἐναντίον τῶν πονηρῶν πνευμάτων, αὐτός χωρίζει τόν ἑαυτό του ἀπό κάθε σαρκική σχέση, ἀπογυμνώνει τόν ἑαυτό του ἀπό κάθε ὑλική προσπάθεια, καί ἔτσι ἀγωνίζεται ἐναντίον τῶν ἀοράτων ἐχθρῶν καί ὑπέρ τῶν ἐντολῶν αὐτοῦ, καθώς ὁ ἴδιος ὁ Κύριος μᾶς ἔδωσε παράδειγμα τόν ἑαυτό του, καί πειραζόμενος στήν ἔρημο ἀπό τόν ἀρχηγό αὐτῶν, καί κηρυχθείς στόν κόσμο ἀπό τούς λειτουργούς αὐτοῦ.

6 Καί ὁ Ἀδελφός εἶπεν.

Ὅμως, πάτερ, εἶναι πολλές οἱ ἐντολές τοῦ Κυρίου· καί ποιός μπορεῖ νά γνωρίζει ὅλες αὐτές, γιά νά ἀγωνισθεῖ γιά ὅλες; μάλιστα ἐγώ πού ἔχω λίγο μυαλό; θά ἤθελα ν' ἀκούσω σύντομο λόγο, ὥστε, κρατώντας αὐτόν στό νοῦ μου, νά μποροῦσα μέ αὐτόν νά σωθῶ.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἄν καί εἶναι πολλές, Ἀδελφέ, ὅμως συνοψίζονται σ' ἕνα λόγο, στό «ν' ἀγαπήσεις τόν Κύριο τό Θεό σου μέ ὅλη τή δύναμή σου καί ὅλη τή διάνοιά σου, καί τόν πλησίον σου ὅπως τόν ἑαυτό σου»[17]. Καί ἐκεῖνος πού ἀγωνίζεται γιά νά τηρεῖ αὐτόν τόν λόγο, κατορθώνει ὅλες μαζί τίς ἐντολές. Δέν

---

16. Λουκᾶ 10,33
17. Μάρκ. 12,30-31

*γον, πάσας ὁμοῦ τὰς ἐντολὰς κατορθοῖ. Οὐ δύναται δέ τις μὴ χωρίσας ἑαυτόν, ὥς προείρηται, τῆς τῶν ὑλικῶν προσπαθείας, οὔτε τὸν Θεόν, οὔτε τὸν πλησίον ἀγαπῆσαι γνησίως· ἐπειδὴ ὁμοῦ τῇ ὕλῃ προσκεῖσθαι, καὶ τὸν Θεὸν ἀγαπῆσαι, ἀμήχανον. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ Κύριος· «οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν»· καί, «οὐδεὶς δύναται Θεῷ δουλεύειν καὶ μαμωνᾷ». Ὅσον γὰρ ὁ νοῦς ἡμῶν τῶν τοῦ κόσμου ἀντέχεται πραγμάτων, δεδούλωται αὐτοῖς καὶ καταφρονεῖ τὴν ἐντολὴν τοῦ Θεοῦ παραβαίνων.*

7 *Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Ποίων πραγμάτων λέγεις, πάτερ;*

*Καὶ ὁ γέρων ἀπεκρίθη.*

*Βρωμάτων, χρημάτων, κτημάτων, δόξης, συγγενῶν, καὶ τῶν ἑξῆς.*

*Καὶ ὁ Ἀδελφὸς εἶπεν.*

*Εἰπέ, πάτερ, οὐχὶ ὁ Θεὸς αὐτὰ ἔκτισε καὶ τοῖς ἀνθρώποις εἰς χρῆσιν δέδωκε; καὶ πῶς κελεύει αὐτῶν μὴ ἀντέχεσθαι;*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Δῆλον ὅτι ὁ Θεὸς αὐτὰ ἔκτισε καὶ δέδωκεν εἰς χρῆσιν τοῖς ἀνθρώποις. Καί, καλὰ πάντα τὰ ὑπὸ τοῦ Θεοῦ γεγονότα, ἵνα καλῶς αὐτοῖς χρησάμενοι, τῷ Θεῷ εὐαρεστήσωμεν· ἀλλ' ἡμεῖς, ἀσθενεῖς ὄντες καὶ ὑλικοὶ τῇ διανοίᾳ, προετιμήσαμεν τὰ ὑλικὰ τῆς ἐντολῆς τῆς ἀγάπης· καὶ αὐτῶν ἀντεχόμενοι, τοῖς ἀνθρώποις μαχόμεθα· δέον πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος, τὴν παντὸς ἀνθρώπου προτιμῆσαι ἀγά-*

---

18. Ματθ. 6,24 καὶ Λουκᾶ 16,13

μπορεῖ ὅμως κάποιος πού δέν ἀπομάκρυνε τόν ἑαυτό του, ὅπως προλέχθηκε, ἀπό τήν προσπάθεια τῶν ὑλικῶν, οὔτε τό Θεό ν' ἀγαπήσει γνήσια, οὔτε τόν πλησίον· διότι εἶναι ἀδύνατο νά εἶναι συγχρόνως καί ἀφοσιωμένος στήν ὕλη, καί τό Θεό ν' ἀγαπᾶ. Καί αὐτό εἶναι ἐκεῖνο πού λέγει ὁ Κύριος· «κανένας δέν μπορεῖ νά δουλεύει σέ δύο κυρίους»[18]· καί· «κανένας δέν μπορεῖ νά δουλεύει στό Θεό καί στό μαμωνᾶ»[19]. Διότι, ἐφόσον ὁ νοῦς μας εἶναι προσηλωμένος στά πράγματα τοῦ κόσμου, ὑποδουλώνεται σ' αὐτά καί περιφρονεῖ τό Θεό, παραβαίνοντας τήν ἐντολή του.

7 Καί ὁ Ἀδελφός εἶπε.

Ποιά πράγματα ἐννοεῖς, πάτερ;

Καί ὁ γέροντας ἀποκρίθηκε.

Τίς τροφές, τά χρήματα, τά κτήματα, τή δόξα, τούς συγγενεῖς καί τά παρόμοια.

Καί ὁ Ἀδελφός εἶπε.

Πές μου, πάτερ, δέν τά δημιούργησε αὐτά ὁ Θεός καί τά ἔδωσε στούς ἀνθρώπους νά τά χρησιμοποιοῦν; καί πῶς προστάζει νά μή προσηλωνόμαστε σ' αὐτά;

Καί ἀποκρίθηκε ὁ γέροντας.

Εἶναι φανερό ὅτι ὁ Θεός δημιούργησε αὐτά καί τά ἔδωσε στοῦς ἀνθρώπους νά τά χρησιμοποιοῦν, καί ὅλα ὅσα ἔχουν γίνει ἀπό τό Θεό εἶναι καλά, ὥστε, ἀφοῦ χρησιμοποιήσομε αὐτά ὀρθά, νά εὐαρεστήσουμε τό Θεό· ὅμως ἐμεῖς, ἐπειδή εἴμαστε πνευματικά ἀδύνατοι καί ἡ διάνοιά μας εἶναι προσηλωμένη στήν ὕλη, προτιμήσαμε τά ὑλικά ἀντί τῆς ἐντολῆς τῆς ἀγάπης· καί ἐνῶ εἴμαστε προσηλωμένοι σ' αὐτά, πολεμοῦμε τούς ἀνθρώπους· πρέπει νά προτιμήσουμε, ἀπό ὅλα τά

19. Λουκᾶ 16,13

*πην, ἥτις ἐστὶν γνώρισμα τῆς εἰς Θεὸν ἀγάπης, καθὼς αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις δείκνυσιν· «ὁ ἀγαπῶν ἐμέ», φησί, «τὰς ἐντολάς μου τηρήσει». Καὶ τίς ἐστιν ἡ ἐντολή, ἣν τηρήσαντες, αὐτὸν ἀγαπήσωμεν, αὐτοῦ ἄκουσον, λέγοντος· «αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους». Ὁρᾷς ὅτι ἡ ἀλλήλων ἀγάπη, τὴν εἰς Θεὸν ἀγάπην συνίστησιν, ἥτις ἐστὶ πλήρωμα πάσης Θεοῦ ἐντολῆς; Διὰ τοῦτο οὖν κελεύει αὐτῶν μὴ ἀντέχεσθαι, ἀλλὰ καὶ ἀποτάξασθαι πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, πάντα τὸν αὐτῷ μαθητεύειν ἐπιθυμητικῶς ἔχοντα.*

8 *Καὶ ὁ Ἀδελφὸς εἶπεν.*

*Ἐπειδὴ εἶπες, πάτερ, ὅτι δέον πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος, τὴν παντὸς ἀνθρώπου προτιμῆσαι ἀγάπην, πῶς δύναμαι τὸν μισοῦντά με καὶ ἀποστρεφόμενον ἀγαπῆσαι; Εἰ δὲ καὶ φθονεῖ μοι, καὶ λοιδορίαις κατατοξεύει, καὶ δόλους κατασκευάζει, καὶ ἐπιβουλεύειν ἐπιχειρεῖ, πῶς δύναμαι αὐτὸν ἀγαπῆσαι; Φύσει μοι, πάτερ, φαίνεται τοῦτο ἀδύνατον, τοῦ πάθους τῆς λύπης φυσικῶς τὸν λυπήσαντα ἀποστρέφεσθαι ἀναγκάζοντος.*

***Καὶ ἀπεκρίθη ὁ γέρων.***

***Ἐπὶ μὲν τῶν ἑρπετῶν καὶ τῶν θηρίων τῶν ὑπὸ φύσεως ἀγομένων, τῷ ὄντι ἀδύνατον μὴ πάντως ἀμύνασθαι ὅσον δύναται τὸ καταπονοῦν, ἐπὶ δὲ τῶν κατ' εἰκόνα Θεοῦ κτισθέντων, καὶ λόγῳ ἀγομένων, καὶ γνώσεως Θεοῦ καταξιωθέντων, καὶ νόμον παρ' αὐτοῦ δεξαμένων, δυνατὸν τοὺς λυποῦν-***

20. Ἰω. 14,15

21. Ἰω. 15,12.

ὁρατά καί ἀπό αὐτό τό σῶμα ἀκόμα, τήν ἀγάπη πρός κάθε ἄνθρωπο, ἡ ὁποία εἶναι γνώρισμα τῆς ἀγάπης πρός τό Θεό, ὅπως ὁ ἴδιος ὁ Κύριος δείχνει αὐτό στά Εὐαγγέλια· «ἐκεῖνος», λέγει, «πού μ' ἀγαπᾶ θά φυλάξει τίς ἐντολές μου»[20]. Καί ποιά εἶναι ἡ ἐντολή, πού, ἄν τήν τηρήσουμε θ' ἀγαπήσουμε αὐτόν, ἄκουσε τόν ἴδιο πού λέγει· «αὐτή εἶναι ἡ δική μου ἐντολή, ν' ἀγαπᾶτε ὁ ἕνας τόν ἄλλο»[21]. Βλέπεις ὅτι ἡ μεταξύ μας ἀγάπη συνιστᾶ τήν ἀγάπη πρός τό Θεό, ἡ ὁποία εἶναι τό πλήρωμα κάθε ἐντολῆς τοῦ Θεοῦ[22]; Γι' αὐτό λοιπόν καί δίνει ἐντολή νά μήν εἶναι κανείς προσηλωμένος σ' αὐτά, ἀλλά καί ν' ἀπαλλαγεῖ ἀπό ὅλα τά ὑλικά ὑπάρχοντά του, καί ὁ κάθε μαθητής αὐτοῦ νά ἔχει μόνο τά ψυχικά πλούτη.

8 Καί ὁ Ἀδελφός εἶπεν.

Ἐπειδή εἶπες, πάτερ, ὅτι πρέπει ἀπό ὅλα τά ὁρατά καί ἀπό αὐτό τό ἴδιο τό σῶμα, νά προτιμήσω τήν ἀγάπη πρός κάθε ἄνθρωπο, πῶς μπορῶ ν' ἀγαπήσω ἐκεῖνον πού μέ μισεῖ καί μέ ἀποστρέφεται; Ἐάν καί μέ φθονεῖ καί ἐκτοξεύει ἐναντίον μου κακόλογα, καί ἐπινοεῖ δολιότητες καί ἐπιχειρεῖ νά μέ ἐπιβουλεύεται, πῶς μπορῶ ν' ἀγαπήσω αὐτόν; Ἀπό τή φύση μου, πάτερ, αὐτό φαίνεται ἀδύνατο, ἀφοῦ φυσικό εἶναι τό πάθος τῆς λύπης νά μ' ἀναγκάσει ν' ἀποστρέφομαι ἐκεῖνον πού μέ λύπησε.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Στήν περίπτωση τῶν ἑρπετῶν καί τῶν θηρίων, πού ἐξουσιάζονται ἀπό τή φύση, πράγματι εἶναι ἀδύνατο νά μή πολεμεῖ ὁπωσδήποτε ὅσο μπορεῖ ἐκεῖνο πού τό καταπονεῖ, στή περίπτωση ὅμως ἐκείνων πού πλάσθηκαν σύμφωνα μέ τήν εἰκόνα τοῦ Θεοῦ, πού κατευθύνονται ἀπό τό λόγο, πού καταξιώθηκαν νά λάβουν γνώση ἀπό τό Θεό, καί δέχθηκαν νόμο ἀπ' αὐτόν, εἶναι δυνατό νά μή ἀποστρέφονται ἐκείνους πού τούς

22. Ρωμ. 13,10

*τας μὴ ἀποστρέφεσθαι καὶ τοὺς μισοῦντας ἀγαπᾶν. Διὸ καὶ ὁ Κύριος, «ἀγαπᾶτε», λέγων, «τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς», καὶ τὰ ἑξῆς, οὐχ ὡς ἀδύνατα ἐντέλλεται, ἀλλ' ὡς δυνατὰ δηλονότι· ἐπεὶ οὐκ ἂν ἐκόλασε τὸν παραβαίνοντα. Δηλοῖ δὲ αὐτὸς ὁ Κύριος, αὐτοῖς τοῖς ἔργοις ἡμῖν δείξας, καὶ οἱ μαθηταὶ αὐτοῦ πάντες ὑπὲρ τῆς εἰς τὸν πλησίον ἀγάπης μέχρι θανάτου ἀγωνισάμενοι, καὶ ὑπὲρ τῶν ἀποκτεινάντων θερμῶς προσευξάμενοι. Ἀλλ' ἐπειδὴ ἡμεῖς ἐσμὲν φιλόϋλοι καὶ φιλήδονοι, καὶ ταῦτα τῆς ἐντολῆς μᾶλλον προτιμῶντες, διὰ τοῦτο τοὺς μισοῦντας ἀγαπῆσαι οὐ δυνάμεθα, ἀλλὰ καὶ τοὺς ἀγαπῶντας διὰ ταῦτα πολλάκις ἀποστρεφόμεθα, θηρίων καὶ ἑρπετῶν χεῖρον διακείμενοι· καὶ διὰ τοῦτο τοῖς ἴχνεσι τοῦ Θεοῦ ἀκολουθῆσαι μὴ δυνάμενοι, οὐδὲ τὸν σκοπὸν αὐτοῦ γνῶναι δυνάμεθα, ἵνα λάβωμεν δύναμιν.*

9 *Καὶ ὁ Ἀδελφὸς εἶπεν.*

***Ἰδού, πάτερ, κατέλιπον πάντα, συγγένειαν, ὕπαρξιν, τρυφήν, καὶ τὴν δόξαν τοῦ κόσμου, καὶ οὐδὲν κέκτημαι ἐν τῷ βίῳ πλὴν τοῦ σώματος· καὶ τὸν ἀδελφὸν μισοῦντά με καὶ ἀποστρεφόμενον ἀγαπῆσαι οὐ δύναμαι· εἰ καὶ βιάζομαι κακὸν ἀντὶ κακοῦ κατ' ἐνέργειαν μὴ ἀνταποδοῦναι. Εἰπὲ οὖν τί ὀφείλω ποιῆσαι, ἵνα δυνηθῶ αὐτὸν ἐκ καρδίας ἀγαπῆσαι, ἢ καὶ τὸν καθοιονδήποτε τρόπον θλίβοντα καὶ ἐπιβουλεύοντα;***

***Καὶ ἀπεκρίθη ὁ γέρων.***

***Ἀδύνατόν τινα ἀγαπῆσαι τὸν θλίβοντα, κἂν τῇ ὕλῃ τοῦ κόσμου ἔδοξεν ἀποτάξασθαι, ἐὰν μὴ τὸν σκοπὸν τοῦ Κυρίου ἐν ἀληθείᾳ γινώσκῃ· ἐὰν δὲ τοῦ Κυρίου αὐτῷ χαριζομένου δυ-***

---

23. Ματθ. 5,44. Λουκᾶ 6,27

λυποῦν καί ν' ἀγαποῦν ἐκείνους πού τούς μισοῦν. Γι' αὐτό καί ὁ Κύριος λέγοντας, «ν' ἀγαπᾶτε τούς ἐχθρούς σας καί νά εὐεργετεῖτε ἐκείνους πού σᾶς μισοῦν»[23], καί τά στή συνέχεια, τά παραγγέλει ὄχι σάν ἀδύνατα, ἀλλά φανερό εἶναι ὅτι τά λέγει σάν δυνατά· διότι δέν θά τιμωροῦσε τόν παραβάτη αὐτῶν. Τό φανερώνει ὁ ἴδιος ὁ Κύριος, δείχνοντάς μας αὐτό μέ τά ἴδια τά ἔργα του, καί ὅλοι οἱ μαθητές αὐτοῦ πού ἀγωνίσθηκαν μέχρι θανάτου γιά τήν ἀγάπη πρός τόν συνάνθρωπό τους καί προσευχήθηκαν θερμά γιά ἐκείνους πού τούς θανάτωσαν. Ἀλλ' ἐπειδή ἐμεῖς εἴμαστε φιλόϋλοι καί φιλήδονοι καί προτιμοῦμε αὐτά περισσότερο ἀπό τήν ἐντολή, γι' αὐτό δέν μποροῦμε ν' ἀγαπήσουμε ἐκείνους πού μᾶς μισοῦν, ἀλλά καί ἐκείνους πού μᾶς ἀγαποῦν πολλές φορές ἐξ αἰτίας αὐτῶν τούς ἀποστρεφόμαστε, δείχνοντας συμπεριφορά χειρότερη καί ἀπό τά θηρία καί τά ἑρπετά· γι' αὐτό καί δέν μποροῦμε ν' ἀκολουθήσομε τά ἴχνη τοῦ Θεοῦ, οὔτε μποροῦσε νά γνωρίσομε τό σκοπό αὐτοῦ, γιά νά πάρουμε δύναμη.

9 Καί ὁ Ἀδελφός εἶπε.

Νά, πάτερ, ἐγκατέλειψα ὅλα, συγγένεια, ὕπαρξη, ἀπολαύσεις καί τή δόξα τοῦ κόσμου, καί τίποτε δέν ἔχω στή ζωή μου ἐκτός ἀπό τό σῶμα· καί τόν ἀδελφό μου πού μέ μισεῖ καί με ἀποστρέφεται δέν μπορῶ νά τόν ἀγαπήσω, ἄν καί ἀγωνίζομαι νά μή τοῦ ἀνταποδώσω στήν πράξη κακό ἀντί τοῦ κακοῦ πού μοῦ ἔκανε· πές μου λοιπόν τί πρέπει νά κάνω, γιά νά μπορέσω ν' ἀγαπήσω αὐτόν μέ τήν καρδιά μου, ἤ καί ἐκεῖνον πού μέ ὁποιοδήποτε τρόπο μέ θλίβει καί σκέπτεται κακά ἐναντίον μου;

Καί ἀποκρίθηκε ὁ γέροντας.

Εἶναι ἀδύνατο κάποιος ν' ἀγαπήσει ἐκεῖνον πού τόν θλίβει, καί ἄν ἀκόμα φάνηκε ὅτι ἀπαρνήθηκε τήν ὕλη τοῦ κόσμου, ἐάν δέν γνωρίζει ἀληθινά τό σκοπό τοῦ Κυρίου· ἐάν μπορέσει νά γνωρίσει ὅτι ὁ Κύριος ἀγάπησε αὐτόν κατά χάρη καί

*νηθῇ γνῶναι, καὶ σπεύδῃ κατ' αὐτὸν περιπατεῖν, δύναται ἐκ καρδίας ἀγαπῆσαι τὸν μισοῦντα καὶ θλίβοντα, ὥσπερ καὶ οἱ Ἀπόστολοι ἐγνωκότες ἠγάπων.*

*10 Καὶ εἶπεν ὁ Ἀδελφός.*

*Καὶ τίς ὁ σκοπὸς τοῦ Κυρίου ἦν, παρακαλῶ γνῶναι, πάτερ.*

*Καὶ εἶπεν ὁ γέρων.*

*Ἐὰν τὸν σκοπὸν τοῦ Κυρίου γνῶναι θέλῃς, συνετῶς ἄκουσον. Ὁ οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστός, φύσει Θεὸς ὤν, καὶ ἄνθρωπος διὰ φιλανθρωπίαν γενέσθαι καταξιώσας, «ἐκ γυναικὸς τεχθεὶς ὑπὸ νόμον ἐγένετο», κατὰ τὸν θεῖον Ἀπόστολον, ἵνα, ὡς ἄνθρωπος τὴν ἐντολὴν φυλάξας, τὴν ἀρχαίαν τοῦ Ἀδὰμ ἀνατρέψῃ κατάραν. Εἰδὼς οὖν ὁ Κύριος, ὅτι ὅλος ὁ νόμος καὶ οἱ προφῆται ἐν ταῖς δυσὶ τοῦ νόμου κρέμανται ἐντολαῖς, ἐν τῷ, «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον ὡς ἑαυτόν», ταῦτα ἀπ' ἀρχῆς καὶ μέχρι τέλους φυλάξαι ἀνθρωποπρεπῶς ἔσπευσεν.*

*Ὁ δὲ ἀπ' ἀρχῆς ἀπατήσας τὸν ἄνθρωπον καὶ διὰ τοῦτο κράτος ἐσχηκὼς τοῦ θανάτου, διάβολος, ἰδὼν αὐτὸν ἐπὶ τοῦ βαπτίσματος ὑπὸ τοῦ Πατρὸς μαρτυρούμενον, καὶ τὸ συγγενὲς ἅγιον Πνεῦμα ὡς ἄνθρωπον ἀπ' οὐρανῶν δεχόμενον, καὶ εἰς τὴν ἔρημον πρὸς τὸ πειρασθῆναι ὑπ' αὐτοῦ ἐληλυθότα, ὅλον αὐτοῦ τὸν πόλεμον κατ' αὐτοῦ συνεκρότει, εἴ πως δυνηθῇ*

---

24. Γαλ. 4,4
25. Ματθ. 20,37

σπεύδει νά περπατεῖ σύμφωνα μέ τίς ἐντολές αὐτοῦ, μπορεῖ ν' ἀγαπήσει μέ τήν καρδιά του ἐκεῖνον πού τόν μισεῖ καί τόν θλίβει, ὅπως ἀκριβῶς καί οἱ Ἀπόστολοι ἀγαποῦσαν ἐκείνους πού τούς ἔθλιβαν, ἐπειδή εἶχαν γνωρίσει αὐτό.

10 Καί εἶπεν ὁ Ἀδελφός.

Καί ποιός ἦταν ὁ σκοπός τοῦ Κυρίου, πάτερ, παρακαλῶ νά τόν γνωρίσω.

Καί εἶπεν ὁ γέροντας.

Ἐάν θέλεις νά γνωρίσεις τό σκοπό τοῦ Κυρίου, ἄκουσε μέ σύνεση. Ὁ Κύριός μας λοιπόν Ἰησοῦς Χριστός, πού εἶναι ἐκ φύσεως Θεός καί καταδέχθηκε ἀπό φιλανθρωπία νά γίνει ἄνθρωπος, «γεννήθηκε ἀπό γυναίκα καί τήρησε τά τοῦ νόμου»[24], κατά τόν θεῖο Ἀπόστολο, ὥστε, ἀφοῦ σάν ἄνθρωπος φυλάξει τήν ἐντολή, νά καταλύσει τήν ἀρχαία κατάρα τοῦ Ἀδάμ. Γνωρίζοντας λοιπόν ὁ Κύριος, ὅτι ὅλος ὁ νόμος καί οἱ προφῆτες κρέμονται ἀπό αὐτές τίς δύο ἐντολές, ἀπό τό, «ν' ἀγαπήσεις τόν Κύριο τό Θεό σου μέ ὅλη τήν καρδιά σου, καί τόν πλησίον σου ὅπως τόν ἑαυτό σου»[25], ἔσπευσε ἀπό τήν ἀρχή μέχρι τέλους νά φυλάξει αὐτά ὅπως ταίριαζε σέ ἄνθρωπο.

Ὁ διάβολος ὅμως ἀπό τήν ἀρχή ἐξαπάτησε τόν ἄνθρωπο, καί ἐξ αἰτίας αὐτοῦ κρατοῦσε αὐτόν κάτω ἀπό τήν ἐξουσία τοῦ θανάτου· ὅταν εἶδε αὐτόν κατά τήν ὥρα τοῦ βαπτίσματος νά μαρτυρεῖται ἀπό τόν Πατέρα σάν Υἱός του καί νά δέχεται ἀπό τόν οὐρανό σάν ἄνθρωπος τό συγγενές ἅγιο Πνεῦμα[26], καί νά ἔχει ἔρθει στήν ἔρημο γιά νά δεχθεῖ τούς πειρασμούς ἀπ' αὐτόν, συγκρότησε ὅλο τόν πόλεμό του ἐναντίον αὐτοῦ, μήπως καί μπορέσει νά κάνει καί αὐτόν νά προτιμήσει τήν ὕλη τοῦ κόσμου ἀντί τῆς

26. Ματθ. 3,16-17

*καὶ αὐτὸν ποιῆσαι τὴν τοῦ κόσμου προτιμῆσαι ὕλην τῆς εἰς Θεὸν ἀγάπης. Εἰδὼς οὖν ὁ διάβολος ὅτι τὰ τρία ταῦτά εἰσιν, ἐν οἷς πάντα δονεῖται τὰ ἀνθρώπινα, βρώματα, λέγω, καὶ χρήματα καὶ δόξα, δι' ὧν καὶ εἰς τὸ βάραθρον τῆς ἀπωλείας ἀεὶ κατάγει τὸν ἄνθρωπον, εἰς ταῦτα τὰ τρία αὐτὸν ἐν τῇ ἐρήμῳ ἐπείρασεν, ὧν ὁ Κύριος ἡμῶν κρείττων φανείς, εἰς τοὐπίσω χωρεῖν τὸν διάβολον προσέταττε.*

11 *Τοῦτο οὖν τὸ γνώρισμα τῆς εἰς Θεὸν ἀγάπης, ἧς τὴν ἐντολὴν δι' ὧν ἐπήγγελτο πεῖσαι αὐτὸν παραβῆναι μὴ δυνηθείς, τῆς εἰς τὸν πλησίον λοιπὸν ἀγάπης τὴν ἐντολήν, εἰς τὴν οἰκουμένην ἐλθόντα, διὰ τῶν παρανόμων Ἰουδαίων ἐνεργῶν, παραβαίνειν αὐτὸν δι' ὧν ἐμηχανᾶτο ἠγωνίζετο. Τούτου χάριν, διδάσκοντα αὐτὸν τὰς ὁδοὺς τῆς ζωῆς, καὶ ἔργῳ ὑποδεικνύοντα τὴν οὐράνιον πολιτείαν, καὶ ἀνάστασιν νεκρῶν καταγγέλλοντα, καὶ ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν τοῖς πιστεύουσιν ἐπαγγελλόμενον, τοῖς δὲ ἀπίστοις κόλασιν αἰώνιον ἀπειλοῦντα, καὶ πρὸς βεβαίωσιν τῶν λεγομένων τὰς παραδόξους θεοσημίας ἐπιδεικνύμενον, καὶ εἰς πίστιν τοὺς ὄχλους προσκαλούμενον, συνεκίνει τοὺς παρανόμους Φαρισσαίους καὶ Γραμματεῖς, εἰς τὰς κατ' αὐτοῦ ποικίλας ἐπιβουλάς, ἵνα τοὺς πειρασμοὺς ὑπενεγκεῖν, ὡς ᾤετο, μὴ δυνάμενος, εἰς μῖσος τῶν ἐπιβουλευόντων παρατραπῇ, καὶ οὕτω τοῦ σκοποῦ ὁ ἀλάστωρ ἐπιτύχῃ, παραβάτην τῆς ἐντολῆς τῆς εἰς τὸν πλησίον ἀγάπης ἀποφήνας.*

12 *Ὁ δὲ Κύριος, ἅτε Θεός, εἰδὼς αὐτοῦ τὰ ἐνθύμια, οὐ τοὺς ὑπ' αὐτοῦ ἐνεργουμένους ἐμίσησε Φαρισαίους (πῶς γὰρ φύσει ἀγαθὸς ὤν;), ἀλλὰ διὰ τῆς εἰς αὐτοὺς ἀγάπης, τὸν ἐνεργοῦντα*

27. Ματθ. 4,1-11

ἀγάπης πρός τό Θεό. Γνωρίζοντας λοιπόν ὁ διάβολος ὅτι τά τρία αὐτά εἶναι ἐκεῖνα, γύρω ἀπό τά ὁποῖα κινοῦνται τά ἀνθρώπινα, ἐννοῶ οἱ τροφές, τά χρήματα καί ἡ δόξα, μέ τά ὁποῖα πάντοτε καταγκρεμίζει στό βάραθρο τῆς καταστροφῆς τόν ἄνθρωπο, μ' αὐτά τά τρία προσπάθησε νά πειράξει αὐτόν στήν ἔρημο, ἀπό τά ὁποῖα ἀφοῦ ὁ Κύριός μας φάνηκε ἀνώτερος, πρόσταζε τόν διάβολο νά φύγει ἀπό κοντά του[27].

11 Αὐτό λοιπόν εἶναι τό γνώρισμα τῆς ἀγάπης πρός τό Θεό, τῆς ὁποίας τήν ἐντολή, ἐπειδή δέν μπόρεσε, μέ ἐκεῖνα πού ὑποσχέθηκε, νά πείσει αὐτόν νά τήν παραβεῖ, ἀφοῦ αὐτός ἦρθε στήν οἰκουμένη, ἀγωνιζόταν μέ ὅλα ἐκεῖνα πού μηχανευόταν, ἐνεργώντας μέ τούς παράνομους Ἰουδαίους νά παραβεῖ αὐτός τήν ἐντολή πλέον τῆς ἀγάπης πρός τόν πλησίον. Ἐξ αἰτίας αὐτοῦ, ἐπειδή αὐτός δίδασκε στόν κόσμο τούς δρόμους τῆς ζωῆς, καί μέ τά ἔργα του φανέρωνε τήν οὐράνια πολιτεία, κήρυττε τήν ἀνάσταση τῶν νεκρῶν, καί ὑποσχόταν ζωή αἰώνια καί βασιλεία τῶν οὐρανῶν σ' ἐκείνους πού πιστεύουν σ' αὐτόν, ἐνῶ στούς ἄπιστους ἀπειλοῦσε κόλαση αἰώνια, καί πρός ἐπιβεβαίωση τῶν λεγομένων του πραγματοποιοῦσε τά παράδοξα θαύματα, προσκαλώντας στήν πίστη τά πλήθη, γιά τό λόγο αὐτό παρακινοῦσε ὁ διάβολος τούς παράνομους Φαρισαίους καί Γραμματεῖς στίς ἐναντίον του ποικίλες ἐπιβουλές αὐτῶν, ὥστε, μή μπορώντας νά ὑπομένει τούς πειρασμούς, ὅπως νόμιζε, νά μεταβάλει στάση καί νά μισήσει ἐκείνους πού τόν ἐπιβουλεύονταν, καί ἔτσι ὁ μιαρός καί ἄθλιος νά ἐπιτύχει τό σκοπό του, παρουσιάζοντας αὐτόν παραβάτη τῆς ἐντολῆς πρός τόν πλησίον.

12 Ὁ Κύριος ὅμως, ἐπειδή ἦταν ὁ Θεός, γνωρίζοντας τίς σκέψεις αὐτοῦ, δέν μίσησε τούς Φαρισαίους πού ἐνεργοῦσαν παρακινούμενοι ἀπό ἐκεῖνον (διότι πῶς ἦταν δυνατό αὐτό, τή στιγμή πού ἀπό τή φύση του εἶναι ἀγαθός;), ἀλλά

*ἠμύνετο· καὶ τοὺς μὲν ἐνεργουμένους, ἅτε δυναμένους μὴ ἐνεργεῖσθαι, ἑκουσίως δὲ τοῦ ἐνεργοῦντος διὰ ῥᾳθυμίαν ἀνεχομένους, ἐνουθέτει, ἤλεγχεν, ὠνείδιζεν, ἐταλάνιζεν, εὐεργετῶν οὐκ ἐπαύετο, βλασφημούμενος ἐμακροθύμει, πάσχων ὑπέμεινε, πάντα τὰ τῆς ἀγάπης ἔργα εἰς αὐτοὺς ἐνεδείκνυτο· τὸν δὲ ἐνεργοῦντα, τῇ εἰς τοὺς ἐνεργουμένους φιλανθρωπίᾳ ἠμύνετο· ὢ παραδόξου πολέμου! ἀντὶ τοῦ μίσους, τὴν ἀγάπην ἐπιδεικνύμενος, καὶ ἀγαθότητι βάλλων τὸν τῆς κακίας πατέρα. Τούτου χάριν τὰ τοσαῦτα κακὰ παρ' αὐτῶν ὑπομείνας, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, δι' αὐτούς, μέχρι θανάτου ὑπὲρ τῆς ἐντολῆς τῆς ἀγάπης ἀνθρωποπρεπῶς ἠγωνίσατο, καὶ τὴν τελείαν νίκην κατὰ τοῦ διαβόλου ἀράμενος, τὸν στέφανον τῆς ἀναστάσεως ὑπὲρ ἡμῶν ἐνεδήσατο, καὶ οὕτως ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνενεώσατο. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ θεῖος Ἀπόστολος· «τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ» καὶ τὰ ἑξῆς*

13 ***Οὗτος οὖν ἦν ὁ σκοπὸς τοῦ Κυρίου, ἵνα τῷ μὲν Πατρὶ ὑπακούσῃ μέχρι θανάτου ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν, φυλάττων τὴν ἐντολὴν τῆς ἀγάπης, τὸν δὲ διάβολον ἀμύνηται τῷ πάσχειν ὑπ' αὐτοῦ, διὰ τῶν ὑπ' αὐτοῦ ἐνεργουμένων Γραμματέων καὶ Φαρισαίων, καὶ οὕτως ἐνίκησε, τῷ νικᾶσθαι ἑκουσίως, τὸν νικᾶν ἐλπίσαντα, καὶ τὸν κόσμον ἐρρύσατο τῆς αὐτοῦ δυναστείας. Τοῦτον τὸν τρόπον ὁ Χριστὸς ἐξ ἀσθενείας***

---

28. Φιλιπ. 2,5

μέ τήν ἀγάπη του πρός αὐτούς πολεμοῦσε ἐκεῖνον πού τούς παρακινοῦσε· καί ἐκείνους πού παρακινοῦνταν ἀπ' αὐτούς, ἐπειδή μποροῦσαν νά μή δεχθοῦν τήν ἐπενέργειά του, συγκατατίθονταν ὅμως, ἐξ αἰτίας τῆς ἀδιαφορίας τους, μέ τή θέλησή τους σ' ἐκεῖνον πού τούς ὑποκινοῦσε, τούς νουθετοῦσε, τούς ἔλεγχε, τούς κατηγοροῦσε, τούς ταλάνιζε, δέν σταματοῦσε νά τούς εὐεργετεῖ, ἐνῶ βλασφημοῦνταν ἔδειχνε μακροθυμία, ἐνῶ ἔπασχε ἔδειχνε ὑπομονή, καί γενικά ἔδειχνε πρός αὐτούς ὅλα τά ἔργα τῆς ἀγάπης, ἐνῶ ἐκεῖνον πού τούς ὑποκινοῦσε τόν πολεμοῦσε μέ τή φιλανθρωπία του πρός ἐκείνους πού δέχονταν τήν ἐπενέργειά του· πώ πώ παράξενος πόλεμος! ἀντί γιά μίσος, ἔδειχνε τήν ἀγάπη του, καί μέ τήν ἀγαθότητά του πολεμοῦσε τόν πατέρα τῆς κακίας. Ἐξ αἰτίας αὐτοῦ, ἀφοῦ ὑπέμεινε ἀπό αὐτούς τά τόσα πολλά κακά, ἤ καλύτερα γιά νά μιλήσουμε πιό σωστά, γιά χάρη αὐτῶν ἀγωνίσθηκε, ὅπως ταίριαζε σέ ἄνθρωπο, μέχρι θανάτου ὑπέρ τῆς ἐντολῆς τῆς ἀγάπης, καί, ἀφοῦ ὕψωσε τήν τέλεια νίκη ἐναντίον τοῦ διαβόλου, φόρεσε γιά μᾶς τό στεφάνι τῆς ἀναστάσεως, καί ἔτσι ὁ νέος Ἀδάμ ἀνανέωσε τόν παλαιό. Καί αὐτό σημαίνει ἐκεῖνο πού λέγει ὁ θεῖος Ἀπόστολος· «αὐτό τό φρόνημα νά ὑπάρχει μέσα σας, τό ὁποῖο ὑπῆρχε καί στόν Ἰησοῦ Χριστο»[28], καί τά ὅσα λέγονται στή συνέχεια.

13 Αὐτός λοιπόν ἦταν ὁ σκοπός τοῦ Κυρίου, στόν Πατέρα δηλαδή νά ὑπακούσει πρός χάρη μας σάν ἄνθρωπος μέχρι θανάτου, φυλάσσοντας τήν ἐντολή τῆς ἀγάπης, ἐνῶ τόν διάβολο νά πολεμήσει μέ τά παθήματα πού δέχθηκε ἀπ' αὐτόν, ὑπομένοντας αὐτά ἀπό τούς Γραμματεῖς καί Φαρισαίους, πού δέχονταν τήν ἐπενέργεια αὐτοῦ, καί ἔτσι, μέ τό νά νικηθεῖ μέ τή θέλησή του, νίκησε ἐκεῖνον πού ἔλπισε νά τόν νικήσει, καί λύτρωσε τόν κόσμο ἀπό τήν ἐξουσία αὐτοῦ. Κατ' αὐτόν τόν τρόπο σταυρώθηκε ὁ Χριστός

*ἐσταυρώθη, δι' ἧς ἀσθενείας τὸν θάνατον ἐνέκρωσε καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου κατήργησε. Τοῦτον τὸν τρόπον καὶ ὁ Παῦλος ἐν ἑαυτῷ ἠσθένει, καὶ ἐκαυχᾶτο ἐν ταῖς ἀσθενείαις, ἵνα ἐπισκηνώσῃ ἐν αὐτῷ ἡ δύναμις τοῦ Χριστοῦ.*

*14* *Ταύτης τῆς νίκης τὸν τρόπον μαθών, ἔλεγεν Ἐφεσίοις γράφων· «οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας», καὶ τὰ ἑξῆς. Τόν τε θώρακα τῆς δικαιοσύνης ἀναλαβεῖν φησι, καὶ τὴν περικεφαλαίαν ἐλπίδος, καὶ τὸν θυρεὸν τῆς πίστεως, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ἵνα δυνηθῶσι πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, οἱ πρὸς τοὺς ἀοράτους ἐχθροὺς τὸν πόλεμον ἔχοντες. Ἔργῳ δὲ τὸν τρόπον τῆς πάλης ἐπιδεικνύμενος, ἔλεγεν· «ἐγὼ οὖν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων· ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι». Καὶ πάλιν· «ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα». Καὶ πάλιν· «ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός».*

*15* *Καὶ ταύτην μὲν τὴν πάλην, πρὸς τοὺς ἡδονὰς ἐν τῇ σαρκὶ ἐνεργοῦντας ἐπάλαιε δαίμονας διὰ τῆς ἀσθενείας τοῦ ἰδίου σώματος αὐτοὺς ἀπελεύνων, πρὸς δὲ τοὺς εἰς μῖσος πολεμοῦντας, καὶ διὰ τοῦτο τοὺς τῶν ἀνθρώπων ἀμελεστέρους*

---

**33. Ἐφεσ. 6,12**
**34. Ἐφεσ. 6,14·17·16**
**35. Α' Κορ. 9,26-27**
**36. Α' Κορ. 4,11**

**29. Β' Κορ. 13,3**
**30. Ἑβρ. 2,14**
**31. Β' Κορ. 13,4**
**32. Β' Κορ. 12,9**

ἐξ αἰτίας τῆς ἀδυναμίας τῆς ἀνθρώπινης φύσεως[29], μέ τήν ὁποία ἀδυναμία ὅμως νέκρωσε τό θάνατο καί κατάργησε ἐκεῖνον πού εἶχε τό κράτος τοῦ θανάτου[30]. Κατ' αὐτόν τόν τρόπο καί ὁ Παῦλος θεωροῦσε τόν ἑαυτό του ἀσθενή[31], καί καυχόταν ἐνῶ βρισκόταν μέσα στίς ἀσθένειες, γιά νά κατοικήσει μέσα σ' αὐτόν ἡ δύναμη τοῦ Χριστοῦ[32].

14 Αὐτῆς τῆς νίκης τόν τρόπο ἀφοῦ γνώρισε ὁ Παῦλος, ἔλεγε πρός τούς Ἐφεσίους γράφοντας τήν ἐπιστολή του· «δέν εἶναι ἡ πάλη σας πρός τούς ἀνθρώπους πού ἔχουν αἷμα καί σάρκα, ἀλλά πρός τίς ἀρχές καί πρός τίς ἐξουσίες»[33], καί τά ἑξῆς. Καί νά ἀναλάβουν, λέγει, τόν θώρακα τῆς δικαιοσύνης, καί τήν περικεφαλαία τῆς ἐλπίδας, καί τήν ἀσπίδα τῆς πίστεως, καί τή μάχαιρα τοῦ Πνεύματος[34], γιά νά μπορέσουν νά σβήσουν ὅλα τά πυρακτωμένα βέλη τοῦ πονηροῦ, αὐτοί πού διεξάγουν τόν πόλεμο πρός τούς ἀόρατους ἐχθρούς. Δείχνοντας ἔμπρακτα τόν τρόπο τῆς πάλης, ἔλεγε· «ἐγώ λοιπόν ἔτσι τρέχω, ὄχι σάν νά μή εἶμαι βέβαιος γιά τό σκοπό καί τό τέρμα τοῦ δρόμου μου, ἔτσι ἀγωνίζομαι, ὄχι σάν νά χτυπῶ τόν ἀέρα, ἀλλά ταλαιπωρῶ τό σῶμα μου καί τό ὁδηγῶ σάν δοῦλο ὅπου θέλω, γιά νά μή συμβεῖ, ἐνῶ κήρυξα σ' ἄλλους, ν' ἀποδειχθῶ ἐγώ ἀνάξιος γιά τό βραβεῖο»[35]· καί πάλι· «μέχρι τήν ὥρα αὐτή καί πεινοῦμε, καί διψοῦμε, καί στερούμαστε τά ἀπαραίτητα ἐνδύματα, καί δεχόμαστε χτυπήματα»[36]· καί πάλι· «μέ κόπους καί μόχθους, μέ ἀγρυπνίες πολλές φορές, μέ ψύχος καί γυμνόνητα, καί ἐκτός ἀπό ὅλα τά ἄλλα πού παραλείπω ν' ἀναφέρω»[37].

15 Καί αὐτήν μέν τήν πάλη τήν ἔκαμνε πρός τούς δαίμονας πού δημιουργοῦσαν ἡδονές στή σάρκα, ἀπομακρύνοντας αὐτούς μέ τήν ἀδυναμία τοῦ σώματός του, ἐνῶ πρός ἐκείνους πού τούς πολεμοῦσαν ἀπό μίσος, καί γι' αὐτό παρα-

37. Β' Κορ. 11,27-28

*κατὰ τῶν εὐσεβῶν κινοῦντας, ἵνα, δι' αὐτῶν πειραζόμενοι, αὐτοὺς μισήσωσι καὶ τὴν ἐντολὴν τῆς ἀγάπης παραβῶσι, πάλιν τὸν τρόπον τῆς νίκης ἔργοις ἡμῖν ὑποδεικνύων, ἔλεγεν· «λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡσπερεὶ καθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι». Οἱ μὲν γὰρ δαίμονες, διὰ τοῦτο λοιδορεῖν καὶ βλασφημεῖν καὶ διώκειν ὑπέβαλλον, ἵνα εἰς μῖσος τοῦ λοιδοροῦντος καὶ βλασφημοῦντος καὶ διώκοντος αὐτὸν κινήσωσι, τὸν σκοπὸν εἰς τὴν παράβασιν τῆς ἐντολῆς τῆς ἀγάπης ἔχοντες.*

*Ὁ δὲ Ἀπόστολος μὴ ἀγνοῶν τὰ νοήματα αὐτῶν, τοὺς λοιδοροῦντας ηὐλόγει, καὶ τῶν διωκόντων ἠνείχετο, καὶ τοὺς βλασφημοῦντας παρεκάλει, τῶν μὲν ταῦτα ἐνεργούντων ἀποστῆναι δαιμόνων, τῷ δὲ ἀγαθῷ οἰκειωθῆναι Θεῷ, τοὺς δὲ ταῦτα ἐνεργοῦντας δαίμονας, τούτῳ τῷ τρόπῳ τῆς πάλης ἠμύνετο, ἐν τῷ ἀγαθῷ ἀεὶ νικῶν τὸ κακόν, κατὰ τὴν μίμησιν τοῦ Σωτῆρος, καὶ οὕτως ὅλον τὸν κόσμον τῶν δαιμόνων ἀποστήσαντες τῷ Θεῷ ᾠκείωσαν, αὐτός τε καὶ οἱ λοιποὶ Ἀπόστολοι, διὰ ἥττης νικήσαντες τοὺς νικᾶν ἐλπίσαντας. Ἐὰν οὖν καὶ σύ, Ἀδελφέ, τοῦτον κρατήσῃς τὸν σκοπόν, δύνασαι καὶ σὺ τοὺς μισοῦντας ἀγαπᾶν· εἰ δὲ μή γε, ἄλλως ἀμήχανον.*

16 ***Καὶ ὁ ἀδελφὸς εἶπεν.***

***Ἐπ' ἀληθείας, πάτερ, οὕτως ἐστὶ καὶ οὐκ ἄλλως· καὶ διὰ***

---

38. Α' Κορ. 4,12,13

39. Ρωμ. 12,21

κινοῦσαν ἐναντίον τῶν εὐσεβῶν τούς πιό ἀδιάφορους πνευματικά ἀπό τούς ἀνθρώπους, ὥστε, δεχόμενοι πειρασμούς ἀπ' αὐτούς, νά νικήσουν αὐτούς καί νά παραβοῦν τήν ἐντολή τῆς ἀγάπης, πάλι δείχνοντάς μας ἔμπρακτα τόν τρόπο τῆς νίκης, ἔλεγε· «ἐνῶ κακολογούμαστε, ζητοῦμε τήν εὐλογία τοῦ Θεοῦ γι' αὐτούς, ἐνῶ καταδιωκόμαστε, δείχνομε ἀνοχή, ἐνῶ βλασφημούμαστε, παρακαλοῦμε τό Θεό γι' αὐτούς, καί ἔτσι γίναμε μέχρι τή στιγμή αὐτή σάν ἀπορρίμματα τοῦ κόσμου καί σάν σκουπίδια μπροστά στά μάτια ὅλων»[38]. Οἱ δαίμονες λοιπόν γι' αὐτό ὑποκινοῦσαν τούς ἀνθρώπους νά τόν κακολογοῦν, νά τόν βλασφημοῦν καί νά τόν καταδιώκουν, γιά νά ἐξαναγκάσουν αὐτόν νά μισήσει ἐκεῖνον πού τόν κακολογοῦσε, τόν βλασφημοῦσε καί τόν καταδίωκε, ἔχοντας σάν σκοπό νά παραβεῖ αὐτός τήν ἐντολή τῆς ἀγάπης. Ὁ Ἀπόστολος ὅμως μή ἀγνοώντας τίς σκέψεις αὐτῶν, ζητοῦσε ἀπό τό Θεό τήν εὐλογία του γιά ἐκείνους πού τόν κακολογοῦσαν, ἔδειχνε ἀνοχή πρός ἐκείνους πού τόν καταδίωκαν, καί παρακαλοῦσε τό Θεό γιά ἐκείνους πού τόν βλασφημοῦσαν, μέ σκοπό ἐκείνους μέν πού ἔκαμναν αὐτά νά τούς ἀπομακρύνει ἀπό τούς δαίμονες καί νά τούς καταστήσει φίλους μέ τό Θεό, ἐνῶ τούς δαίμονες πού ἐνεργοῦσαν αὐτά, μέ αὐτόν τόν τρόπο τῆς πάλης τούς πολεμοῦσε, νικώντας πάντοτε μέ τό ἀγαθό τό κακό[39], κατά τή μίμηση τοῦ Σωτήρα, καί ἔτσι ὅλο τόν κόσμο, ἀφοῦ τόν ἀπομάκρυναν ἀπό τούς δαίμονες, τόν συμφιλίωσαν μέ τό Θεό, καί αὐτός καί οἱ ὑπόλοιποι Ἀπόστολοι, ἀφοῦ μέ τήν ἧττα τους νίκησαν ἐκείνους πού ἔλπισαν νά τούς νικήσουν. Ἐάν λοιπόν καί σύ, Ἀδελφέ, κρατήσεις αὐτόν τό σκοπό, μπορεῖς καί σύ ν' ἀγαπᾶς ἐκείνους πού σέ μισοῦν, ἐάν ὅμως δέν τόν κρατήσεις, εἶναι ἀδύνατο κατ' ἄλλο τρόπο νά τούς ἀγαπᾶς.

16 Καί ὁ Ἀδελφός εἶπε.

Ἀλήθεια, πάτερ, ἔτσι εἶναι καί δέν εἶναι δυνατό ἀλλιῶς·

*τοῦτο ὁ Κύριος βλασφημούμενος καὶ κολαφιζόμενος, καὶ τὰ ἄλλα πάσχων, ἅπερ ἔπαθεν ὑπὸ τῶν Ἰουδαίων, ἠνείχετο, ἐκείνοις μὲν συμπάσχων ὡς ἀγνοοῦσι καὶ πεπλανημένοις· διὸ καὶ ἔλεγεν ἐπὶ τοῦ σταυροῦ, «Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι», τοῦ δὲ διαβόλου καὶ τῶν ἀρχόντων αὐτοῦ θριαμβεύων τὴν πανουργίαν καὶ τὴν ἀπάτην ἐπὶ τοῦ σταυροῦ· ὑπὲρ τῆς ἐντολῆς τῆς ἀγάπης, καθὼς εἶπας, μέχρι θανάτου πρὸς αὐτοὺς ἀγωνισάμενος, καὶ τὴν κατ' αὐτῶν νίκην ἡμῖν χαρισάμενος, καὶ τοῦ θανάτου καταλύσας τὸ κράτος, τὴν ἀνάστασιν αὐτοῦ εἰς ζωὴν παντὶ τῷ κόσμῳ ἐδωρήσατο. Ἀλλ' εὔχου ὑπὲρ ἐμοῦ, πάτερ, ἵνα τελείως ἐξισχύσω γνῶναι τὸν σκοπὸν τοῦ Κυρίου, καὶ τῶν Ἀποστόλων αὐτοῦ, καὶ δυνηθῶ νήφειν ἐν τοῖς καιροῖς τῶν πειρασμῶν, καὶ μὴ ἀγνοεῖν τὰ νοήματα τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ.*

*17 Καὶ ὁ γέρων ἀποκριθείς, εἶπεν.*

*Ἐὰν τῶν προειρημένων ἔχεις ἀεὶ τὴν μελέτην, δύνασαι μὴ ἀγνοεῖν. Ἀλλὰ καὶ ἐὰν συνιῇς, ὅτι ὥσπερ σὺ πειράζῃ, οὕτω καὶ ὁ ἀδελφός σου πειράζεται· καὶ τῷ μὲν πειραζομένῳ συγγινώσκεις, τῷ δὲ πειράζοντι θέλοντί σε εἰς μῖσος ἀγαγεῖν τοῦ πειραζομένου ἀντιστῇς, μὴ ὑπακούων αὐτοῦ τῷ μηχανήματι. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ ἀδελφόθεος Ἰάκωβος ἐν ταῖς Καθολικαῖς· «ὑποτάγητε τῷ Θεῷ· ἀντίστητε δὲ τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν». Ἐὰν οὖν, ὡς εἴρηται, ἔχεις νηφόντως τὴν τῶν προειρημένων ἀδιαλείπτως μελέτην, δύνασαι γνῶναι τὸν σκοπὸν τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων αὐτοῦ·*

40. Λουκᾶ 23,34
41. Ἰακ. 4,7

καί γι' αὐτό ὁ Κύριος, ἐνῶ βλασφημοῦνταν καί δεχόταν κολαφίσματα, καί πάθαινε ὅλα τά ἄλλα πού ἔπαθε ἀπό τούς Ἰουδαίους, τά ὑπέμενε, δείχνοντας συμπόνοια γιά ἐκείνους, ἐπειδή τά ἔκαμναν αὐτά ἀπό ἄγνοια καί πλάνη, γι' αὐτό καί ἔλεγε βρισκόμενος ἐπάνω στό σταυρό, «Πατερα, συγχώρησε αὐτούς, διότι δέν γνωρίζουν τί κάνουν»[40], ἐνῶ νικοῦσε θριαμβευτικά βρισκόμενος ἐπάνω στό σταυρό, τήν πανουργία καί τήν ἀπάτη τοῦ διαβόλου καί τῶν ἀρχόντων αὐτοῦ· ὅπως εἶπες, ἀγωνίσθηκε ἐναντίον αὐτῶν μέχρι θανάτου, ὑπέρ τῆς ἐντολῆς τῆς ἀγάπης, καί μᾶς χάρισε τή νίκη ἐναντίον αὐτῶν, καί, ἀφοῦ κατέλυσε τό κράτος τοῦ θανάτου, δώρησε σ' ὅλο τόν κόσμο τήν ἀνάστασή του σάν πηγή ζωῆς. Ἀλλά νά προσεύχεσαι, πάτερ, γιά μένα, ὥστε νά μπορέσω νά γνωρίσω τέλεια τό σκοπό τοῦ Κυρίου καί τῶν Ἀποστόλων αὐτοῦ, καί νά μπορέσω νά δείχνω ὑπομονή καί σωφροσύνη κατά τόν καιρό τῶν πειρασμῶν, καί νά μή ἀγνοῶ τίς σκέψεις τοῦ διαβόλου καί τῶν διαμόνων αὐτοῦ.

17 Καί ὁ γέροντας ἀποκρίθηκε καί εἶπε.

Ἐάν μελετᾶς πάντοτε καί μέ προσοχή τά ὅσα λέχθηκαν προηγουμένως, μπορεῖς νά μή ἀγνοεῖς τά σχέδια τοῦ διαβόλου. Ἀλλά καί ἐάν κατανοήσεις, ὅτι ὅπως ἀκριβῶς σύ πειράζεσαι, ἔτσι πειράζεται καί ὁ ἀδελφός σου· καί ἐκεῖνον μέν πού πειράζεται νά τόν συγχωρεῖς, ἐνῶ αὐτόν πού σέ πειράζει καί θέλει νά σέ ὁδηγήσει σέ μίσος ἐναντίον ἐκείνου πού πειράζεται, νά ἀντισταθεῖς μή ὑπακούοντας στό δόλιο τέχνασμα αὐτοῦ. Καί αὐτό σημαίνει ἐκεῖνο πού λέγει ὁ Ἰάκωβος ὁ ἀδελφόθεος στίς Καθολικές Ἐπιστολές· «ὑποταχθεῖτε λοιπόν στό Θεό, ἀντισταθεῖτε στό διάβολο, καί αὐτός θ' ἀπομακρυνθεῖ ἀπό σᾶς»[41]. Ἐάν λοιπόν, ὅπως ἔχει λεχθεῖ, μελετᾶς ἀδιάκοπα καί μέ πολλή προσοχή καί ἐπαγρύπνηση τά ὅσα λέχθηκαν προηγουμένως, μπορεῖς νά γνωρίσεις τό σκοπό τοῦ Κυρίου καί τῶν Ἀπο-

*καὶ τοὺς μὲν ἀνθρώπους ἀγαπᾶν καὶ συμπάσχειν αὐτοῖς πταίουσι, τοῖς δὲ πονηροῖς δαίμοσιν ἀδιαλείπτως διὰ τῆς ἀγάπης πολεμεῖν. Εἰ δέ ἐσμεν χαῦνοι καὶ ἀμελεῖς καὶ ῥάθυμοι, καὶ ταῖς σαρκικαῖς ἡδοναῖς τὸν λογισμὸν ἐμφύρομεν, οὐχὶ τοὺς δαίμονας, ἀλλ' ἑαυτοὺς καὶ τοὺς ἀδελφοὺς πολεμοῦμεν· τοὺς δὲ δαίμονας μᾶλλον δι' αὐτῶν θεραπεύομεν, ὑπὲρ αὐτῶν τοῖς ἀνθρώποις μαχόμενοι.*

*18 Καὶ ὁ Ἀδελφὸς εἶπεν.*

*Οὕτως ἔχει, πάτερ· καὶ γὰρ ἐκ τῆς ἀμελείας μου ἀεὶ λαμβάνουσιν ἀφορμὰς κατ' ἐμοῦ οἱ δαίμονες. Ἀλλὰ παρακαλῶ σε, πάτερ, εἰπεῖν μοι, πῶς ὀφείλω κτήσασθαι νῆψιν.*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Ἡ παντελὴς τῶν γηΐνων ἀμεριμνία καὶ ἡ συνεχὴς μελέτη τῆς θείας Γραφῆς φέρει τὴν ψυχὴν εἰς φόβον Θεοῦ, καὶ ὁ τοῦ Θεοῦ φόβος φέρει τὴν νῆψιν, καὶ τότε ἡ ψυχὴ ἄρχεται βλέπειν τοὺς διὰ τῶν λογισμῶν πολεμοῦντας αὐτὴν δαίμονας καὶ ἀμύνασθαι, περὶ ὧν ὁ Δαβὶδ ἔλεγε· «καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου». Πρὸς ταύτην τὴν πάλην καὶ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος διεγείρων τοὺς μαθητάς, ἔλεγε· «νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει». Καὶ ὁ Κύριος δέ· «γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν». Ὁ δὲ Ἐκκλησιαστής φησιν· «ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς». Τόπος δὲ τοῦ*

---

42. Νήψη· πνευματική διαύγεια, σωφροσύνη, ἀταραξία ψυχῆς.

43. Ψαλμ. 53,9

44. Α' Πέτρου 5,8-9.

στόλων αὐτοῦ· καί τούς μέν ἀνθρώπους νά τούς ἀγαπᾶς καί νά συμπάσχεις μέ αὐτούς ὅταν πέφτουν σέ σφάλματα, ἐνῶ τούς πονηρούς δαίμονας νά τούς πολεμᾶς ἀδιάκοπα μέ τήν ἀγάπη. Ἐάν ὅμως εἴμαστε ἀποχαυνωμένοι καί ἀδιάφοροι καί ὀκνηροί, καί ἀνακατεύουμε τή σκέψη μας μέ τίς σαρκικές ἡδονές, πολεμᾶμε ὄχι τούς δαίμονες, ἀλλά τόν ἑαυτό μας καί τούς ἀδελφούς μας· τούς δαίμονες πολύ περισσότερο τούς ὑπηρετοῦμε μέ ὅλα αὐτά, πολεμώντας τούς ἀνθρώπους πρός χάρη αὐτῶν.

18 Καί ὁ Ἀδελφός εἶπε.

Ἔτσι εἶναι, πάτερ· καθόσον ἀπό τήν ἀμέλειά μου πάντοτε παίρνουν ἀφορμές οἱ δαίμονες ἐναντίον μου. Ἀλλά σέ παρακαλῶ, πάτερ, πές μου, πῶς πρέπει ν' ἀποκτήσω νήψη[42].

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἡ πλήρης ἀμεριμνία γιά τά γήϊνα πράγματα καί ἡ συνεχής μελέτη τῆς θείας Γραφῆς ὁδηγεῖ τήν ψυχή στό φόβο τοῦ Θεοῦ, καί ὁ φόβος τοῦ Θεοῦ ὁδηγεῖ στή νήψη, καί τότε ἡ ψυχή ἀρχίζει νά βλέπει τούς δαίμονες πού τήν πολεμοῦν μέ τούς λογισμούς καί ἀμύνεται, γιά τούς ὁποίους ὁ Δαυίδ ἔλεγε· «καί εἶδαν τά μάτια μου τό θρίαμβό μου ἐναντίον τῶν ἐχθρῶν μου»[43]. Πρός αὐτήν τήν πάλη διεγείροντας τούς μαθητές καί ὁ κορυφαῖος ἀπό τούς Ἀποστόλους, ἔλεγε· «δεῖξτε σωφροσύνη καί προσεκτική ἐπαγρύπνηση, διότι ὁ ἀντίπαλος καί κατήγορός σας διάβολος σάν λιοντάρι περπατεῖ καί βρυχιέται ζητώντας νά βρεῖ ποιόν νά καταπιεῖ· πρός αὐτόν ἀντισταθεῖτε, παραμένοντας σταθεροί στήν πίστη»[44]. Καί ὁ Κύριος λέγει· «μένετε ἐπάγρυπνοι καί προσεύχεσθε, γιά νά μή κυριευθεῖτε ἀπό τόν πειρασμό»[45]. Ὁ Ἐκκλησιαστής πάλι λέγει· «ἐάν πέσει ἐπάνω σου θυμός ἄρχοντα, μή ἀντισταθεῖς πρός αὐτόν μέ θυμό»[46]. Τόπος τοῦ νοῦ εἶναι ἡ ἀρετή, ἡ γνώση,

45. Ματθ.26,41 46. Ἐκκλ. 10,4.

*νοῦ ἐστιν ἡ ἀρετή, καὶ ἡ γνῶσις, καὶ ὁ φόβος τοῦ Θεοῦ. Ὁ δὲ θαυμαστὸς Ἀπόστολος σφόδρα νηφόντως καὶ γενναίως ἀγωνιζόμενος, ἔλεγεν· «ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν». Ἐὰν οὖν καὶ σὺ μιμήσῃ τοὺς ἁγίους, καὶ ἐμπόνως σχολάσῃς τῷ Θεῷ, ἔσῃ νηφόμενος.*

*19 Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Καὶ τί ὤφειλέ τις ποιεῖν, πάτερ, ἵνα ἀδιαλείπτως δυνηθῇ σχολάζειν τῷ Θεῷ;*

***Καὶ ἀπεκρίθη ὁ γέρων.***

***Ἀδύνατον τὸ νοῦν τελείως σχολάσαι τῷ Θεῷ, ἐὰν μὴ τὰς τρεῖς ταύτας κτήσηται ἀρετάς· τὴν ἀγάπην λέγω καὶ τὴν ἐγκράτειαν καὶ τὴν προσευχήν. Ἡ μὲν γὰρ ἀγάπη ἡμεροῖ τὸν θυμόν, ἡ δὲ ἐγκράτεια μαραίνει τὴν ἐπιθυμίαν, ἡ δὲ προσευχὴ χωρίζει τὸν νοῦν πάντων τῶν νοημάτων, καὶ αὐτῷ αὐτὸν παρίστησι γυμνὸν τῷ Θεῷ. Αὗται οὖν αἱ τρεῖς ἀρεταί, συμπεριληπτικαί εἰσι πασῶν τῶν ἀρετῶν, καὶ ἄνευ τούτων ὁ νοῦς οὐ δύναται σχολάζειν τῷ Θεῷ.***

***20 Καὶ ὁ Ἀδελφὸς εἶπε.***

***Παρακαλῶ σε, πάτερ, μαθεῖν, πῶς ἡ ἀγάπη ἡμεροῖ τὸν θυμόν.***

---

47. Β' Κορ. 10,3 - 6.

καί ὁ φόβος τοῦ Θεοῦ. Ὁ δέ θαυμαστός Ἀπόστολος ἀγωνιζόμενος μέ ὑπερβολική πνευματική ἐπαγρύπνηση καί γενναιότητα, ἔλεγε· «διότι, ἐνῶ περιβαλλόμαστε ἀπό σάρκα, δέ ἀγωνιζόμαστε μέ σαρκικά ὅπλα. Καθόσον ὅπλα, μέ τά ὁποῖα κάνομε τόν ἀγώνα μας, δέν εἶναι σαρκικά, ἀλλ' ἔχουν μεγάλη δύναμη κοντά στό Θεό γιά νά γκρεμίζουν τά ὀχυρώματα τοῦ ἐχθροῦ· μ' αὐτά ἀνατρέπομε σοφιστικούς συλλογισμούς, καί κάθε ὑψηλοφροσύνη πού ὑψώνεται σάν ἐμπόδιο παραμερίζοντας τή γνώση τοῦ Θεοῦ, καί αἰχμαλωτίζομε κάθε ἀνθρώπινη σκέψη, πείθοντας αὐτήν νά ὑπακούει στό Χριστό, ἀλλά καί εἴμαστε ἕτοιμοι νά ἐπιβάλομε δίκαια τιμωρία σέ κάθε παρακοή»[47]. Ἐάν λοιπόν καί σύ μιμηθεῖς τούς ἁγίους καί ἀσχοληθεῖς μέ πολλούς κόπους μέ τό Θεό, θ' ἀποκτήσεις τή νηφαλιότητα.

19 Καί ὁ Ἀδελφός εἶπε.

Καί τί θά ἔπρεπε, πάτερ, νά κάνει κάποιος, γιά νά μπορεῖ ν' ἀσχολεῖται ἀδιάκοπα μέ τό Θεό;

Καί ἀποκρίθηκε ὁ γέροντας.

Εἶναι ἀδύνατο ν' ἀφοσιωθεῖ μέ τό νοῦ του τελείως στό Θεό, ἐάν δέν ἀποκτήσει τίς τρεῖς αὐτές ἀρετές· ἐννοῶ τήν ἀγάπη, τήν ἐγκράτεια καί τήν προσευχή. Διότι ἡ ἀγάπη καταπραΰνει τό θυμό, ἡ ἐγκράτεια μαραίνει τήν ἐπιθυμία, καί ἡ προσευχή χωρίζει τό νοῦ ἀπό ὅλες τίς σκέψεις καί παρουσιάζει αὐτόν γυμνό μπροστά στό Θεό. Αὐτές λοιπόν οἱ τρεῖς συμπεριλαμβάνουν ὅλες τίς ἀρετές, καί χωρίς αὐτές ὁ νοῦς δέν μπορεῖ ν' ἀφοσιώνεται στό Θεό.

20 Καί ὁ Ἀδελφός εἶπε.

Σέ παρακαλῶ, πάτερ, νά μοῦ γνωρίσεις, πῶς ἡ ἀγάπη καταπραΰνει τό θυμό.

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Ἐπειδὴ ἔχει τὸ ἐλεεῖν καὶ τὸ εὐεργετεῖν τὸν πλησίον καὶ τὸ μακροθυμεῖν ἐπ' αὐτὸν καὶ τὸ ὑπομένειν τὰ ὑπ' αὐτοῦ ἐπαγόμενα, ὡς πολλάκις εἰρήκαμεν. Ταῦτα οὖν ἔχουσα ἡ ἀγάπη, ἡμεροῖ τὸν θυμὸν τοῦ κεκτημένου αὐτήν.*

*Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Οὐ μικρὰ τὰ ἔργα αὐτῆς, ἀλλὰ μακάριος ὁ δυνάμενος κτήσασθαι αὐτήν. Ἐγὼ δὲ ὄντως μακράν εἰμι ἀπ' αὐτῆς. Πλὴν παρακαλῶ σε, πάτερ, εἰπεῖν μοι, τί ἐστι τὸ μακροθυμεῖν.*

*21 Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Τὸ ἐγκρατεῖν τοῖς δεινοῖς καὶ τὸ ὑπομένειν πονηρά· καὶ τὸ ἀνεμένειν τὸ τέλος τοῦ πειρασμοῦ, καὶ τὸ μὴ ἐξάγειν θυμὸν ὡς ἔτυχε, μηδὲ λόγον λαλεῖν ἐν ἀφροσύνῃ, μηδὲ ὑπονοεῖν τι ἢ ἐννοεῖν τῶν μὴ πρεπόντων θεοσεβεῖ, καθὼς εἶπεν ἡ Γραφή· «ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, καὶ ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνη· ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ· καὶ χείλη πιστῶν, ἐκδιηγήσεται σύνεσιν αὐτοῦ».*

*22 Ταῦτα οὖν ἐστι τὰ γνωρίσματα τῆς μακροθυμίας· οὐ μόνον δέ, ἀλλὰ καὶ λογίσασθαι ἑαυτὸν εἶναι αἴτιον τοῦ πειρασμοῦ, τῆς μακροθυμίας ἐστὶν ἴδιον. Ἴσως δὲ καὶ οὕτως ἔχει· ἐπειδὴ τὰ πολλὰ τῶν συμβαινόντων ἡμῖν πρὸς παίδευσιν ἡμῶν ἐπισυμβαίνει, ἢ πρὸς παρελθόντων ἁμαρτιῶν ἀναίρεσιν, ἢ πρὸς ἐνεστώσης ἀμελείας διόρθωσιν, ἢ πρὸς μελλόντων ἁμαρτημάτων ἀνακοπήν. Ὁ οὖν λογιζόμενος, ὅτι δι' ἓν τούτων συν-*

---

48. Σοφ. Σειρ. 1,23-24.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἐπειδή ἡ ἀγάπη περιέχει τήν εὐσπλαχνία καί τήν εὐεργεσία πρός τόν πλησίον, τό νά μακροθυμεῖ πρός αὐτόν καί τό νά ὑπομένει τά προξενούμενα ἀπ' αὐτόν, ὅπως πολλές φορές ἔχουμε πεῖ. Ἔχοντας λοιπόν αὐτά ἡ ἀγάπη, καταπραΰνει τό θυμό ἐκείνου πού ἔχει αὐτήν.

Καί ὁ Ἀδελφός εἶπε.

Δέν εἶναι μικρά τά ἔργα αὐτῆς, καί μακάριος εἶναι ἐκεῖνος πού θά μπορέσει ν' ἀποκτήσει αὐτήν. Ἐγώ ὅμως πραγματικά βρίσκομαι μακριά ἀπ' αὐτήν. Πλήν σέ παρακαλῶ, πάτερ, πές μου τί σημαίνει τό νά μακροθυμεῖ κανείς.

21 Καί ἀποκρίθηκε ὁ γέροντας.

Τό νά δείχνει ὑπομονή στά δεινά, νά ὑπομένει τά κακά, νά περιμένει τό τέλος τοῦ πειρασμοῦ, νά μήν ἀφήνει τό θυμό του νά ἐκδηλωθεῖ στά καλά καθούμενα, νά μή ὁμιλεῖ κατά τρόπο ἀνόητο, οὔτε νά ὑπονοεῖ ἤ νά σκέφτεται κάτι ἀπό ἐκεῖνα πού δέν πρέπουν σέ θεοσεβῆ, καθώς εἶπε ἡ Γραφή· «ὁ μακρόθυμος γιά λίγο καιρό θά δείξει ὑπομονή, μετά θά δοθεῖ σ' αὐτόν σάν ἀμοιβή χαρά καί εὐφροσύνη· μέχρι ὡρισμένο καιρό θά κρατεῖ τά λόγια του, ἔπειτα ὅμως τά χείλη τῶν εὐσεβῶν θά διηγηθοῦν τή σύνεση αὐτοῦ»[48].

22 Αὐτά λοιπόν εἶναι τά γνωρίσματα τῆς μακροθυμίας. Ὄχι μόνο αὐτά, ἀλλά καί τό νά σκεφθεῖ ὅτι ὁ ἑαυτός του εἶναι αἴτιος τοῦ πειρασμοῦ, καί αὐτό εἶναι γνώρισμα τῆς μακροθυμίας. Ἴσως δέ καί ἔτσι νά ἔχει· ἐπειδή πολλά ἀπ' αὐτά πού μᾶς συμβαίνουν, συμβαίνουν ἤ γιά τή διαπαιδαγώγησή μας ἀπ' αὐτά, ἤ γιά τήν ἐξάλειψη ἁμαρτιῶν τοῦ παρελθόντος, ἤ γιά τή διόρθωση ὑπάρχουσας ἀδιαφορίας, ἤ καί γιά τήν ἐμπόδιση μελλοντικῶν ἁμαρτημάτων. Ἐκεῖνος λοιπόν πού σκέφτεται, ὅτι ὁ πειρασμός συνέβηκε γιά

*ἔβη ὁ πειρασμός, οὐκ ἀγανακτεῖ τυπτόμενος, μάλιστα καὶ συνειδὼς ἑαυτῷ ἁμαρτίας. Οὐδὲ αἰτιᾶται τόν, δι' οὗ ὁ πειρασμὸς (κἂν γὰρ δι' αὐτοῦ, κἂν δι' ἄλλου, πάντως πιεῖν εἶχε τῶν θείων κριμάτων τὸ ποτήριον), ἀλλ' εἰς τὸν Θεὸν ἀποβλέπει, καὶ εὐχαριστεῖ τῷ συγχωρήσαντι, καὶ ἑαυτὸν αἰτιᾶται, καὶ δέχεται τὴν παιδείαν προθύμως, ὥσπερ ὁ Δαβὶδ ἐπὶ τοῦ Σεμεΐ, καὶ ὥσπερ ὁ Ἰὼβ ἐπὶ τῆς γυναικός· ὁ δὲ ἄφρων, αἰτεῖ μὲν πολλάκις τὸν Θεὸν ἐλεηθῆναι, ἐρχόμενον δὲ τὸ ἔλεος, οὐ παραδέχεται, ἐπειδὴ οὐχ ὡς ἐκεῖνος ἤθελεν, ἦλθεν, ἀλλ' ὡς ἰατρὸς τῶν ψυχῶν συμφέρειν ἡγήσατο. Καὶ διὰ τοῦτο ὀλιγωρεῖ καὶ θορυβεῖται· καὶ ποτὲ μὲν τοῖς ἀνθρώποις θυμομαχεῖ, ποτὲ δὲ εἰς τὸν Θεὸν βλασφημεῖ· καὶ μέν τοι καὶ τὴν ἀγνωμοσύνην δεικνύει, καὶ παρὰ ῥάβδον οὐ λαμβάνει.*

*23 Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Καλῶς εἶπας, Πάτερ, ἀλλὰ παρακαλῶ εἰπεῖν μοι καὶ τοῦτο, πῶς ἡ ἐγκράτεια μαραίνει τὴν ἐπιθυμίαν.*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Ἐπειδὴ ἀπέχεσθαι ποιεῖ πάντων τῶν μὴ χρείαν ἐκπληρούντων, ἀλλ' ἡδονὴν ἐμποιούντων, καὶ οὐδενὸς μετέχειν ποιεῖ, πλὴν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων· οὐδὲ τὰ ἡδέα διώκειν, ἀλλὰ τὰ ὠφέλιμα· καὶ συμμετρεῖν δὲ τῇ χρείᾳ τὰ βρώματα καὶ τὰ πόματα· καὶ οὐκ ἐᾶν τῷ σώματι περιττὴν ὑγρότητα· καὶ μόνην συντηρεῖν τὴν ζωὴν τοῦ σώματος καὶ ἀνενόχλητον αὐτὸ φυλάττειν εἰς ὁρμὴν συνουσίας. Οὕτως οὖν ἡ ἐγκράτεια τὴν ἐπιθυμίαν μαραίνει. Ἡ δὲ ἡδονὴ καὶ πλησμονὴ τῶν*

---

49. Β' Βασιλ. 16,10.

50. Ἰὼβ 2,10.

ἕνα ἀπό αὐτά, δέν ἀγανακτεῖ δεχόμενος πλήγματα, μάλιστα δέ καί συναισθάνεται τήν ἁμαρτία του. Οὔτε κατηγορεῖ ἐκεῖνον ἀπό τόν ὁποῖο προέρχεται ὁ πειρασμός (διότι εἴτε μέ αὐτόν, εἴτε μέ ἄλλον, ὁπωσδήποτε ἔπρεπε νά πιεῖ τό ποτήρι τῶν θείων κριμάτων), ἀλλ' ἀποβλέπει στό Θεό, εὐχαριστεῖ ἐκεῖνον πού παραχώρησε τόν πειρασμό, κατηγορεῖ τόν ἑαυτό του, καί δέχεται μέ προθυμία τήν παιδαγωγική τιμωρία, ὅπως ἀκριβῶς ὁ Δαβίδ στήν περίπτωση τοῦ Σεμεΐ[49], καί ὅπως ἀκριβῶς ὁ Ἰώβ στήν περίπτωση τῆς γυναίκας του[50], ἐνῶ ὁ ἄφρονας, ζητᾶ βέβαια πολλές φορές τήν εὐσπλαχνία ἀπό τό Θεό, ὅταν ὅμως ἔρθει ἡ εὐσπλαχνία, δέν τήν ἀποδέχεται, ἐπειδή ἦρθε ὄχι ὅπως τήν ἤθελε ἐκεῖνος, ἀλλ' ὅπως ὁ γιατρός τῶν ψυχῶν ἔκρινε ὅτι συμφέρει. Καί γι' αὐτό δείχνει ἀδιαφορία καί κυριεύεται ἀπό ἀνησυχία· καί ἄλλοτε μέν πολεμεῖ μέ πεῖσμα τούς ἀνθρώπους, ἄλλοτε δέ βλασφημεῖ πρός τό Θεό· καί μέ τόν τρόπο λοιπόν αὐτό καί τήν ἀγνωμοσύνη του δείχνει, καί παρηγοριά δέν βρίσκει.

23 Καί ὁ Ἀδελφός εἶπε.

Πολύ σωστά τά εἶπες, πάτερ, ἀλλά σέ παρακαλῶ πές μου καί αὐτό, πῶς ἡ ἐγκράτεια μαραίνει τήν ἐπιθυμία.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἐπειδή κάνει τόν ἄνθρωπο ν' ἀπέχει ἀπό ὅλα ἐκεῖνα πού δέν ἐξυπηρετοῦν κάποια ἀνάγκη, ἀλλά προξενοῦν ἡδονή, τόν κάνει νά μή πλησιάζει τίποτε ἄλλο, ἐκτός ἀπό ἐκεῖνα πού εἶναι ἀναγκαῖα γιά τή ζωή, νά μή ἐπιδιώκει τά εὐχάριστα, ἀλλά τά ὠφέλιμα, νά χρησιμοποιεῖ μέ μέτρο τά φαγητά καί τά ποτά, νά μή ἀφήνει περιττά ὑγρά στό σῶμα, νά συντηρεῖ μόνο τή ζωή τοῦ σώματος, καί νά τό φυλάσσει ἀνενόχλητο ἀπό τήν ὁρμή τῆς σαρκικῆς μίξεως. Ἀντίθετα ἡ ἡδονή καί ἡ ὑπερβολική χρήση φαγητῶν καί ποτῶν, ὑπερθερμαίνει τήν κοιλιά, ἀνάβει τήν ὄρεξη γιά αἰ-

*βρωμάτων καὶ πομάτων ἐκθερμαίνει τὴν γαστέρα, καὶ ἀναφλέγει τὴν ὄρεξιν πρὸς αἰσχρὰν ἐπιθυμίαν, καὶ ὅλον συνωθεῖ τὸ ζῶον πρὸς τὴν μίξιν. Τότε ὀφθαλμοὶ ἀναιδεῖς, καὶ χεὶρ ἀχαλίνωτος, γλῶσσα λαλοῦσα θέλγητρα ἀκοῆς, καὶ οὖς ἀκοὴν ματαίαν παραδεχόμενον, νοῦς, τοῦ Θεοῦ καταφρονῶν, καὶ ψυχή, κατὰ διάνοιαν μοιχείαν ἐργαζομένη, καὶ τὸ σῶμα πρὸς τὴν ἄθεσμον πρᾶξιν ἐκκαλουμένη.*

*Καὶ ὁ Ἀδελφὸς ἔφη.*

*Ἐπ' ἀληθείας, πάτερ, οὕτως ἔχει· ἀλλὰ παρακαλῶ μαθεῖν καὶ περὶ τῆς προσευχῆς, πῶς χωρίζει τὸν νοῦν πάντων τῶν νοημάτων.*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Τὰ νοήματα τῶν πραγμάτων εἰσὶ νοήματα· τῶν δὲ πραγμάτων, τὰ μὲν εἰσὶν αἰσθητά, τὰ δὲ νοητά. Ἐν αὐτοῖς οὖν ὁ νοῦς διατρίβων, τὰ νοήματα αὐτῶν περιφέρει, ἡ δὲ χάρις τῆς προσευχῆς τῷ Θεῷ συνάπτει τὸν νοῦν· τῷ δὲ Θεῷ συνάπτουσα, χωρίζει πάντων τῶν νοημάτων. Τότε ὁ νοῦς γυμνὸς τῷ Θεῷ προσομιλῶν, θεοειδὴς γίνεται. Τοιοῦτος δὲ γινόμενος, τὰ πρέποντα παρ' αὐτοῦ αἰτεῖ καὶ τῆς δεήσεως αὐτοῦ οὐ διαμαρτάνει ποτέ. Διὰ τοῦτο οὖν ὁ Ἀπόστολος «ἀδιαλείπτως» κελεύει «προσεύχεσθαι», ἵνα, τὸν νοῦν τῷ Θεῷ συνεχῶς συνάπτοντες, κατὰ μικρὸν ἀπορρήξωμεν τῆς τῶν ὑλικῶν προσπαθείας.*

*Καὶ ὁ Ἀδελφὸς εἶπε.*

*Καὶ πῶς ὁ νοῦς δύναται ἀδιαλείπτως προσεύχεσθαι; καὶ γὰρ ψάλλοντες καὶ ἀναγινώσκοντες καὶ συντυγχάνοντες καὶ διακονοῦντες, εἰς πολλὰ αὐτὸν περισπῶμεν νοήματά τε καὶ θεωρήματα.*

σχρή ἐπιθυμία, καί σπρώχνει ὁλόκληρο τό ζῶο πρός τήν παράλογη σαρκική μίξη. Τότε οἱ ὀφθαλμοί εἶναι γεμάτοι ἀπό ἀναίδεια, τό χέρι εἶναι ἀχαλίνωτο, ἡ γλῶσσα λέγει λόγια γοητευτικά στ' αὐτιά, τό αὐτί δέχεται ἀκούσματα ἀνώφελα, ὁ νοῦς περιφρονεῖ τό Θεό, ἐνῶ ἡ ψυχή μέ τή σκέψη διαπράττει μοιχεία, προτρέποντας τό σῶμα νά διαπράξει τήν παράνομη πράξη.

24 Καί ὁ Ἀδελφός εἶπε.

Ἀλήθεια, πάτερ, ἔτσι ἔχει τό πράγμα· ὅμως σέ παρακαλῶ, νά μοῦ γνωρίσεις καί γιά τήν προσευχή, πῶς ἀπομονώνει τό νοῦ ἀπό ὅλες τίς σκέψεις.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Τά νοήματα εἶναι σκέψεις τῶν πραγμάτων, ἐνῶ ἀπό τά πράγματα ἄλλα εἶναι αἰσθητά, καί ἄλλα νοητά. Ὁ νοῦς λοιπόν μέ αὐτά ἀσχολεῖται, τίς σκέψεις αὐτῶν περιστρέφει μέσα του, ἐνῶ ἡ χάρη τῆς προσευχῆς συνδέει τό νοῦ μέ τό Θεό, καί ἑνώνοντας αὐτόν μέ τό Θεό, τόν ἀποχωρίζει ἀπό ὅλες τίς σκέψεις. Τότε ὁ νοῦς συνομιλώντας μέ τό Θεό, γυμνός ἀπ' ὅλες αὐτές, γίνεται ὅμοιος μέ τό Θεό. Ἀφοῦ δέ γίνει τέτοιος, ζητᾶ ἀπ' αὐτόν αὐτά πού πρέπει, καί ποτέ δέν ἀποτυγχάνει τό αἴτημα τῆς προσευχῆς του. Γι' αὐτό λοιπόν ὁ Ἀπόστολος προτρέπει νά «προσευχόμαστε ἀδιάκοπα»[51], ὥστε, συνάπτοντας συνέχεια τό νοῦ μέ τό Θεό, σιγά σιγά ν' ἀποσπασθοῦμε ἀπό τήν προσπάθεια γιά τά ὑλικά πράγματα.

25 Καί ὁ Ἀδελφός εἶπε.

Καί πῶς ὁ νοῦς μπορεῖ νά προσεύχεται ἀδιάκοπα; καθόσον ψάλλοντας, διαβάζοντας, συνομιλώντας καί προσφέροντας τήν ὑπηρεσία μας, ἀποσπᾶμε τό νοῦ σέ πολλές σκέψεις καί θεάματα.

---

51. Α' Θεσ. 5,17.

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Οὐδὲν τῶν ἀδυνάτων ἡ θεία Γραφὴ προστάσσει· ἐπεὶ καὶ αὐτὸς ὁ Ἀπόστολος καὶ ἔψαλλεν καὶ ἀνεγίνωσκε καὶ διηκόνει καὶ ἀδιαλείπτως προσηύχετο. Ἀδιάλειπτος γάρ ἐστι προσευχή, τὸ τὸν νοῦν ἔχειν ἐν εὐλαβείᾳ πολλῇ καὶ πόθῳ προσκείμενον τῷ Θεῷ, καὶ τῆς ἐλπίδος αὐτοῦ ἀεὶ ἀποκρέμασθαι, καὶ εἰς αὐτὸν θαρρεῖν ἐν πᾶσι, τοῖς τε ἔργοις καὶ τοῖς συμβαίνουσιν. Οὕτω διακείμενος ὁ Ἀπόστολος, ἔλεγε· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία;», καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα· «πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι». Καὶ πάλιν· «ἐν παντὶ θλιβόμενοι, καὶ οὐ στενοχωρούμενοι· ἀπορούμενοι, καὶ οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐ καταλιμπανόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν».*

26 *Οὕτως οὖν ὁ Ἀπόστολος διακείμενος, ἀδιαλείπτως προσηύχετο· ἐν πᾶσι γὰρ τοῖς ἔργοις, ὡς εἴρηται, καὶ τοῖς συμβαίνουσιν αὐτῷ, τῆς ἐλπίδος τοῦ Θεοῦ ἀπεκρέματο. Διὰ τοῦτο ταῖς θλίψεσιν ἀεὶ ἔχαιρον πάντες οἱ ἅγιοι, ἵνα εἰς ἕξιν ἔλθωσι τῆς θείας ἀγάπης. Καὶ διὰ τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· «ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ». Καὶ μετ' ὀλίγα· «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι». Ἀλλ' οὐαὶ ἡμῖν τοῖς ἀθλίοις, ὅτι κα-*

52. Ρωμ. 8,35.
53. Ρωμ. 8,38.
54. Β' Κορ. 4,8-11.
55. Β' Κορ. 12,9.
56. Β' Κορ. 12,9.

Καί ἀποκρίθηκε ὁ γέροντας.

Τίποτε ἀπό τά ἀδύνατα δέν προστάζει ἡ θεία Γραφή· καθόσον καί ὁ ἴδιος ὁ Ἀπόστολος καί ἔψαλλε καί διάβαζε καί πρόσφερνε τήν ὑπηρεσία του καί προσευχόταν ἀδιάκοπα. Διότι ἀδιάκοπη προσευχή εἶναι τό νά ἔχει κανείς τό νοῦ πολύ εὐβλαβή, νά εἶναι κυριευμένος ἀπό πόθο γιά τό Θεό, νά εἶναι ἡ ἐλπίδα του κρεμασμένη πάντοτε ἀπ' αὐτόν, καί σ' ὅλα νά ἔχει ἐμπιστοσύνη σ' αὐτόν, καί στά ἔργα του καί σ' ἐκεῖνα πού συμβαίνουν. Σ' αὐτήν τήν κατάσταση ζωῆς βρισκόμενος ὁ Παῦλος, ἔλεγε· «ποιός θά μᾶς χωρίσει ἀπό τήν ἀγάπη τοῦ Χριστοῦ; θλίψη ἤ στενοχώρια;»[52], καί τά ἑξῆς. Καί μετά ἀπό λίγο· «πιστεύω ἀπόλυτα ὅτι δέν θά μᾶς χωρίσει οὔτε ὁ θάνατος, οὔτε ἡ ζωή, οὔτε οἱ ἄγγελοι»[53]. Καί πάλι· «θλιβόμαστε ἀπό παντοῦ, ἀλλά δέν νικώμαστε ἀπό τή στενοχώρια· ἀντιμετωπίζομε μεγάλες δυσκολίες, ἀλλά δέν ἀπελπιζόμαστε· καταδιωκόμαστε ἀπό τούς ἐχθρούς, ἀλλά δέν ἐγκαταλειπόμαστε ἀπό τό Θεό· ἐξαντλοῦνται οἱ δυνάμεις μας ἀπό τίς συμφορές, ἀλλά δέν χανόμαστε. Πάντοτε φέρομε στό σῶμα μας τόν κίνδυνο νά πεθάνομε ὅπως καί ὁ Κύριος Ἰησοῦς, ὥστε μέσα ἀπό τήν θνητή σάρκα νά φανερωθεῖ ἡ ζωή τοῦ Ἰησοῦ»[54].

26 Ἔχοντας λοιπόν αὐτή τήν ψυχική διάθεση ὁ Ἀπόστολος, προσευχόταν ἀδιάκοπα· διότι, ὅπως ἔχει λεχθεῖ, σ' ὅλες τίς ἐνέργειές του καί στά ὅσα τοῦ συνέβαιναν, ἦταν κρεμασμένος ἀπό τήν ἐλπίδα στό Θεό. Γι' αὐτό στίς θλίψεις πάντοτε χαίρονταν ὅλοι ὁ ἅγιοι, γιά νά γίνουν κάτοχοι τῆς θείας ἀγάπης. Καί γι' αὐτό ἔλεγε ὁ Ἀπόστολος· «μέ μεγάλη λοιπόν εὐχαρίστηση θά καυχηθῶ γιά τίς ἀδυναμίες μου, γιά νά κατασκηνώσει σ' ἐμένα ἡ δύναμη τοῦ Χριστοῦ»[55]. Καί μετά ἀπό λίγο· «ὅταν βρίσκομαι σέ ἀδυναμία, τότε εἶμαι δυνατός»[56]. Ἀλλ' ἀλλοίμονο σ' ἐμᾶς τούς ἄθλιους, διότι ἐγκαταλείψαμε τήν ὁδό τῶν ἁγίων

*τελίπομεν τὴν ὁδὸν τῶν ἁγίων Πατέρων, καὶ διὰ τοῦτο ἔρημοί ἐσμεν παντὸς ἔργου πνευματικοῦ.*

7 *Καὶ ὁ ἀδελφὸς εἶπε.*

*Διὰ τί, πάτερ, οὐκ ἔχω κατάνυξιν;*

*Καὶ ἀπεκρίθη ὁ γέρων.*

*Ἐπειδὴ οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. Ἐπειδὴ πάντων τῶν κακῶν γεγόναμεν καταγώγιον, καὶ διὰ τοῦτο, ὡς ψιλοῦ νοήματος, κατεφρονήσαμεν τῆς φοβερᾶς τοῦ Θεοῦ κολάσεως. Ἐπεὶ τίς οὐ κατανύγεται, ἀκούων, τοῦ μὲν Μωϋσέως ἐκ προσώπου Θεοῦ περὶ τῶν ἁμαρτωλῶν λέγοντος, «ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου. Καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων. Συνάξω εἰς αὐτοὺς κακά, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς»; Καὶ πάλιν, «παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου· καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω»; Τοῦ δὲ Ἠσαΐου βοῶντος, «τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε»; Καὶ πάλιν, «ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων, τῶν παραβεβηκότων ἐν ἐμοί. Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί»; Τοῦ δὲ Ἱερεμίου λέγοντος, «δότε τῷ Κυρίῳ Θεῷ ὑμῶν δόξαν πρὸ*

---

57. Κατάνυξις· βαθειά συγκίνηση, συντριβή καρδιᾶς, βαθιά συναισθήματα εὐλάβειας.

58. Δευτ. 32,22-23.

59. Δευτ. 32,41.

60. Ἡσ. 33,14.

Πατέρων, καί γι' αὐτό εἴμαστε γυμνοί ἀπό κάθε πνευματικό ἔργο.

27 Καί ὁ Ἀδελφός εἶπε.

Γιατί, πάτερ, δέν ἔχω κατάνυξη[57];

Καί ἀποκρίθηκε ὁ γέροντας.

Ἐπειδή δέν ὑπάρχει φόβος Θεοῦ ἀπέναντι στά μάτια μας. Ἐπειδή γίναμε τόπος συγκεντρώσεως ὅλων τῶν κακῶν, καί γι' αὐτό σάν κάποια ἁπλή ἔννοια περιφρονήσαμε τή φοβερή κόλαση τοῦ Θεοῦ. Διότι ποιός δέν αἰσθάνεται κατάνυξη ἀκούοντας, τόν μέν Μωϋσῆ σάν ἐκπρόσωπο τοῦ Θεοῦ νά λέγει γιά τούς ἁμαρτωλούς, «διότι ὁ θυμός του ἄναψε σάν τή φωτιά, θά φθάσει δέ μέχρι κάτω στόν ἅδη, θά καταφάγει τή γῆ καί τά προϊόντα αὐτῆς, καί θά κατακάψει τά θεμέλια τῶν ὀρέων. Θά ἐπισωρεύσω ἐναντίον τους κακά καί τά βέλη μου θά τά στρέψω πρός αὐτούς»[58]; καί πάλι, «θά κάνω κοφτερό τό μαχαίρι μου σάν τήν ἀστραπή, καί τό χέρι μου θά ἐπιφέρει τή δίκαια τιμωρία· θά τιμωρήσω τούς ἐχθρούς μου καί θ' ἀποδώσω σ' ἐκείνους πού μέ μισοῦν ὅ,τι τούς ἀξίζει»[59]; τόν Ἠσαΐα πάλι νά βροντοφωνάζει, «ποιός θά ἀναγγείλει σέ σᾶς ὅτι ἡ φωτιά τῆς θείας ὀργῆς αὐξάνει τή δραστικότητά της; ποιός θά σᾶς ἀναγγείλει τόν αἰώνιο τόπο τῆς τιμωρίας[60]; Βάδιζε μέ τό ἀντιφέγγισμα τῆς φωτιᾶς πού σεῖς ἀνάψατε καί μέ τή φλόγα πού τή δυναμώσατε ἀκόμα περισσότερο»[61]»; καί πάλι, «θά ἔρχονται καί θά βλέπουν τά πτώματα καί τά ὀστᾶ τῶν ἀνθρώπων ἐκείνων πού παρέβηκαν τό νόμο μου. Τό σκουλήκι πού θά κατατρώγει αὐτούς δέ θά ψοφήσει, καί ἡ φωτιά πού θά τούς κατακαίει δέν θά σβήσει, ἀλλά θ' ἀποτελεῖ θέαμα φοβερό σ' ὅλους τούς ἀνθρώπους»[62]; καί τόν Ἰερεμία νά λέγει, «δοξάστε τό Κύριο τό Θεό σας

61. Ἠ. 50,11. 62. Ἠσ. 66,24.

*τοῦ σκοτάσαι καὶ πρὸ τοῦ προσκόψαι τοὺς πόδας ὑμῶν ἐπ' ὄρη σκοτεινά»; Καὶ πάλιν, «ἀκούσατε λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν, ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσιν. Ἐμὲ οὐ φοβηθήσεσθε, λέγει Κύριος; ἢ ἀπὸ τοῦ προσώπου μου οὐκ εὐλαβηθήσεσθε; τὸν ποιήσαντα ὅριον ψάμμον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον καὶ οὐχ ὑπερβήσεται»; Καὶ πάλιν, «παιδεύσει σε ἡ ἀποστασία σου καὶ ἡ κακία σου ἐλέγξει σε. Καὶ γνῶθι καὶ ἴδε, ὅτι πικρόν σοί ἐστι τὸ καταλιπεῖν σε ἐμέ, λέγει Κύριος. Ἐγὼ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία»; Καὶ πάλιν· «οὐκ ἐκάθισα μετὰ συνεδρίου παιζόντων, ἀλλ' ηὐλαβούμην ἀπὸ προσώπου χειρός σου. Καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην»;*

*Τίς δὲ οὐ φρίσσει τοῦ Ἰεζεκιὴλ ἀκούων, λέγοντος, «ἐκχεῶ τὴν ὀργήν μου ἐπὶ σέ, καὶ συντελέσω τὸν θυμόν μου ἐπὶ σοί· καὶ κρινῶ σε ἐν ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· καὶ οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδ' οὐ μὴ ἐλεήσω· καὶ τότε ἐπιγνώσῃ ὅτι ἐγὼ Κύριος»; Τίς δὲ τοῦ Δανιὴλ ἀκούων οὐ κατανύγεται, διαγράφοντος διαρρήδην τὴν ἡμέραν τῆς φοβερᾶς κρίσεως, ἐν οἷς φησιν, «ἐγὼ Δανιὴλ ἐθεώρουν, ἕως οὗ θρόνοι ἐτέθησαν καὶ Παλαιὸς ἡμερῶν ἐκάθησεν. Τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡς ἔριον καθαρόν. Καὶ ὁ θρόνος αὐτοῦ φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. Ποταμὸς πυρὸς*

---

63. Ἱερ. 13,16.
64. Ἱερ. 5,21-22.
65. Ἱερ. 2,19·21.
66. Ἱερ. 15,17.
67. Ἰεζ. 5,5·9.

προτοῦ νά σκοτεινιάσει καί προτοῦ νά σκοντάψουν τά πόδια σας στά ὄρη τά σκοτεινά»[63]; καί πάλι, «ἀκοῦστε λοιπόν αὐτά, λαός μωρός καί ἄκαρδος, ἔχουν μάτια καί δέν βλέπουν, ἔχουν αὐτιά καί δέν ἀκοῦν. Ἐμένα δέν θά μέ φοβηθεῖτε; λέγει ὁ Κύριος, ἤ μπροστά μου δέν θά αἰσθανθεῖτε ἱερό φόβο; μπροστά σ' ἐμένα πού ὅρισα καί ἔθεσα φραγμό καί ὅριο τῆς θάλασσας τήν ἄμμο καί ἔδωσα πρόσταγμα αἰώνιο, ὥστε νά μή τό ὑπερβεῖ αὐτή;»[64]· καί πάλι, «ἡ ἀποστασία σου ἀπό μένα θά σέ τιμωρήσει καί ἡ κακία σου θά σέ ἐλέγξει. Καί μάθε καλά καί πρόσεξε, ὅτι εἶναι μεγάλο κακό γιά σένα νά ἐγκαταλείψεις ἐμένα, λέγει ὁ Κύριος ὁ Θεός σου. Ἐγῶ σέ φύτεψα σάν ἀμπέλι πραγματικό καί καρποφόρο· πῶς τώρα ἄλλαξες καί ἔγινες γεμάτη κακία πρός ἐμένα καί ἐχθρική;»[65]· καί πάλι, «δέν παρακάθησα στίς συγκεντρώσεις αὐτῶν, ὅταν αὐτοί διασκέδαζαν, ἀλλά σέ σεβόμουν καί φοβόμουν τό τιμωρό σου χέρι. Μόνος μου καθόμουν, διότι ἤμουν πολύ λυπημένος»[66];

Ποιός δέν φρίττει ἀκούοντας τόν Ἰεζεκιήλ νά λέγει, «θ' ἀφήσω τήν ὀργή μου νά ἐκσπάσει ἐναντίον σου καί θά χρησιμοποιήσω τό θυμό μου ἐναντίον σου· θά σέ κρίνω καί θά σέ δικάσω σύμφωνα μέ τούς τρόπους ζωῆς σου, καί θά σοῦ ἐπιβάλω τιμωρίες γιά ὅλα τά βδελυρά ἔργα σου· δέν θά σᾶς λυπηθεῖ τό μάτι μου, οὔτε θά σᾶς εὐσπλαχνισθῶ, καί ἀπό τά ἴδια τά πράγματα θά μάθεις, ὅτι ἐγώ εἶμαι ὁ Κύριος σου»[67]; Ποιὸς πάλι ἀκούοντας τόν Δανιήλ δέν κυριεύεται ἀπό κατάνυξη, περιγράφοντας ὁλοκάθαρα τήν ἡμέρα τῆς φοβερῆς κρίσεως, μ' αὐτά πού λέγει, «ἐγώ ὁ Δανιήλ παρατηροῦσα μέ προσοχή καί ἔβλεπα μέχρι πού τοποθετήθηκαν θρόνοι καί κάθησε ὁ Παλαιός τῶν ἡμερῶν. Τό ἔνδυμά του ἦταν λευκό σάν χιόνι, καί οἱ τρίχες τῆς κεφαλῆς του ἦταν λευκές σάν τό καθαρό ὁλόλευκο μαλλί. Ὁ θρόνος του ἦταν φλόγα πύρινη καί οἱ τροχοί τοῦ θρόνου του ἦταν ἀπό φωτιά πού ἔκαιε. Πύρινο

*εἷλκεν, ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν», τὰ πεπραγμένα ἑκάστου δῆλον ὅτι. Καὶ πάλιν· «ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ Παλαιοῦ ἡμερῶν ἔφθασεν· καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία. Καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι· καὶ ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος· καὶ ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος. Ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιήλ, ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με».*

*28 Τίς δὲ τοῦ Δαβὶδ ἀκούων οὐ φοβεῖται, λέγοντος, «ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»; Καὶ πάλιν τοῦ Ἐκκλησιαστοῦ λέγοντος, «τέλος λόγου, τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος· ὅτι σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς ἐν κρίσει ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθόν, καὶ ἐὰν πονηρόν»;*

*29 Τίς δὲ τὰ ὅμοια ἀκούων τοῦ Ἀποστόλου λέγοντος, οὐ τρέμει, «δεῖ γὰρ πάντας ἡμᾶς παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος ἡμῶν τὰ διὰ τοῦ σώματος, εἴτε ἀγαθόν, εἴτε κακόν»; Τίς οὖν οὐ θρηνήσει τὴν ἀπιστίαν ἡμῶν,*

---

68. Δαν. 7,9-10.
69. Δαν. 7,13 - 15.
70. Ψαλμ. 61,12-13.
71. Ἐκκλ. 12,13 - 14.

ποτάμι ἔτρεχε μπροστά του. Χίλιες χιλιάδες ἀγγέλων τόν ὑπηρετοῦσαν καί μύριες μυριάδες ἀγγέλων στέκονταν πλησίον του. Δικαστήριο στήθηκε καί τά βιβλία ἀνοίχθηκαν»[68]; Εἶναι ὁλοφάνερο ὅτι ἀνοίχθηκαν οἱ πράξεις τοῦ καθένα. Καί πάλι· «ἔβλεπα μέ προσοχή μέσα στό ὅραμα τῆς νύχτας, καί νά, εἶδα κάποιον πού ἐρχόταν μαζί μέ τά σύννεφα, σάν υἱός τοῦ ἀνθρώπου, πού ἔφθασε μέχρι τόν Παλαιό τῶν ἡμερῶν καί ὁδηγήθηκε μπροστά σ' αὐτόν. Σ' αὐτόν δόθηκε ἡ ἐξουσία, ἡ τιμή καί ἡ βασιλεία. Καί ὅλοι οἱ λαοί, οἱ φυλές, καί οἱ γλῶσσες θά ὑπηρετήσουν αὐτόν. Ἡ ἐξουσία του θά εἶναι ἐξουσία αἰώνια καί ἡ βασιλεία του θά εἶναι βασιλεία αἰώνια. Ἔφριξε μέσα μου τό πνεῦμα μου, σᾶς τό βεβαιώνω ἐγώ ὁ Δανιήλ, καί τά ὁράματα αὐτά τῆς κεφαλῆς μου μέ συντάραξαν»[69].

28 Ποιός ἐπίσης ἀκούοντας τόν Δαβίδ δέν φοβᾶται, λέγοντας, «μιά γιά πάντα μίλησε ὁ Θεός καί ἐγώ ἄκουσα τίς δύο αὐτές ἀλήθειες, ὅτι ἡ δύναμη ἡ ἰσχυρή εἶναι τοῦ Θεοῦ, καί ὅτι ἀπό σένα πηγάζει τό ἔλεος, διότι σύ θ' ἀποδώσεις στόν καθένα σύμφωνα μέ τά ἔργα του»[70]; Καί πάλι τόν Ἐκκλησιαστή πού λέγει, «τό τελικό συμπέρασμα τῆς διδασκαλίας τοῦ βιβλίου αὐτοῦ ἄκου ποιό εἶναι· Νά φοβᾶσαι τό Θεό καί νά τηρεῖς τίς ἐντολές του, καθόσον οἱ δύο αὐτές ἐντολές ἀποτελοῦν ὅλο τό σκοπό καί τόν προορισμό τοῦ ἀνθρώπου. Διότι ὁ Θεός ὅλες τίς πράξεις θά τίς ὁδηγήσει στήν παγκόσμια κρίση καί θά φανερώσει κάθε ἀπόκρυφη πράξη εἴτε αὐτή εἶναι καλή εἴτε κακή»[71];

29 Ποιός πάλι ἀκούοντας τά παρόμοια πού λέγει ὁ Ἀπόστολος, «πρέπει ὅλοι μας νά φανερωθοῦμε μπροστά στό βῆμα τοῦ Χριστοῦ, γιά νά λάβει ὁ καθένας ὅ,τι τοῦ ταιριάζει γιά τά ὅσα ἔκανε μέ τό σῶμα του, εἴτε καλό, εἴτε κακό»[72] δέν τρέμει; Ποιός λοιπόν δέν θά θρηνήσει τήν

72. Β' Κορ. 5,10. Ρωμ. 14,10.

*καὶ τὴν τύφλωσιν τῆς ψυχῆς ἡμῶν, ὅτι τούτων πάντων ἀκούοντες, οὐ μετανοοῦμεν καὶ πικρῶς κλαίομεν ἐπὶ τῇ τοσαύτῃ ἡμῶν ἀμελείᾳ καὶ ῥᾳθυμίᾳ, ἣν προθεωρῶν Ἱερεμίας, ἔλεγεν, «ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς»; Εἰ γὰρ εἴχομεν φροντίδα περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, ἐτρέμομεν ἂν τὸν λόγον τοῦ Κυρίου καὶ ἐσπεύδομεν κατορθῶσαι τὰς ἐντολὰς αὐτοῦ, δι' ὧν καὶ ἐσωζόμεθα. Ἀλλ' ἡμεῖς ἀκούοντες τοῦ Κυρίου, λέγοντος, «εἰσέλθετε διὰ τῆς στενῆς πύλης, τῆς εἰσαγούσης εἰς τὴν ζωήν», προετιμήσαμεν τὴν πλατεῖαν καὶ εὐρύχωρον, τὴν ἀπάγουσαν εἰς τὴν ἀπώλειαν. Διὰ τοῦτο ἀκούομεν, ὅταν ἐκ τῶν οὐρανῶν παραγίνηται κρῖναι ζῶντας καὶ νεκρούς· «ὑπάγετε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ».*

0 *Καὶ ταῦτα ἀκούομεν, οὐχ ὡς κακῶς πράξαντες, ἀλλ' ὡς τῶν καλῶν ἀμελήσαντες καὶ τὸν πλησίον μὴ ἀγαπήσαντες. Εἰ δὲ καὶ κακὰ ἐπράξαμεν, πῶς ὑποίσομεν τὴν ἡμέραν ἐκείνην, οὕτως ἀμελῶς διακείμενοι; Πλὴν τό, «οὐ μοιχεύσεις», «οὐ κλέψεις», «οὐ φονεύσεις», καὶ τὰ ἑξῆς, τοῖς ἀρχαίοις ἐρρέθη διὰ Μωϋσέως, ὁ δὲ Κύριος, εἰδὼς ὅτι οὐκ ἀρκεῖ τῷ Χριστιανῷ ἡ τούτων μόνον τήρησις πρὸς τελείωσιν, ἔλεγεν· «ἀμὴν λέγω ὑμῖν, ὅτι, Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Διὰ τοῦτο ἄνω καὶ κάτω τὸν τῆς ψυχῆς ἁγιασμόν, δι' ἣν καὶ τὸ σῶμα ἁγιάζεται, καὶ*

---

73. Ἱερ. 31,10.
74. Ματθ. 7,13-14.
75. Ματθ. 25,41.

ἀπιστία μας καί τήν τύφλωση τῆς ψυχῆς μας, διότι, μονολότι ἀκοῦμε ὅλα αὐτά, δέν μετανοοῦμε καί δέν χύνουμε πικρά δάκρυα γιά τήν τόση μεγάλη ἀδιαφορία καί ὀκνηρία μας, γιά τήν ὁποία, προβλέποντάς την ὁ Ἱερεμίας, ἔλεγε, «ἐπικατάρατος εἶναι ἐκεῖνος πού ἐκτελεῖ τά ἔργα τοῦ Κυρίου μέ ἀδιαφορία»[73]; Διότι, ἐάν δείχναμε φροντίδα γιά τή σωτηρία τῆς ψυχῆς μας, θά νιώθαμε τρόμο γιά τό λόγο τοῦ Κυρίου καί θά καταβάλλαμε προσπάθεια νά κατορθώσουμε τίς ἐντολές αὐτοῦ, μέ τίς ὁποῖες καί θά σωζόμασταν. Ἐμεῖς ὅμως, ἀκούοντας τόν Κύριο νά λέγει, «νά μπαίνετε ἀπό τή στενή πύλη πού ὁδηγεῖ στή ζωή»[74], προτιμήσατε τήν πλατειά καί εὐρύχωρη, πού ὁδηγεῖ στήν καταστροφή. Γι' αὐτό θ' ακούσουμε ὅταν θάρθει ἀπό τούς οὐρανούς γιά νά κρίνει ζωντανούς καί νεκρούς· «φύγετε ἀπό μένα, σεῖς στή φωτιά τήν αἰώνια, πού ἔχει ἑτοιμασθεῖ γιά τό διάβολο καί τούς ἀγγέλους αὐτου»[75].

30 Καί αὐτά θά τά ἀκούσουμε ὄχι γιά τό ἄν κάναμε κακές πράξεις, ἀλλά γιά τό ἄν δείξαμε ἀμέλεια γιά τά καλά καί δέν ἀγαπήσαμε τόν συνάνθρωπό μας. Ἐάν ὅμως πράξαμε καί κακά πῶς θά ὑποφέρουμε τήν ἡμέρα ἐκείνη, τή στιγμή πού δείξαμε τόση ἀδιαφορία; Ἀλλ' ὅμως τό, «μή μοιχεύσεις, μή κλέψεις, μή φονεύσεις»[76] καί τά ἑξῆς, λέχθηκαν στούς ἀρχαίους μέ τό Μωυσῆ, ὁ Κύριος ὅμως, γνωρίζοντας ὅτι δέν ἐπαρκεῖ γιά τό Χριστιανό γιά νά γίνει τέλειος ἡ τήρηση μόνο αὐτῶν τῶν ἐντολῶν, ἔλεγε· «ἀλήθεια σᾶς λέγω, ὅτι, ἐάν δέν γίνει πολύ πιό περισσότερη ἡ ἀρετή σας ἀπό τήν ἀρετή τῶν Γραμματέων καί Φαρισαίων, δέν θά μπεῖτε στή βασιλεία τῶν οὐρανῶν»[77]. Γι' αὐτό παντοῦ καί μέ κάθε τρόπο νομοθέτησε τόν ἁγιασμό τῆς ψυχῆς, μέ τήν ὁποία καί τό σῶμα ἁγιάζεται, καί τήν

---

76. Ματθ. 5,27 ·21.

77. Δευτ. 32,15.

*τὴν πρὸς πάντας ἀνθρώπους εἰλικρινῆ ἀγάπην ἐνομοθέτησε, δι᾿ ὧν καὶ τὴν εἰς αὐτὸν ἀγάπην κτήσασθαι δυνάμεθα, καὶ ἑαυτὸν τύπον μέχρι θανάτου, καὶ τοὺς αὐτοῦ μαθητὰς ἡμῖν παρέσχεν, ὡς πολλάκις εἴρηται.*

31 *Ποίαν οὖν ἀπολογίαν ἕξομεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τοιοῦτον ὑπόδειγμα ἔχοντες, καὶ οὕτως ἀμελοῦντες; Ἡμᾶς θρηνῶν Ἱερεμίας τοὺς τοσαύτης χάριτος ἀξιωθέντας καὶ οὕτως ἀμελῶς διακειμένους, μᾶλλον δὲ πάσης κακίας πεπληρωμένους, ἔλεγε· «τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτός;». Περὶ ἡμᾶς ἐγὼ ἀκούω καὶ τοῦ Μωϋσέως λέγοντος· «καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ». Καὶ τοῦ Μιχαίου θρηνοῦντος καὶ λέγοντος· «οἴμοι ψυχή! ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀθρώποις οὐχ ὑπάρχει. Ἕκαστος τὸν πλησίον αὐτοῦ θλίβουσιν ἐκθλιβῇ· ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσι». Καὶ τοῦ Ψαλμῳδοῦ ὁμοίως περὶ ἡμῶν λέγοντος· «σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος· ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων», καὶ τὰ λοιπά.*

32 *Προφητικῶς καὶ ὁ Ἀπόστολος θρηνῶν ἡμᾶς, ἔλεγεν· «οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πι-*

78. Ἱερ. 9,1.
79. Δευτ. 32,15.
80. Μιχ. 7,2

εἰλικρινή ἀγάπη πρός ὅλους τούς ἀνθρώπους, μέ τά ὁποῖα μποροῦμε ν' ἀποκτήσουμε καί τήν ἀγάπη πρός αὐτόν, καί μᾶς ἔδωσε σάν ὑπόδειγμα μέχρι θανάτου τόν ἑαυτό του καί τούς μαθητές του, ὅπως πολλές φορές ἔχει λεχθεῖ.

31 Ποιά λοιπόν ἀπολογία θά ἔχουμε κατά τήν ἡμέρα ἐκείνη, πού, ἐνῶ ἔχουμε τέτοιο ὑπόδειγμα, δείχνουμε τόση ἀδιαφορία; Ἐμᾶς θρηνώντας ὁ Ἰερεμίας, πού ἐνῶ ἀξιωθήκαμε νά λάβουμε τόση μεγάλη χάρη, ἐν τούτοις συμπεριφερόμαστε μέ τόση πολλή ἀδιαφορία, ἤ καλύτερα, εἴμαστε γεμάτοι ἀπό κάθε κακία, ἔλεγε· «ποιός θά δώσει στό κεφάλι μου νερό καί πηγή δακρύων στά μάτια μου γιά νά κλάψω τό λαό αὐτό μέρα καί νύχτα;»[78]. Γιά μᾶς ἐγώ ἀκούω καί τόν Μωυσῆ νά λέγει· «καί ἔφαγαν οἱ ἀπόγονοι τοῦ Ἰακώβ καί χόρτασαν, καί ὅμως ὁ λαός αὐτός κλώτσησε τό Θεό. Λιπάνθηκε, πάχυνε καί αὐξήθηκε σέ μεγάλο λαό, ἀλλ' ὅμως ἐγκατέλειψε τό Θεό πού ἔπλασε αὐτόν, καί ἀπομακρύνθηκε ἀπό τό Θεό τόν Σωτήρα αὐτοῦ»[79]. Καί τόν Μιχαία πού θρηνεῖ καί λέγει· «ἀλλοίμονο, ψυχή μου! διότι χάθηκε ὁ εὐλαβής ἀπό τή γῆ καί δέν ὑπάρχει μεταξύ τῶν ἀνθρώπων κάποιος πού ν' ἀσκεῖ τήν ἀρετή. Ὁ καθένας τόν πλησίον του βυθίζει μέσα στίς θλίψεις, καί ἑτοιμάζουν τά χέρια τους νά κάνουν τό κακό»[80]. Καί τόν ψαλμωδό ὅμοια πού λέγει γιά μᾶς· «σῶσε με, Κύριε, διότι δέν ὑπάρχει ἄνθρωπος εὐλαβής· διότι λιγόστεψαν οἱ ἀλήθειες ἀπό τούς υἱούς τῶν ἀνθρώπων»[81], καί τά λοιπά.

32 Προφητεύοντας καί ὁ Ἀπόστολος θρηνοῦσε γιά μᾶς καί ἔλεγε· «δέν ὑπάρχει κανένας πού νά κάμνει τό καλό, δέν ὑπάρχει οὔτε ἕνας. Μέ τάφο ἀνοιχτό μοιάζει ὁ λάρυγγας αὐτῶν, ἐνῶ μέ τίς γλῶσσες τους πλέκουν δολιότητες. Δηλητήριο ἀσπίδων ὑπάρχει κάτω ἀπό τά χείλη τους, καί

81. Ψαλμ. 11,2.

*κρίας γέμει. Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν». Διὰ τοῦτο πάλιν προβλέπων τὰ μέλλοντα, περὶ τῆς νῦν ἡμῶν πονηρᾶς διαγωγῆς πρὸς τὸν Τιμόθεον γράφει· «τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς», καὶ τὰ ἑξῆς. Διὰ τοῦτο οὐαὶ ἡμῖν, ὅτι εἰς τὰ ἔσχατα τῶν κακῶν κατηντήσαμεν.*

*Τίς γὰρ ἐξ ἡμῶν, εἰπέ μοι, τῶν προειρημένων κακῶν ἐστιν ἀμέτοχος; Οὐχὶ ἐπὶ ἡμῶν ἐπληρώθη ἡ προφητεία; οὐ πάντες ἐσμὲν γαστρίμαργοι; οὐ πάντες φιλήδονοι; οὐ πάντες ὑλομανεῖς καὶ φιλόϋλοι; οὐ πάντες θυμώδεις; οὐ πάντες μηνιασταί; οὐ πάντες μνησίκακοι; οὐ πάντες προδόται πάσης ἀρετῆς; οὐ πάντες λοίδοροι; οὐ πάντες φιλοσκῶπται; οὐ πάντες προπετεῖς; οὐ πάντες μισάδελφοι; οὐ πάντες τετυφωμένοι; οὐ πάντες ἀλαζόνες; οὐ πάντες ὑπερήφανοι; οὐ πάντες κενόδοξοι; οὐ πάντες ὑποκριταί; οὐ πάντες δόλιοι; οὐ πάντες φθονεροί; οὐ πάντες ἀνυπότακτοι; οὐ πάντες ἀκηδιασταί; οὐ πάντες περιάκται; οὐ πάντες ῥᾴθυμοι; οὐ πάντες ἀμελεῖς τῶν τοῦ Σωτῆρος ἐντολῶν; οὐ πάντες πάσης κακίας ἀνάμεστοι; οὐχὶ γεγόναμεν ἀντὶ ναοῦ Θεοῦ, ναὸς εἰδώλων; οὐχὶ ἀντὶ Πνεύματος ἁγίου, πνευμάτων πονηρῶν ἐσμεν καταγώγια; οὐχὶ πεπλασμένως τὸν Θεὸν Πατέρα ἐπικαλούμεθα; οὐχὶ ἀντὶ υἱῶν*

---

82. Ψαλμ. 13,3 καὶ Ρωμ. 3,12-18.

83. Β' Τιμ. 3,1 - 4.

τό στόμα τους εἶναι γεμάτο ἀπό κατάρα καί κακία. Συντρίμμια καί δυστυχία ὑπάρχει στό δρόμο αὐτῶν καί δέν γνώρισαν τό δρόμο τῆς εἰρήνης· δέν ὑπάρχει φόβος Θεοῦ μπροστά στά μάτια αὐτῶν»[82]. Γι' αὐτό πάλι, προβλέποντας τά μελλοντικά, γιά τή δική μας δηλαδή τή σημερινή κακή διαγωγή, γράφει πρός τόν Τιμόθεο· «αὐτό γνώριζε, ὅτι δηλαδή κατά τίς τελευταῖες ἡμέρες θά ἔρθουν καιροί δύσκολοι· διότι οἱ ἄνθρωποι θά γίνουν ἐγωϊστές, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, ἀνυπάκουοι πρός τούς γονεῖς, ἀχάριστοι, ἀσεβεῖς, ἄστοργοι, ἀσυμβίβαστοι, διάβολοι, ἄσωτοι, ἄγριοι, ἐχθροί τοῦ καλοῦ, προδότες, αὐθάδεις»[83], καί τά στή συνέχεια λεγόμενα. Γι' αὐτό ἀλλοίμονό μας, διότι καταντήσαμε στά πιό χειρότερα ἀπό τά κακά.

Ποιός πράγματι ἀπό μᾶς, πές μου, εἶναι ἀμέτοχος ἀπό τά κακά πού προαναφέρθηκαν; δέν βρῆκε σ' ἐμᾶς ἐκπλήρωση ἡ προφητεία; Δέν εἴμαστε ὅλοι λαίμαργοι; δέν εἴμαστε ὅλοι φιλήδονοι; δέν εἴμαστε ὅλοι τρελλοί γιά τήν ὕλη καί φιλόϋλοι; δέν εἴμαστε ὅλοι ὀργίλοι; δέν εἴμαστε ὅλοι γεμάτοι ἀπό μανία; δέν εἴμαστε ὅλοι μνησίκακοι, δέν εἴμαστε ὅλοι προδότες κάθε ἀρετῆς; δέν εἴμαστε ὅλοι κακόλογοι; δέν εἴμαστε ὅλοι χλευαστές; δέν εἴμαστε ὅλοι αὐθάδεις; δέν εἴμαστε ὅλοι μισάδελφοι; δέν εἴμαστε ὅλοι φαντασμένοι; δέν εἴμαστε ὅλοι ματαιόδοξοι; δέν εἴμαστε ὅλοι ὑποκριτές; δέν εἴμαστε ὅλοι γεμάτοι ἀπό δολιότητα; δέν εἴμαστε ὅλοι φθονεροί; δέν εἴμαστε ὅλοι ἀνυπάκουοι; δέν εἴμαστε ὅλοι ὀκνηροί; δέν εἴμαστε ὅλοι ἀμελεῖς πρός τίς ἐντολές τοῦ Σωτήρα; δέν εἴμαστε γεμάτοι ἀπό κάθε κακία; δέν ἔχουμε γίνει ἀντί γιά ναός τοῦ Θεοῦ, ναός τῶν εἰδώλων; δέν εἴμαστε ἀντί γιά τόπος κατασκηνώσεως τοῦ ἁγίου Πνεύματος, τόπος συγκεντρώσεως τῶν πονηρῶν πνευμάτων; δέν ἐπικαλούμαστε τόν Πατέρα Θεό ἐντελῶς μηχανικά; δέν ἔχουμε γίνει ἀντί γιά τέκνα τοῦ Θεοῦ, τέ-

*Θεοῦ υἱοὶ γεέννης γεγόναμεν; οὐχὶ χείρονες τῶν Ἰουδαίων, οἱ νῦν τὸ μέγα Χριστοῦ ὄνομα περιφερόμενοι, γεγόναμεν; Καὶ μηδεὶς ἀγανακτείτω τὴν ἀλήθειαν ἀκούων, ἐπεὶ κἀκεῖνοι, παράνομοι ὄντες, ἔλεγον, «ἡμεῖς ἕνα Πατέρα ἔχομεν, τὸν Θεόν», ἀλλ' ἤκουον παρὰ τοῦ Σωτῆρος, ὅτι «ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν».*

33 *Πῶς οὖν καὶ ἡμεῖς παραβάται ὄντες τῶν ἐντολῶν αὐτοῦ, τὰ ὅμοια παρ' αὐτοῦ οὐκ ἀκούομεν; Ἐπεὶ καὶ ὁ Ἀπόστολος τοὺς Πνεύματι ἀγομένους εἶπεν εἶναι υἱοὺς Θεοῦ· «ὅσοι γάρ», φησί, «Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ». Πῶς οὖν καὶ ἡμεῖς, ἐκ τοῦ θανάτου ἀγόμενοι, υἱοὶ Θεοῦ ἀκούειν δυνάμεθα; «Τὸ γὰρ φρόνημα τῆς σαρκός, θάνατος». Οἱ δὲ Πνεύματι ἀγόμενοι, ἐκ τῶν καρπῶν τοῦ Πνεύματος δῆλοί εἰσιν. Εἴδωμεν οὖν τοὺς καρποὺς τοῦ Πνεύματος· «ὁ γὰρ καρπὸς τοῦ Πνεύματος», φησίν, «ἐστὶν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια». Ἆρα ἔχομεν ταῦτα ἐν ἑαυτοῖς; Ἀλλ' εἴθε μὴ πάντα τὰ ἐναντία. Πῶς οὖν υἱοὶ Θεοῦ ἀκούειν δυνάμεθα καὶ οὐχὶ μᾶλλον ἐκ τοῦ ἐναντίου; Τὸ γὰρ ἔκ τινος γεγεννημένον, ὅμοιον τοῦ γεγεννηκότος ἐστί. Δηλοῖ δὲ καὶ Κύριος, λέγων· «τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστιν». Ἡμεῖς δὲ γεγόναμεν σάρκες ἐπιθυμοῦντες κατὰ τοῦ Πνεύματος, καὶ διὰ τοῦτο δικαίως ἀκούομεν παρ' αὐτοῦ· «οὐ μὴ ἐγκαταμείνῃ τὸ*

---

84. Ἰω. 8,41.
85. Ἰω. 8,44.
86. Ρωμ. 8,14.
87. Ρωμ. 8,6.
88. Γαλ. 5,22.

κνα τῆς γέεννας; δέν ἔχουμε γίνει χειρότεροι ἀπό τούς Ἰουδαίους, ἐμεῖς πού σήμερα φέρομε τό μεγάλο ὄνομα τοῦ Χριστοῦ; Καί κανένας νά μή ἀγανακτεῖ ἀκούοντας τήν ἀλήθεια, καθόσον καί ἐκεῖνοι, ἐνῶ ἦταν παράνομοι, ἔλεγαν, «ἐμεῖς ἕνα Πατέρα ἔχομε, τό Θεό»[84], ἀλλ' ἄκουσαν ἀπό τόν Σωτῆρα νά τούς λέγει· «σεῖς κατάγεσθε ἀπό τόν πατέρα σας τό διάβολο, καί θέλετε νά κάμνετε τίς ἐπιθυμίες τοῦ πατέρα σας»[85].

33 Πῶς λοιπόν καί ἐμεῖς, ἐνῶ εἴμαστε παραβάτες τῶν ἐντολῶν αὐτοῦ, δέν ἀκοῦμε τά ἴδια ἀπ' αὐτόν; Διότι καί ὁ Ἀπόστολος εἶπε ὅτι εἶναι υἱοί τοῦ Θεοῦ ἐκεῖνοι πού ὁδηγοῦνται ἀπό τό Πνεῦμα· διότι, λέγει, «ὅσοι ὁδηγοῦνται ἀπό τό Πνεῦμα τοῦ Θεοῦ, αὐτοί εἶναι υἱοί τοῦ Θεοῦ»[86]. Πῶς λοιπόν καί ἐμεῖς, ἐνῶ ὁδηγούμαστε ἀπό τό θάνατο, μποροῦμε ν' ἀκοῦμε νά ὀνομαζόμαστε υἱοί τοῦ Θεοῦ; «Διότι τό σαρκικό φρόνημα εἶναι θάνατος»[87]. Ὅμως ἐκεῖνοι ποῦ ὁδηγοῦνται ἀπό τό ἅγιο Πνεῦμα γίνονται φανεροί ἀπό τούς καρπούς τοῦ Πνεύματος. Ἄς γνωρίσουμε λοιπόν τούς καρπούς τοῦ Πνεύματος· διότι, λέγει, «ὁ καρπός τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, καλωσύνη, ἀγαθωσύνη, πίστη, πραότητα, ἐγκράτεια»[88]. Ἄραγε τά ἔχουμε αὐτά μέσα μας; Ἀλλά μακάρι νά μή ἔχουμε ὅλα τά ἀντίθετα. Πῶς λοιπόν μποροῦμε ν' ἀκοῦμε νά λεγόμαστε υἱοί τοῦ Θεοῦ, καί ὄχι καλύτερα υἱοί τοῦ διαβόλου; Διότι ἐκεῖνο πού ἔχει γεννηθεῖ ἀπό κάποιον, εἶναι ὅμοιο μέ ἐκεῖνον πού τό ἔχει γεννήσει. Τό φανερώνει δέ καί ὁ Κύριος, λέγοντας· «Ἐκεῖνο πού ἔχει γεννηθεῖ ἀπό τό Πνεῦμα, εἶναι πνεῦμα»[89]. Ἐμεῖς ὅμως ἔχομε γίνει σάρκες καί ἐπιθυμοῦμε πράγματα ἀντίθετα μέ τοῦ Πνεύματος, καί γι' αὐτό δίκαια ἀκοῦμε ἀπ' αὐτόν· «δέν θά παραμείνει τό Πνεῦμα μου σ' αὐτούς τούς ἀνθρώπους, διότι

89. Ἰω. 3,6.

*Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας». Πῶς οὖν δυνάμεθα ἀκούειν Χριστιανοί, τί ποτε τοῦ Χριστοῦ ἐν ἑαυτοῖς μὴ ἔχοντες;*

'4 *Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι ''Ἔχω τὴν πίστιν, καὶ ἀρκεῖ μοι ἡ πίστις ἡ εἰς αὐτὸν πρὸς σωτηρίαν'. Ἀλλ' ἀντιφθέγγεται αὐτῷ ὁ Ἰάκωβος, λέγων, ὅτι «καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι». Καὶ πάλιν· «ἡ πίστις χωρὶς τῶν ἔργων, νεκρά ἐστι καθ' ἑαυτήν», ὡς καὶ τὰ ἔργα δίχα πίστεως. Πῶς δὲ καὶ πιστεύομεν, οἱ περὶ τῶν προσκαίρων καὶ παρόντων αὐτῷ μὴ πιστεύοντες, καὶ διὰ τοῦτο τοῖς ὑλικοῖς συμφυρόμενοι, καὶ τῇ σαρκὶ ζῶντες, καὶ κατὰ τοῦ Πνεύματος στρατευόμενοι; Οἱ δὲ τῷ Χριστῷ ἐν ἀληθείᾳ πιστεύσαντες, καὶ ὅλον αὐτὸν ἐν ἑαυτοῖς διὰ τῶν ἐντολῶν εἰσοικίσαντες, οὕτως ἔλεγον· «ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, τῇ πίστει ζῶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ». Διὰ τοῦτο πάσχοντες ὑπὲρ αὐτοῦ διὰ τὴν πάντων σωτηρίαν, ὡς ἀκριβεῖς αὐτοῦ μιμηταὶ καὶ τῶν ἐντολῶν αὐτοῦ γνήσιοι φύλακες, ἔλεγον, «λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν», ἐπειδὴ ἤκουον αὐτοῦ λέγοντος· «ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς· προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς», καὶ τὰ ἑξῆς· καὶ ἐκ τῶν λόγων καὶ τῶν ἔργων ὁ ἐνεργῶν ἐν αὐτοῖς Χριστὸς ἐφανεροῦτο· ἡμεῖς δέ, ἐπει-*

90. Γεν. 6,3.
91. Ἰακώβ.2,19.
92. Ἰακώβ.2,17 ·20 ·26.
93. Γαλ. 2,20.

τό φρόνημά τους εἶναι σαρκικό»[90]. Πῶς λοιπόν μποροῦμε ν' ἀκοῦμε νά ὀνομαζόμαστε Χριστιανοί, τή στιγμή πού δέν ἔχομε μέσα μας τίποτε ἀπό τά τοῦ Χριστοῦ;

34 Ἀλλά θά πεῖ ἴσως κάποιος, Ἔχω τήν πίστη καί μοῦ ἀρκεῖ ἡ πίστη μου πρός αὐτόν γιά τή σωτηρία μου'. Ἀλλά δίνει ἀπάντηση σ' αὐτόν ὁ Ἰάκωβος, λέγοντας· «καί τά δαιμόνια πιστεύουν καί φρίττουν»[91]· καί πάλι· «ἡ πίστη χωρίς τά ἔργα εἶναι νεκρή ἀπό μόνη της»[92], καθώς καί τά ἔργα χωρίς τήν πίστη. Ἀλλά πῶς πιστεύομε σ' αὐτόν, ἤ πιστεύομε σ' αὐτόν γία ὅσα λέγει γιά τή μέλλουσα ζωή, ἐμεῖς πού δέν πιστεύουμε σ' αὐτόν γιά τά ὅσα λέγει γιά τά πρόσκαιρα καί παρόντα πράγματα, καί γι' αὐτό ἀνακατευόμαστε μέ τά ὑλικά πράγματα, ζοῦμε γιά τή σάρκα, καί στρατευόμαστε ἐναντίον τοῦ Πνεύματος; Ἀλλ' ἐκεῖνοι πού ἀληθινά πίστεψαν στό Χριστό καί δέχθηκαν ὅλον αὐτόν μέσα τους μέ τίς ἐντολές του, ἔλεγαν τά ἑξῆς· «δέν ζῶ πλέον ἐγώ, ἀλλά ζεῖ μέσα μου ὁ Χριστός. Τή ζωή πού τώρα ζῶ ἐγώ στό σῶμα μου, τή ζῶ μέ τήν πίστη στόν Υἱό τοῦ Θεοῦ, πού μέ ἀγάπησε καί παρέδωσε τόν ἑαυτό του γιά χάρη μου»[93]. Γι' αὐτό, ὑποφέροντας γιά χάρη αὐτοῦ γιά τή σωτηρία ὅλων, σάν ἀκριβεῖς μιμητές αὐτοῦ καί γνήσιοι φύλακες τῶν ἐντολῶν αὐτοῦ, ἔλεγαν· «ὅταν μᾶς κακολογοῦν, εὐλογοῦμε, ὅταν μᾶς καταδιώκουν, δείχνουμε ἀνοχή, ὅταν μᾶς συκοφαντοῦν, παρακαλοῦμε τό Θεό γι' αὐτούς»[94], ἐπειδή ἄκουσαν αὐτόν νά λέγει· «νά ἀγαπᾶτε τούς ἐχθρούς σας, νά εὐεργετεῖτε ἐκείνους πού σᾶς μισοῦν, νά εὐλογεῖτε ἐκείνους πού σᾶς καταριένται, νά προσεύχεσθε γιά ἐκείνους πού σᾶς κακομεταχειρίζονται»[95], καί τά ὅσα λέγονται στή συνέχεια· καί μέσα ἀπό τά λόγια τους καί μέσα ἀπό τά ἔργα τους φανερωνόταν ὁ Χριστός πού ἐνεργοῦσε μέσα σ' αὐτούς· ἐμεῖς ὅμως, ἐπειδή ἐνερ-

94. Α' Κορ. 4,12.

95. Ματθ. 4,44

*δὴ πάσαις ταῖς ἐντολαῖς αὐτοῦ ἀντιπράττομεν, διὰ τοῦτο πάσης ἀκαθαρσίας ἐνεπλήσθημεν. Καὶ διὰ τοῦτο γεγόναμεν, ἀντὶ ναοῦ Θεοῦ, οἶκος ἐμπορίου, καὶ ἀντὶ οἴκου προσευχῆς, σπήλαιον λῃστῶν· ἀντὶ ἔθνους ἁγίου, ἔθνος ἁμαρτωλόν· καὶ ἀντὶ λαοῦ Θεοῦ, λαὸς πλήρης ἁμαρτιῶν· ἀντὶ σπέρματος ἁγίου, σπέρμα πονηρόν· καὶ ἀντὶ υἱῶν Θεοῦ, υἱοὶ ἄνομοι, ἐπειδὴ ἐγκατελίπομεν τὰς ἐντολὰς τοῦ Κυρίου καὶ δουλεύομεν τοῖς πονηροῖς πνεύμασι διὰ τῶν ἀκαθάρτων παθῶν, καὶ παρωργίσαμεν τὸν ἅγιον τοῦ Ἰσραήλ.*

35 *Διὰ τοῦτο θρηνῶν ἡμᾶς ὁ μέγας Ἡσαΐας, κράζει, βοηθῆσαι ἅμα βουλόμενος τῇ πτώσει ἡμῶν, λέγων· «τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; Πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην· ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία· οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους». Εἶτα τί τὸ ἐπὶ τούτοις; «Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη».*

*Ταύτην ἡμῶν τῆς ψυχῆς τὴν ἐρήμωσιν καὶ ὁ Ἀπόστολος δηλῶν, ἔλεγε· «καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, κακίᾳ, πονηρίᾳ, πλεονεξίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς,*

96. Ματθ. 21,13 καί Ἰω. 2,16.
97. Α' Πέτρ. 2,9.
98. Ἡσ. 1,4.
99. Ἡσ. 1,5 - 6.

γοῦμε ἀντίθετα μέ ὅλες τίς ἐντολές αὐτοῦ, γι' αὐτό γεμίσαμε ἀπό κάθε ἀκαθαρσία. Καί γι' αὐτό ἔχουμε γίνει, ἀντί γιά ναός τοῦ Θεοῦ, οἶκος ἐμπορίου[96]· ἀντί γιά ἔθνος ἅγιο[97], ἔθνος ἁμαρτωλό· ἀντί γιά λαός τοῦ Θεοῦ, λαός γεμάτος ἀπό ἁμαρτίες· ἀντί γιά σπέρμα ἅγιο, σπέρμα πονηρό· καί ἀντί γιά υἱοί τοῦ Θεοῦ, υἱοῖ παράνομοι[98], ἐπειδή ἐγκαταλείψαμε τίς ἐντολές τοῦ Κυρίου καί εἴμαστε δοῦλοι τῶν πονηρῶν πνευμάτων μέ τά ἀκάθαρτα πάθη μας, καί ἐξοργίσαμε τόν ἅγιο τοῦ Ἰσραήλ.

35 Γι' αὐτό θρηνώντας ἐμᾶς ὁ μέγας Ἠσαΐας, βροντοφωνάζει, θέλοντας συγχρόνως νά μᾶς βοηθήσει πού εἴμαστε πεσμένοι, καί λέγει· «γιατί ἐξακολουθεῖτε νά καταφέρετε πλήγματα ἐναντίον τοῦ ἑαυτοῦ σας, προσθέτοντας ἁμαρτίες; Ὅλων σας τό κεφάλι εἶναι κυριευμένο ἀπό πόνο, καί κάθε καρδιά εἶναι πλημμυρισμένη ἀπό λύπη· ἀπό τά πόδια μέχρι τό κεφάλι δέν ὑπάρχει ὑγιές μέρος· οὔτε τραῦμα ὑπάρχει, οὔτε μώλωπας, οὔτε πληγή μολυσμένη, ἀλλ' ὅλο τό σῶμα σας εἶναι μιά πληγή, καί ἔτσι δέν εἶναι δυνατό νά τοποθετηθεῖ ἐπάνω σ' αὐτό κατάπλασμα, οὔτε λάδι, οὔτε ἐπίδεσμοι»[99]. Ἔπειτα ποιά λέγει ὅτι θά εἶναι ἡ τιμωρία γι' αὐτά; «Θά ἐγκαταλειφθεῖ ἡ θυγατέρα μου Σιών σάν σκηνή πού ἐγκαταλείπεται στό ἀμπέλι μετά τόν τρύγο, σάν ἀποθήκη ὀπωρικῶν, πού ἐγκαταλείπεται σέ χωράφι ἀγγουριῶν, σάν πόλη πού ἐγκαταλείπεται ἀπό τούς κατοίκους της ὅταν πολιορκεῖται»[1].

Αὐτήν τήν ἐρήμωση τῆς ψυχῆς μας γιά νά δείξει καί ὁ Ἀπόστολος, ἔλεγε· «καί ἐπειδή δέν θεώρησαν ἄξιο λόγου τό νά ἔχουν ὀρθή γνώση γιά τό Θεό, τούς παρέδωσε ὁ Θεός σέ ἀνάξιο νοῦ, ὥστε νά κάνουν ἐκεῖνα πού δέν ταιριάζει, γεμάτοι ἀπό κάθε ἀδικία, κακία, πονηρία, πλεονεξία, γεμάτη ἀπό φθόνο, φόνους, φιλονεικία, δόλο, κακοή-

1. Ἡσ. 1,8.

*ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπαθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας· οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς». Καὶ τί τὸ ἐπὶ τούτοις; «Ἀποκαλύπτεται», φησίν, «ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων», καὶ τὰ ἑξῆς.*

5 *Ταύτην τῆς ψυχῆς ἐρήμωσιν καὶ ὁ Κύριος μηνύων, ἔλεγεν· «Ἱερουσαλήμ, Ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὡς ὄρνις τὰ νοσσία αὐτῆς ὑπὸ τὰ πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Ὁ δὲ Ἠσαΐας πάλιν, ὁρῶν ἡμᾶς τοὺς δῆθεν μοναχοὺς τὰ σωματικὰς λειτουργίας ἐπιτελοῦντας μόνον, καταφρονοῦντας δὲ τῶν πνευματικῶν, καὶ διὰ τοῦτο τετυφωμένους, ἔλεγεν· «ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Πλήρης εἰμὶ τῶν ὁλοκαυτωμάτων κριῶν· καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστι. Τὰς νουμηνίας*

2. Ρωμ. 28, 32·26·24.
3. Ρωμ. 1,18.
4. Ματθ. 23, 37 - 38

θεια, πού εἶναι συκοφάντες, κακολόγοι, ἐχθροί τοῦ Θεοῦ, ὑβριστές, ὑπερήφανοι, ἀλαζόνες, ἐφευρέτες κακῶν, ἀνυπάκουοι στούς γονεῖς, ἀνόητοι, δέν τηροῦν τίς συμφωνίες, ἄστοργοι, ἀδιάλλακτοι, ἀνελεήμονες, καί οἱ ὁποῖοι, ἄν καί γνώρισαν τό νόμο τοῦ Θεοῦ, ὅτι δηλαδή ἐκεῖνοι πού κάνουν τέτοια πράγματα εἶναι ἄξιοι θανάτου, ὄχι μόνο κάμνουν αὐτά, ἀλλά καί ἐπαινοῦν ἐκείνους πού τά κάμνουν. Γι' αὐτό τούς παρέδωσε ὁ Θεός σέ πάθη ἀτιμωτικά, ὥστε ν' ἀτιμάζουν τά σώματά τους ἀναμεταξύ τους»[2]. Καί πιό θά εἶναι τό ἀποτέλεσμα γιά ὅλα αὐτά; «Φανερώνεται», λέγει, «ἡ ὀργή τοῦ Θεοῦ ἀπό τόν οὐρανό ἐναντίον κάθε ἀσέβειας καί κακίας τῶν ἀνθρώπων»[3], καί τά ὅσα λέγονται στή συνέχεια.

36 Αὐτήν τήν ἐρήμωση τῆς ψυχῆς προλέγοντας καί ὁ Κύριος, ἔλεγε· «Ἰερουσαλήμ, Ἰερουσαλήμ, σύ πού θανατώνεις τούς προφῆτες καί λιθοβολεῖς τούς ἀπεσταλμένους σέ σένα· πόσες φορές θέλησα νά μαζέψω τά παιδιά σου, ὅπως ἡ ὄρνιθα τά μικρά της πουλάκια κάτω ἀπό τά φτερά της, καί δέν θελήσατε; Νά, ἐγκαταλείπετε ἔρημο τό σπίτι σας»[4]. Ὁ Ἠσαΐας πάλι, βλέποντας ἐμᾶς τούς δῆθεν μοναχούς νά ἐκτελοῦμε μόνο τίς σωματικές ὑπηρεσίες, καί νά περιφρονοῦμε τίς πνευματικές, καί γι' αὐτό νά εἴμαστε γεμάτοι ἀπό ἀλαζονεία, ἔλεγε· «ἀκοῦστε, ἄρχοντες τῶν Σοδόμων, τά λόγια τοῦ Κυρίου· δῶστε προσοχή στό νόμο τοῦ Θεοῦ, σεῖς πού μοιάζετε μέ τό λαό τῆς Γομόρρας. Τί νά τό κάνω, λέγει ὁ Κύριος, τό πλῆθος τῶν θυσιῶν σας; Εἶμαι γεμάτος καί χορτασμένος ἀπό τίς θυσίες τῶν ὁλοκαυτωμάτων τῶν κριῶν, καί δέν θέλω πλέον οὔτε τό λίπος τῶν ἀρνιῶν, οὔτε τό αἷμα τῶν ταύρων καί τράγων. Ποιός τά ζήτησε αὐτά ἀπό τά χέρια σας; Δέν θά σᾶς ἐπιτρέψω πλέον νά πατᾶτε στήν αὐλή τοῦ ναοῦ μου. Ἐάν μοῦ προσφέρετε γιά θυσία σημιγδάλι, εἶναι ἄχρηστη ἡ θυσία σας· τό θυμίαμα τό σιχαίνομαι. Δέν ἀνέχομαι πλέον τήν

*ὑμῶν καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. Νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν, μισεῖ ἡ ψυχή μου. Ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι οὐ μὴ ἀνοίσω. Ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν». Διατί; «Αἱ γὰρ χεῖρες ὑμῶν», φησίν, «αἵματος πλήρεις»· ἐπειδὴ «ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί». Διὰ τοῦτο πᾶσα ἄσκησις ἀγάπην μὴ ἔχουσα ἀλλοτρία τοῦ Θεοῦ καθίσταται.*

37 *Διὰ τοῦτο καὶ τὴν ὑπόκρισιν ἡμῶν ἐλέγχων πόρρωθεν ἔλεγεν· «ὁ λαὸς οὗτος, τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ, μάτην δὲ σέβονταί με», καὶ τὰ ἑξῆς. Καὶ ἅπερ δὲ ὁ Κύριος ἡμῶν ἔλεγε ταλανίζων τοὺς Φαρισαίους, περὶ ἡμῶν ἐγὼ ἀκούω, τῶν νῦν ὑποκριτῶν, τῶν τοσαύτης χάριτος ἀξιωθέντων καὶ χείρω ἐκείνων διακειμένων. Ἢ οὐχὶ καὶ ἡμεῖς δεσμοῦμεν φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτίθεμεν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ ἡμῶν οὐ θέλομεν κινῆσαι αὐτά; Ἢ οὐχὶ καὶ ἡμεῖς, πάντα τὰ ἔργα ἡμῶν ποιοῦμεν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις; Ἢ οὐχὶ καὶ ἡμεῖς φιλοῦμεν τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ραββί, Ραββί, καὶ τοὺς ταῦτα ἡμῖν μὴ σφόδρα ἀπονέμοντας, ἕως θανάτου πολεμοῦμεν; Ἢ οὐχὶ καὶ ἡμεῖς ἤραμεν τὴν κλεῖδα τῆς γνώσεως, καὶ κλείομεν*

---

5. Ἡσ. 1,10–15.
6. Α' Ἰω. 3,15.
7. Ἡσ. 29,13. Ματθ. 15,8.
8. Ματθ. 23,4 Λουκᾶ 11, 46.

ἑορτή τῆς πρώτης τοῦ κάθε μήνα, τά Σάββατα καί τή μεγάλη ἡμέρα τῆς ἑορτῆς τοῦ Ἐξιλασμοῦ. Τή νηστεία καί τήν ἀργία καί τίς ἑορτές σας τίς μισεῖ ἡ ψυχή μου. Σᾶς χόρτασα, δέ θά σᾶς ἀνεχθῶ πιά. Ὅταν θά ὑψώνετε τά χέρια σας ἱκετευτικά πρός ἐμένα, θά στρέφω ἀλλοῦ τά μάτια μου ἀπό σᾶς· καί ἄν αὐξήσετε τίς παρακλήσεις σας, δέν θά σᾶς ἀκούσω»[5]. Γιατί; «Τά χέρια σας», λέγει, «εἶναι γεμάτα ἀπό αἷμα»[5]· ἐπειδή, «ἐκεῖνος πού μισεῖ τόν ἀδελφό του εἶναι φονιάς»[6]. Γι' αὐτό κάθε πράξη πού δέν συνοδεύεται ἀπό ἀγάπη, ἀποβαίνει ξένη γιά τό Θεό.

37 Γι' αὐτό καί ἐλέγχοντας τήν ὑποκρισία μας ἀπό πολύ παλιά, ἔλεγε· «ὁ λαός αὐτός μέ τά χείλη του μέ τιμᾶ, ἡ καρδιά τους ὅμως βρίσκεται πολύ μακριά ἀπό μένα, καί ἀνώφελα μέ σέβονται»[7], καί τά ὅσα λέγονται στή συνέχεια. Καί ἐκεῖνα ἀκριβῶς πού ἔλεγε ὁ Κύριός μας ταλανίζοντας τούς Φαρισαίους, ἐγώ ἀκούω νά λέγονται καί γιά ἐμᾶς, τούς σημερινούς ὑποκριτές, πού, ἐνῶ ἀξιωθήκαμε νά λάβουμε τόση χάρη, ὅμως συμπεριφερόμαστε χειρότερα καί ἀπό ἐκείνους. Ἤ μήπως καί ἐμεῖς δέν δένουμε βαριά φορτία καί δυσβάσταχτα καί τά τοποθετοῦμε ἐπάνω στούς ὤμους τῶν ἀνθρώπων, ἐνῶ μέ τό δάχτυλό μας δέν θέλουμε νά κινήσουμε αὐτά[8]; Ἤ μήπως καί ἐμεῖς δέν κάνομε ὅλα τά ἔργα μας γιά νά μᾶς δοῦν οἱ ἄλλοι ἄνθρωποι[9]; Ἤ μήπως καί ἐμεῖς δέν ἀγαπᾶμε τίς πρῶτες θέσεις στά δεῖπνα καί τίς πρωτοκαθεδρίες στίς συγκεντρώσεις καί νά ὀνομαζόμαστε ἀπό τούς ἀνθρώπους, 'δάσκαλε, δάσκαλε', καί δέν πολεμᾶμε μέχρι θανάτου ἐκείνους πού δέν μᾶς τά προσφέρουν μέ ὅλη τήν προθυμία τους[10]; Ἤ μήπως καί ἐμεῖς δέν ἀφερέσαμε τό κλειδί τῆς γνώσεως καί κλείνουμε τή βασιλεία τῶν οὐρανῶν μπροστά στούς ἀνθρώπους,

9. Ματθ. 6,5.
10. Ματθ. 23,6 - 8.

*τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, μηδὲ αὐτοὶ εἰσερχόμενοι, μηδὲ αὐτοὺς ποιοῦντες εἰσελθεῖν;*

*Ἢ οὐχὶ καὶ ἡμεῖς περιάγομεν τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιοῦμεν αὐτὸν υἱὸν γεέννης διπλότερον ἡμῶν; Ἢ οὐχὶ καὶ ἡμεῖς ἐσμὲν ὁδηγοὶ τυφλοί, τὸν κώνωπα διϋλίζοντες καὶ κάμηλον καταπίνοντες; Ἢ οὐχὶ καὶ ἡμεῖς καθαρίζομεν τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, τὸ δὲ ἔσωθεν ἡμῶν γέμει ἁρπαγῆς καὶ πλεονεξίας, μᾶλλον δὲ ἀκρασίας; Ἢ οὐχὶ καὶ ἡμεῖς ἀποδεκατοῦμεν τὸ πήγανον καὶ τὸ ἡδύοσμον, καὶ πᾶν λάχανον, καὶ παρερχόμεθα τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ; Ἢ οὐχὶ καὶ ἡμεῖς ἐσμεν ὡς τὰ μνημεῖα τὰ ἄδηλα, ἔξωθεν μὲν φαινόμενοι τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ ὄντες μεστοὶ ὑποκρίσεως καὶ ἀνομίας καὶ πάσης ἀκαθαρσίας; Ἢ οὐχὶ καὶ ἡμεῖς οἰκοδομοῦμεν τοὺς τάφους τῶν Μαρτύρων, καὶ κοσμοῦμεν τὰ μνημεῖα τῶν Ἀποστόλων, καὶ ἐσμὲν ὅμοιοι τῶν ἀποκτεινάντων αὐτούς; Τίς οὖν οὐ κλαύσει ἡμᾶς οὕτω διακειμένους; τίς οὐ θρηνήσει τὴν τηλικαύτην ἡμῶν αἰχμαλωσίαν; Διὰ τοῦτο υἱοὶ Θεοῦ οἱ τίμιοι, ἐλογίσθημεν ὡς ἀγγεῖα ὀστράκινα. Διὰ τοῦτο ἠμαυρώθη τὸ χρυσίον, ἠλλοιώθη τὸ ἀργύριον τὸ ἀγαθόν.*

*Διὰ τοῦτο οἱ Ναζωραῖοι Σιών, οἱ ὑπὲρ χιόνα λάμψαντες, γεγόναμεν ὡς Αἰθίοπες· οἱ ὑπὲρ γάλα λευκανθέντες, ὑπὲρ μέλαν ἐζοφώθησαν. Διὰ τοῦτο ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος ἡμῶν. Οἱ τιθηνούμενοι ἐπὶ κόκκων, περιεβαλόμεθα κο-*

---

11. Λουκᾶ 11,52.
11a. Ματθ. 23, 15.
12. Λουκᾶ 11,39.
13. Ματθ. 23,23 Λουκᾶ 11,42.

μή μπαίνοντας μέσα σ' αὐτήν οὔτε ἐμεῖς οἱ ἴδιοι, οὔτε ἀφήνοντας αὐτούς νά μποῦν μέσα[11];

Ἤ μήπως καί ἐμεῖς δέ γυρίζουμε στή θάλασσα καί στήν ξηρά γιά νά κάνουμε ἕναν προσήλυτο, καί ὅταν γίνει, τόν κάμνουμε υἱό γέεννας δύο φορές περισσότερο ἀπό μᾶς[11α]; Ἤ μήπως καί ἐμεῖς δέν εἴμαστε ὁδηγοί τυφλοί, πού ἐξετάζουμε μέ τόση λεπτομέρεια τό κουνούπι, καί καταπίνουμε χωρίς κἄν νά ἐλέγξομε τό χονδρό καραβόσχοινο; Ἤ μήπως καί ἐμεῖς δέν καθαρίζουμε τό ἐξωτερικό μέρος τοῦ ποτηριοῦ καί τοῦ πιάτου, ἐνῶ τό ἐσωτερικό μας εἶναι γεμάτο ἀπό ἁρπαγή καί πλεονεξία, ἤ καλύτερα ἀπό ἀδυναμία γιά ἐγκράτεια[12]; Ἤ μήπως καί ἐμεῖς δέν δίνουμε τό δέκατο ἀπό τό βαρύοσμο καί τό ἡδύοσμο καί ἀπό κάθε λάχανο, καί ἀδιαφοροῦμε γιά τήν δικαιοσύνη καί τήν ἀγάπη τοῦ Θεοῦ[13]; Ἤ μήπως καί ἐμεῖς δέν εἴμαστε δίκαιοι στούς ἀνθρώπους, ἐνῶ ἐσωτερικά εἴμαστε γεμάτοι ἀπό ὑποκρισία καί παρανομία καί κάθε ἀκαθαρσία[14]; Ἤ μήπως καί ἐμεῖς δέν χτίζουμε τούς τάφους τῶν Μαρτύρων καί δέν στολίζουμε τά μνημεῖα τῶν Ἀποστόλων καί εἴμαστε ὅμοιοι μέ ἐκείνους πού φόνευσαν αὐτούς[15]; Ποιός δέν θά κλάψει γιά μᾶς πού δείχνουμε μιά τέτοια συμπεριφορά; Ποιός δέν θά θρηνήσει αὐτήν τήν τόσο μεγάλη καί τέτοιου εἴδους αἰχμαλωσία μας; Γι' αὐτό οἱ τίμιοι υἱοί τοῦ Θεοῦ, θεωρηθήκαμε σάν πήλινα ἀγγεῖα. Γι' αὐτό μαύρησε ὁ χρυσός, ἀλλοιώθηκε ὁ ἄργυρος ὁ ἐκλεκτός[16]

Γι' αὐτό οἱ Ναζωραῖοι τῆς Σιών, πού ἔλαμψαν περισσότερο ἀπό τό χιόνι, ἔχουν γίνει σάν Αἰθίοπες· ἐκεῖνοι πού ἔγιναν πιό λευκοί ἀπό τό γάλα, ἔγιναν πιό μαῦροι ἀπό τό μαῦρο. Γι' αὐτό ἔγινε πιό σκοτεινή ἡ μορφή μας ἀπό τήν

14. Ματθ. 23,27–28.

15. Ματθ. 23, 29 - 30.

16. Θρῆνοι Ἱερ. 4,1-2.

*πρίας· καὶ ἐμεγαλύνθη ἡ ἀνομία ἡμῶν, ὑπὲρ ἀνομιῶν Σοδόμων. Διὰ τοῦτο οἱ υἱοὶ τῆς ἡμέρας καὶ τοῦ φωτός, υἱοὶ γεγόναμεν νυκτὸς καὶ σκότους. Διὰ τοῦτο υἱοὶ τῆς βασιλείας, υἱοὶ γεέννης γεγόναμεν. Διὰ τοῦτο οἱ υἱοὶ Ὑψίστου, ὡς ἄνθρωποι ἀποθνήσκομεν, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτομεν. Διὰ τοῦτο παρεδόθημεν εἰς χεῖρας ἐχθρῶν ἀνόμων, τῶν ἀγρίων λέγω δαιμόνων, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν, δηλαδὴ τῷ τούτων ἄρχοντι, ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν, παραβάντες τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ καταπατήσαντες τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενοι.*

*Ἀλλὰ μὴ παραδόῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, Κύριε, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ τοὺς οἰκτιρμούς σου, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ διὰ τὸ ἔλεος τοῦ ἁγίου σου Πνεύματος. «Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ἀλλὰ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα. Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν. Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ρῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου», Κύριε, μνησθεὶς τῆς ἀπαρχῆς ἡμῶν ἣν ἐξ ἡμῶν διὰ φιλανθρωπίαν λαβὼν ὁ μονογενής σου Υἱός, ὑπὲρ ἡμῶν ἔχει ἐν οὐρανοῖς, ἵνα ἡμῖν βεβαίαν τὴν ἐλπίδα τῆς σωτηρίας χαρίσηται· καὶ μὴ διὰ τὴν*

---

17. Α' Θεσ. 5,5.
18. Ψαλμ. 81,7.
19. Ἑβρ. 10,29.
20. Δαν. (Θεοδοτίωνος) 3,34-35.

καπνιά. Οἱ δεχόμενοι τή φροντίδα τῶν κόκκων, περιβαλλόμαστε ἀπό κοπριά· καί αὐξήθηκε ἡ ἀνομία μας περισσότερο ἀπό τίς ἀνομίες τῶν Σοδόμων. Γι' αὐτό οἱ υἱοί τῆς ἡμέρας καί τοῦ φωτός, ἔχουμε γίνει υἱοί τῆς νύχτας καί τοῦ σκότους[17]. Γι' αὐτό οἱ υἱοί τῆς βασιλείας, ἔχουμε γίνει υἱοί τῆς γέεννας. Γι' αὐτό οἱ υἱοί τοῦ Ὑψίστου, σάν ἄνθρωποι πεθαίνουμε καί πέφτουμε σάν ἕνας ἀπό τούς ἄρχοντες[18]. Γι' αὐτό παραδοθήκαμε στά χέρια ἀνόμων ἐχθρῶν, ἐννοῶ τῶν ἀγρίων δαιμόνων, καί σέ βασιλιά ἄδικο καί πιό πονηρό ἀπό τούς βασιλεῖς ὅλης τῆς γῆς, δηλαδή στόν ἄρχοντα αὐτῶν, διότι ἁμαρτήσαμε καί παρανομήσαμε, παραβήκαμε τίς ἐντολές τοῦ Κυρίου τοῦ Θεοῦ μας, καταπατήσαμε τόν Υἱό τοῦ Θεοῦ καί θεωρήσαμε κοινό τό αἷμα τῆς διαθήκης[19].

Ἀλλά μή μᾶς ἀφήσεις μέχρι τέλος σ' αὐτήν τήν κατάσταση τῆς ἀνομίας ἐξ αἰτίας τοῦ ἁγίου ὀνόματός σου, Κύριε, μή ἀπορρίψεις τή διαθήκη σου, καί μή ἀπομακρύνεις τό ἔλεός σου ἀπό ἐμᾶς, ἐξ αἰτίας τῆς εὐσπλαχνίας σου[20], Πατέρα μας οὐράνιε, καί ἐξ αἰτίας τοῦ ἐλέους τοῦ ἁγίου σου Πνεύματος. «Μή θυμηθεῖς τίς παλιές ἁμαρτίες μας, ἀλλά πολύ γρήγορα ἄς μᾶς προλάβει ἡ εὐσπλαχνία σου, διότι πτωχεύσαμε πάρα πολύ. Βοήθησέ μας, Θεέ μας, πού εἶσαι ὁ Σωτήρας μας. Γιά τή δόξα τοῦ ὀνόματός σου, Κύριε, σῶσε μας καί συγχώρησε τίς ἁμαρτίες μας γιά χάρη τοῦ ὀνόματός σου»[21], Κύριε, ἀφοῦ θυμηθεῖς τήν ἀνθρώπινη φύση μας, τήν ὁποία ὁ μονογενής σου Υἱός πῆρε ἀπό ἐμᾶς ἐξ αἰτίας τῆς μεγάλης φιλανθρωπίας σου, καί τήν ὁποία φέρει μαζί του τώρα στούς οὐρανούς, γιά νά χαρίσει σίγουρη καί ἀσφαλή τήν ἐλπίδα τῆς σωτηρίας μας, καί ἔτσι νά μή συμβεῖ, ἀφοῦ χάσουμε κάθε ἐλπίδα, νά γίνομε χειρότεροι. Χάρισέ μας τή σωτηρία ἐξ αἰτίας τοῦ τι-

21. Ψαλ. 78,8 - 9.

*ἀπόγνωσιν χείρους γενώμεθα, διὰ τὸ τίμιον αὐτοῦ αἷμα, ὃ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ἐξέχεεν· διὰ τοὺς ἁγίους αὐτοῦ Ἀποστόλους καὶ Μάρτυρας, οἳ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τὸ ἴδιον αἷμα ἐξέχεον· διὰ τοὺς ἁγίους Προφήτας καὶ Πατέρας καὶ Πατριάρχας, οἵτινες ἠγωνίσαντο εὐαρεστῆσαι τῷ ἁγίῳ σου ὀνόματι.*

*Μὴ παρίδῃς τὴν δέησιν ἡμῶν, Κύριε, μηδὲ ἐγκαταλίπῃς ἡμᾶς εἰς τέλος. Οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμέν, ἀλλ' ἐπὶ ἐλέει τῷ σῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ. Ἱκετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγαθότητα, ἵνα μὴ γένηται εἰς κρῖμα ἡμῖν τὸ οἰκονομηθὲν ἡμῖν ὑπὸ τοῦ Μονογενοῦς σου Υἱοῦ πρὸς σωτηρίαν μυστήριον, καὶ μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου. Μὴ βδελύξῃ ἡμῶν τὴν ἀναξιότητα, ἀλλ' ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, παράγαγε τὰ ἁμαρτήματα ἡμῶν, ἵνα ἀκατακρίτως προσελθόντες κατενώπιον τῆς ἁγίας σου δόξης, ἀξιωθῶμεν τῆς σκέπης τοῦ Μονογενοῦς σου Υἱοῦ, καὶ μὴ ὡς δοῦλοι πονηροὶ ταῖς ἁμαρτίαις, ἀποδόκιμοι γενώμεθα.*

*Ναί, Δέσποτα παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεως ἡμῶν, ὅτι ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν. Τὸ ὄνομά σου ὀνομάζομεν· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν βοήθειαν. «Ἐπίβλεψον οὖν ἐκ τοῦ οὐρανοῦ, Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τῆς ἁγίας δόξης σου. Ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; Ποῦ ἐστι τὸ*

22. Ψαλμ. 54,2.
23. Δαν. 9,18.

μίου αἵματος τοῦ Υἱοῦ σου, πού τό ἔχυσε γιά νά χαρίσει ζωή στόν κόσμο, ἐξ αἰτίας τῶν ἁγίων Ἀποστόλων καί Μαρτύρων αὐτοῦ, οἱ ὁποῖοι γιά χάρη τοῦ ὀνόματός αὐτοῦ ἔχυσαν τό δικό τους αἷμα, ἐξ αἰτίας τῶν ἁγίων Προφητῶν, Πατέρων καί Πατριαρχῶν, οἱ ὁποῖοι ἀγωνίσθηκαν γιά νά φανοῦν ἀρεστοί στό ἅγιο ὄνομά σου.

Μή παραβλέψεις τήν παράκλησή μας, Κύριε[22], οὔτε νά μᾶς ἐγκαταλείψεις μέχρι τέλος. Διότι δέν στηρίζουμε τήν πεποίθησή μας γιά τήν σωτηρία μας στή δικαιοσύνη μας, ἀλλά στήν εὐσπλαχνία σου[23], μέ τήν ὁποία φροντίζεις καί σώζεις τό γένος μας. Σέ ἱκετεύουμε καί παρακαλοῦμε τήν ἀγαθότητά σου, γιά νά μή γίνει αἰτία καταδίκης μας τό μυστήριο πού οἰκονομήθηκε ἀπό τό Μονογενή σου Υἱό γιά τή σωτηρία μας, καί μή μᾶς διώξεις μακριά ἀπό τό πρόσωπό σου[24]. Μή δείξεις ἀποστροφή πρός τήν ἀναξιότητά μας, ἀλλ' ἐλέησέ μας σύμφωνα μέ τή μεγάλη εὐσπλαχνία σου, καί, σύμφωνα μέ τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἀπομάκρυνε τά ἁμαρτήματά μας, ὥστε, ἀφοῦ παρουσιασθοῦμε ἀπαλλαγμένοι ἀπό τήν καταδίκη μπροστά στήν ἅγια δόξα σου, νά ἀξιωθοῦμε ν' ἀπολαύσουμε τήν προστασία τοῦ Μονογενοῦς σου Υἱοῦ, καί νά μή συμβεῖ, σάν δοῦλοι πονηροί, ν' ἀπορριφθοῦμε ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας σάν ἀνάξιοι.

**Ναί, Δέσποτα παντοδύναμε Κύριε, ἄκουσε τήν παράκλησή μας, διότι ἐκτός ἀπό σένα ἄλλον δέν γνωρίζουμε. Τό ὄνομά σου διακηρύσσουμε· διότι σύ εἶσαι ἐκεῖνος πού ἐνεργεῖς παντοῦ τά πάντα καί ἀπό σένα ὅλοι ζητοῦμε βοήθεια. «Ρίξε λοιπόν, Κύριε, τό σπλαχνικό σου βλέμμα ψηλά ἀπό τόν οὐρανό καί πρόσεξέ μας μέσα ἀπό τόν οἶκο τῆς ἅγιας δόξας σου. Ποῦ εἶναι ὁ ζῆλος ὁ παλιός γιά ἐμᾶς καί ἡ δύναμή σου ἐναντίον τῶν ἐχθρῶν μας; ποῦ εἶναι τό**

---

24. Ψαλμ. 50,13.

*πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἠνέσχες τῆς πτώσεως ἡμῶν; σὺ γὰρ ἡμῶν εἶ Πατήρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σύ, Κύριε, Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς, ὅτι ἀπ' ἀρχῆς τὸ ὄνομά σου τὸ ἅγιον ἐφ' ἡμᾶς ἐστι, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ ἁγίου σου Πνεύματος. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; Μὴ παιδεύσῃς ἡμᾶς τῇ ῥάβδῳ τῶν κριμάτων σου. «Τί ἐσκλήρυνας ἡμῶν τὰς καρδίας, τοῦ μὴ φοβεῖσθαί σε», ἐγκατέλειψας ἡμᾶς τῇ αὐτονομίᾳ τῆς πλάνης; «Ἐπίστρεψον, Κύριε, τοὺς δούλους σου», διὰ τὴν ἁγίαν σου Ἐκκλησίαν, διὰ πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου, «ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς».*

38 *Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου τοῦ πυρός· καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φοβερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις. Ὅταν ποιεῖς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεόν, πλὴν σοῦ, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον, συναντήσεται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν». Μᾶλλον δὲ ἡμεῖς ἡμάρτομεν, καὶ σὺ ὠργίσθης.*

---

25. Ἡσ. 63,15 - 17.
26. Πρβλ. Ἱερ. 10,24.
27. Ἡσ. 64,1 - 5 Ναοὺμ 1,5 - 6.
28. Ἡσ. 63,18-19.

ἀμέτρητο πλῆθος τοῦ ἐλέους σου καί τῆς εὐσπλαχνίας σου, μέ βάση τῆς ὁποίας ἔδειχνες τήν ἀνοχή σου πρός ἐμᾶς; Διότι σύ εἶσαι ὁ Πατέρας μας· καθόσον ὁ Ἀβραάμ δέν μᾶς γνώρισε καί ὁ Ἰακώβ δέν μᾶς περιφρόνησε· σύ λοιπόν, Κύριε, πού εἶσαι ὁ Πατέρας μας, σῶσε μας, διότι τό ἅγιο ὄνομά σου ἀνέκαθεν ἦταν ἡ προστασία μας, καθῶς καί τοῦ Μονογενοῦς σου Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος. Γιατί, Κύριε, μᾶς ἄφησες νά πλανηθοῦμε καί ν' ἀπομακρυνθοῦμε ἀπό τό δρόμο τῶν ἐντολῶν σου[25]; Μή μᾶς τιμωρήσεις μέ τή ράβδο τῆς δικαιοσύνης σου[26]. «Γιατί ἄφησες νά σκληρυνθοῦν οἱ καρδιές μας, ὥστε νά μή σέ φοβοῦνται;»[27], μᾶς ἐγκατέλειψες στήν κυριαρχία τῆς πλάνης; «Φέρε, Κύριε, στήν εὐθεία ὁδό τούς δούλους σου»[27], γιά χάρη τῆς ἁγίας Ἐκκλησίας σου, γιά χάρη τῶν ἁγίων σου ὅλων τῶν αἰώνων, «γιά νά κληρονομήσουμε ἔστω καί ἕνα μικρό μέρος ἀπό τό ἅγιο ὄρος σου. Διότι οἱ ἐχθροί μας καταπάτησαν τόν ἅγιο ναό σου. Καταντήσαμε ὅπως τότε στήν ἀρχή πού δέν μᾶς κυβερνοῦσες σύ καί πού δέν εἴχαμε ἀκόμα λάβει τό ὄνομά σου»[28].

38 «Ἐάν ἀνοίξεις τόν οὐρανό, τρόμος θά κυριεύσει ἐξ αἰτίας σου τά ὄρη καί θά λειώσουν μπροστά σου ὅπως τό κερί ἀπό τή φωτιά · φωτιά θά κατακάψει τούς ἐχθρούς. Ὅταν θά πραγματοποιεῖς τά ἔνδοξα ἔργα σου τρόμος θά κυριέψει τά ὄρη. Ἀπό τά ἀρχαῖα χρόνια δέν ἀκούσαμε οὔτε τά μάτια μας εἶδαν ἄλλο Θεό ἐκτός ἀπό σένα, καί ἐκτός ἀπό τά ἔργα σου πού πραγματοποιεῖς σ' ἐκείνους πού περιμένουν τό ἔλεός σου, διότι αὐτό θά ἔρθει καί θά συναντήσει ἐκείνους πού ἐκτελοῦν δίκαια ἔργα καί ἐνθυμοῦνται πάντοτε τίς ἐντολές σου. Νά, σύ ὀργίσθηκες ἐναντίον μας καί ἐμεῖς ἁμαρτήσαμε»[29]. Ἤ σωστότερα, ἐμεῖς ἁμαρτήσαμε καί σύ ὀργίσθηκες.

---

29. Ἠσ. 64, 1-5. Ναούμ 1,5-6.

*«Διὰ τοῦτο ἐπλανήθημεν καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι πάντες ἡμεῖς· ὡς ράκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν, καὶ ἐρρύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν, οὕτως ἄνεμος οἴσει ἡμᾶς, καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου. Καὶ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ νῦν, Κύριε, Πατὴρ ἡμῶν εἶ σύ, ἡμεῖς δὲ πηλός, ἔργον τῶν χειρῶν σου πάντες, μὴ ὀργισθῇς ἡμᾶς σφόδρα καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον ὅτι λαός σου πάντες ἡμεῖς· πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος Σιὼν· ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ. Εἰς κατάραν ὁ οἶκος τοῦ ἁγίου ἡμῶν καὶ ἡ δόξα, ἣν ηὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἔνδοξα συνέπεσε. Καὶ ἐπὶ πᾶσι τούτοις ἠνέσχου, Κύριε, καὶ ἐσιώπησας καὶ ἐταπείνωσας ἡμᾶς ἕως σφόδρα».*

*39 Συνέβη μὲν ταῦτα τυπικῶς τῷ παλαιῷ σου λαῷ, νῦν δὲ εἰς ἡμᾶς ἀληθινῶς πεπλήρωται· «καὶ ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν δαίμοσι, μυκτιρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν». Ἀλλ' ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον· καὶ γνώρισον ἡμῖν τὰς μεθοδείας τῶν ὑπεναντίων ἡμῶν· καὶ ῥῦσαι ἡμᾶς ἐκ τῶν μηχανημάτων αὐτῶν, καὶ μὴ ἀποστήσῃς ἀφ' ἡμῶν τὴν σὴν βοήθειαν, ὅτι ἡμεῖς οὐχ ἱκανοί ἐσμεν πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα· σὺ δὲ δυνατὸς εἶ εἰς τὸ σώζειν ἐκ πάντων τῶν ἐναντίων. Σῶσον ἡμᾶς, Κύριε, ἐκ τῶν δυσχερῶν τοῦ κόσμου*

30. Ἡσ. 64, 6–12.

31. Ψαλμ. 78,4.

«Γι' αὐτό πλανηθήκαμε καί γίναμε ὅλοι μας ἀκάθαρτοι· σάν κουρέλι ἀποκαθήμενης γυναίκας μοιάζει ὅλη ἡ ἀρετή μας καί πέσαμε καί διασκορπισθήκαμε σάν τά φύλλα ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας, καί ἔτσι ὁ ἄνεμος μᾶς σήκωσε καί μᾶς φέρνει ὅπου θέλει καί δέν ὑπάρχει κανένας πού νά ἐπικαλεσθεῖ τό ὄνομά σου, ἤ πού νά σέ θυμᾶται καί νά ζητᾶ τή βοήθειά σου. Καί γι' αὐτό γύρισες ἀπό μᾶς ἀλλοῦ τό πρόσωπό σου καί μᾶς παρέδωσες στούς ἐχθρούς μας ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας. Καί τώρα, Κύριε, σύ πού εἶσαι ὁ Πατέρας μας, ἐνῶ ἐμεῖς εἴμαστε χῶμα καί ὅλοι εἴμαστε ἔργο τῶν χεριῶν σου, μή δείξεις ὑπερβολική ὀργή ἐναντίον μας καί μή θημηθεῖς κατά τήν ὥρα ἐκείνη τίς ἁμαρτίες μας. Ἀλλά καί τώρα ρίξε τό στοργικό βλέμμα σου πρός ἐμᾶς, διότι ὅλοι ἐμεῖς εἴμαστε λαός δικός σου· ἡ πόλη τοῦ ἁγίου ναοῦ σου ἡ Σιών ἔγινε σάν ἔρημη · σάν ἔρημη ἔγινε ἡ Ἰερουσαλήμ. Κατάρα ἔγινε ὁ ἅγιος ναός μας καί ἡ δόξα, τήν ὁποία ἐξύμνησαν οἱ πατέρες μας ἔγινε παρανάλωμα τῆς φωτιᾶς καί ὅλα ἐκεῖνα πού ἀποτελοῦσαν κάποτε τή δόξα μας κατέπεσαν καί συντρίφτηκαν. Καί παρ' ὅλα αὐτά σύ, Κύριε, ἐξακολουθεῖς νά δείχνεις ἀνοχή καί νά σιωπᾶς κρατώντας μας σέ μιά τόσο μεγάλη ταπείνωση»[30].

39 Αὐτά βέβαια συνέβηκαν ὑπό μορφή προτυπώσεως στόν παλιό λαό σου, σήμερα ὅμως ἐκπληρώνονται στ' ἀλήθεια σέ μᾶς· «γίναμε ἄξιοι γιά γέλια στούς γείτονές μας τούς δαίμονες, ἄξιοι γιά ἐμπαιγμό καί χλευασμό στούς γύρω μας»[31]. Ὅμως ρίξε ψηλά ἀπ' τόν οὐρανό τό σπλαχνικό βλέμμα σου, πρόσεξέ μας καί σῶσε μας γιά τό ἅγιο ὀνομά σου· γνώρισέ μας τά δόλια τεχνάσματα τῶν ἐχθρῶν μας, λύτρωσέ μας ἀπό τίς μηχανορραφίες αὐτῶν καί μή ἀπομακρύνεις τή βοήθειά σου ἀπό ἐμᾶς, διότι ἐμεῖς δέν εἴμαστε ἱκανοί νά νικοῦμε τίς ἐπιθέσεις τῶν ἐχθρῶν μας, ἐνῶ σύ ἔχεις τή δύναμη νά μᾶς σώσεις ἀπό ὅλους τούς ἐχθρούς.

*τούτου, κατὰ τὴν χρηστότητά σου, ἵνα, ἐν καθαρᾷ συνειδήσει τὸ πέλαγος τοῦ βίου διαπεράσαντες, ἄμεμπτοι καὶ ἀκέραιοι τῷ φοβερῷ βήματί σου παραστάντες, ἀξιωθῶμεν τῆς αἰωνίου ζωῆς.*

40 *Ταῦτα πάντα ἀκούσας ὁ Ἀδελφός, καὶ σφόδρα κατανυγείς, μετὰ δακρύων εἶπε τῷ γέροντι, ὡς Ἐξ ὧν θεωρῶ, πάτερ, οὐχ ὑπολέλειπταί μοι ἐλπὶς σωτηρίας, «Αἱ γὰρ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου»· ἀλλὰ παρακαλῶ εἰπεῖν μοι τί ὤφειλον ποιῆσαι.*

*Καὶ ὁ Γέρων ἀποκριθεὶς εἶπε.*

*Τὸ σωθῆναι, παρὰ μὲν ἀνθρώποις ἀδύνατον, παρὰ δὲ τῷ Θεῷ πάντα δυνατά, ὡς αὐτὸς ἔφη ὁ Κύριος. «Προφθάσωμεν οὖν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, προσκυνήσωμεν καὶ προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν», καὶ ἀκούωμεν αὐτοῦ λέγοντος διὰ τῆς Ἠσαΐου φωνῆς, ὅτι «ὅταν ἀποστραφῇς καὶ στενάξῃς τότε σωθήσῃ». Καὶ πάλιν· «μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακούσασθαι; Ἀλλὰ τὰ ἁμαρτήματα ἡμῶν διιστῶσιν ἀναμέσον ἡμῶν καὶ τοῦ Θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ ἐλεῆσαι».*

*Διὸ λέγει· «λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν σου· παύσασθε τῶν πονηριῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν, ἐκζη-*

---

32. Ψαλμ. 37,5.
33. Ματθ. 19,26.
34. Ψαλμ. 94,2 -6.

Σῶσε μας, Κύριε, ἀπό τίς δυσχέρειες τοῦ κόσμου αὐτοῦ, σύμφωνα μέ τήν ἀγαθότητά σου, ὥστε, ἀφοῦ περάσουμε τό πέλαγος τῆς ζωῆς μέ καθαρή συνείδηση καί ἀκέραιοι, ν' ἀξιωθοῦμε ν' ἀπολαύσουμε τήν αἰώνια ζωή.

40 Ὅταν τά ἄκουσε ὅλα αὐτά ὁ Ἀδελφός κυριευμένος ἀπό βαθειά συντριβή καρδιᾶς καί μέ δάκρυα στά μάτια εἶπε στό γέροντα. Ἀπό αὐτά πού βλέπω, πάτερ, δέν μοῦ ἀπομένει ἐλπίδα σωτηρίας, διότι «οἱ ἁμαρτίες μου σηκώθηκαν πιό ψηλά ἀπό τό κεφάλι μου»[32]· ἀλλά σέ παρακαλῶ νά μοῦ πεῖς τί πρέπει νά κάνω.

Καί ὁ γέροντας ἀποκρίθηκε καί εἶπε.

Τό νά σωθεῖ κάποιος εἶναι ἀδύνατο βέβαια αὐτό στούς ἀνθρώπους, ὅμως εἶναι δυνατά τά πάντα στό Θεό[33], ὅπως ὁ ἴδιος ὁ Κύριος εἶπε· «ἄς βιασθοῦμε νά ἐμφανισθοῦμε μπροστά του μέ ὕμνους δοξολογίας, ἄς προσκυνήσουμε καί ἄς πέσουμε μπροστά του καί ἄς κλάψουμε μπροστά στόν Κύριο πού μᾶς ἔπλασε, διότι αὐτός εἶναι ὁ Θεός μας»[34], καί ἄς ἀκοῦμε αὐτόν πού λέγει μέ τή φωνή τοῦ Ἡσαΐα· «ὅταν ἀπομακρυνθεῖς ἀπό τό δρόμο μου καί στενάξεις γεμάτος ἀπό μετάνοια, τότε θά σωθεῖς»[35]. «Μήπως δέν ἔχει τή δύναμη τό παντοδύναμο χέρι τοῦ Κυρίου νά μᾶς σώσει; ἤ μήπως ἔγινε βαρύκοο τό αὐτί αὐτοῦ ὥστε νά μή ἀκούει πλέον; Ἀλλά τά ἁμαρτήματά μας δημιουργοῦν χωρισμό ἀνάμεσα σέ μᾶς καί στό Θεό, καί ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας ἀπέστρεψε ὁ Κύριος τό πρόσωπό του ἀπό μᾶς γιά νά μή μᾶς ἐλεήσει»[36].

Γι' αὐτό λέγει· «λουσθεῖτε καί γίνετε καθαροί· ἀφαιρέστε τίς κακίες ἀπό τίς ψυχές σας γιά νά εἶστε καθαροί μπροστά στά μάτια μου· σταματῆστε τίς κακίες σας· μάθετε νά

35. Ἡσ. 30,15.

36. Ἡσ. 59,1-2.

*τήσατε κρίσιν, ρύσατε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ». Καί, «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα». Καὶ πάλιν διὰ Ἰωήλ· «ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν· ἐν νηστείᾳ καὶ ἐν κλαυθμῷ καὶ κοπετῷ· διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ οὐ τὰ ἱμάτια ὑμῶν. Ἐλεήμων γὰρ καὶ οἰκτίρων ἐστὶ Κύριος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις». Πρὸς Ἰεζεκιὴλ δέ, «υἱὲ ἀνθρώπου, εἶπον τῷ οἴκῳ Ἰσραήλ. Οὕτως ἐλαλήσατε, λέγοντες, αἱ πλάναι ἡμῶν καὶ αἱ ἀνομίαι ἡμῶν ἐφ' ἡμῶν ἐστι, καὶ ἐν αὐταῖς τηκόμεθα· καὶ πῶς ζησόμεθα; Εἶπον αὐτοῖς· Ζῶ ἐγώ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὥστε ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν· ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;».*

***Ἡ δὲ τρίτη τῶν Βασιλειῶν, τὴν ὑπερβολὴν τῆς τοῦ Θεοῦ χρηστότητος φανεροῦσα, οὕτω λέγει, ἐν τῷ ἀκοῦσαι Ἀχαὰβ ὄντα αὐτὸν ἐν τῷ ἀμπελῶνι τοῦ Ναβουθαί, ὃν ἐκληρονόμησεν ἐν τῷ ἀποκτεῖναι αὐτὸν διὰ τῆς Ἰεζάβελ, τοὺς λόγους Ἠλίου, λέγοντος· «τάδε λέγει Κύριος· Ἐφόνευσας καὶ ἐκληρονόμησας· καὶ ἐν τῷ τόπῳ, ἐν ᾧ ἔλειξαν οἱ κύνες τὸ αἷμα Ναβουθαί, ἐκεῖ λείξουσιν οἱ κύνες τὸ αἷμα σου. Καὶ τὴν Ἰεζάβελ κύνες καταφάγονται ἐν τῷ προτειχίσματι τοῦ Ἰεζράελ. Καὶ ἐν τῷ ἀκοῦσαι Ἀχαὰβ τοὺς λόγους τούτους διέρρηξε τὰ***

37. Ἡσ. 1,16 - 20.

38. Ἰωήλ 2,12-13.

39. Ἰεζ. 33,10 - 11.

κάμνετε τό καλό, ἐπιδιῶξτε τό δίκιο, σῶστε τόν ἀδικούμενο, κρίνατε μέ δικαιοσύνη τό ὀρφανό καί ἀποδῶστε τό δίκιο στή χήρα, καί τότε ἐλᾶτε νά συζητήσουμε, λέγει ὁ Κύριος· καί ἄν εἶναι οἱ ψυχές σας ἐρυθρές ἀπό τίς ἁμαρτίες, σάν τό χιόνι θά τίς κάνω λευκές, ἄν πάλι εἶναι κατακκόκινες, θά τίς κάνω λευκές σάν τό ἄσπρο μαλλί. Καί ἐάν θελῆστε καί μέ ἀκοῦστε θά φᾶτε τά ἀγαθά τῆς γῆς. Διότι αὐτά τά εἶπε τό στόμα τοῦ Κυρίου»[37]. Καί πάλι μέ τόν Ἰωήλ λέγει· «ἐπιστρέψτε πρός ἐμένα μέ ὅλη τήν καρδιά σας, μέ νηστεῖες, μέ κλάματα καί θρήνους. Σχίστε τίς καρδιές σας καί ὄχι τά ροῦχα σας. Διότι ὁ Κύριος εἶναι γεμάτος ἀπό ἐλεημοσύνη καί εὐσπλαχνία καί ἀλλάζει ἀπόφαση γιά τίς κακίες»[38]. Πρός τόν Ἰεζεκιήλ πάλι λέγει· «υἱέ τοῦ ἀνθρώπου, εἶπα στόν ἰσραηλιτικό λαό. Μοῦ εἴπατε ἐπενειλημμένα τά ἑξῆς· Οἱ πλάνες μας καί οἱ ἁμαρτίες μας ἔπεσαν ἐπάνω μας καί ἐξ αἰτίας αὐτῶν λειώνουμε· καί πῶς θά ζήσουμε; Εἶπα σ' αὐτούς· Σᾶς ὁρκίζομαι, λέγει ὁ Κύριος· δέν θέλω τό θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλά θέλω νά ἐπιστρέψει αὐτός ἀπό τό δρόμο τῆς ἀσέβειας καί νά ζήσει. Πάρτε λοιπόν τήν ἀπόφαση καί ἐπιστρέψτε ἀπό τόν ἁμαρτωλό δρόμο πού βαδίζετε· γιατί παιθένετε, λαέ τοῦ Ἰσραήλ, ἐξ αἰτίας τῶν ἁμαρτιῶν σας;»[39].

Ἀλλά καί τό τρίτο βιβλίο τῶν Βασιλειῶν, φανερώνοντας τήν ὑπερβολική ἀγαθότητα τοῦ Θεοῦ, λέγει τά ἑξῆς, ὅταν ὁ Ἀχαάβ, βρισκόμενος στό ἀμπέλι τοῦ Ναβουθαί πού τό κληρονόμησε φονεύοντας αὐτόν μέ τήν ἐπέμβαση τῆς Ἰαζάβελ, ἄκουσε τόν Ἠλία νά τοῦ λέγει· «αὐτά λέγει ὁ Κύριος· φόνευσες τόν Ναβουθαί καί κληρονόμησες τό ἀμπέλι του, ἀλλ' ὅμως στόν τόπο ὅπου τά σκυλιά ἔγλειψαν τό αἷμα τοῦ Ναβουθαί, ἐκεῖ τά σκυλιά θά γλείψουν καί τό δικό σου αἷμα. Καί τήν Ἰεζάβελ τά σκυλιά θά τήν καταφάγουν μπροστά στό τεῖχος τῆς πόλεως Ἰεζράελ. Καί ὅταν ὁ Ἀχαάβ ἄκουσε τά λόγια αὐτά, ἔσχισε τά ροῦχα

*ἱμάτια αὐτοῦ, καὶ ἔθετο σάκκον ἐπὶ τὴν σάρκα αὐτοῦ, καὶ ἐνήστευσε, καὶ ἐκοιμήθη ἐν τῷ σάκκῳ. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἠλιοῦ, λέγων· «ἑώρακας ὡς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; Οὐκ ἐπάξω κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ».*

*Ὁ δὲ Δαβὶδ φησί· «τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα, Ἐξαγόρευσα κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτω· καὶ ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν».*

*Ἐν δὲ τῷ Εὐαγγελίῳ ὁ Κύριος, «μετανοεῖτε», φησίν, «ἤγγισε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν». Τοῦ δὲ Πέτρου πυθομένου, «ποσάκις τῆς ἡμέρας, ἐὰν ἁμάρτη εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;», ἀποκρίνεται αὐτῷ ὁ φύσει ἀγαθὸς καὶ ἀνείκαστος ἐν χρηστότητι· «οὐ λέγω σοι ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά». Τί ταύτης τῆς ἀγαθότητος ἰσόρροπον; τί ταύτης τῆς φιλανθρωπίας ἐφάμιλλον;*

*41 Ἐγνωκότες οὖν τὸν τοῦ Κυρίου φόβον, τήν τε χρηστότητα αὐτοῦ καὶ τὴν φιλανθρωπίαν ἔκ τε τῆς Παλαιᾶς καὶ τῆς Καινῆς διαθήκης, ἐπιστρέψωμεν ἐξ ὅλης τῆς καρδίας ἡμῶν· καὶ ἵνα τί ἀπολλύμεθα, ἀδελφοί; Καθαρίσωμεν χεῖρας, οἱ ἁμαρτωλοί· ἁγνίσωμεν τὰς καρδίας ἡμῶν, οἱ δίψυχοι· ταλαιπω-*

---

**40. Βασ. Γ' 21,19 ·23 ·27-29.**

**41. Ψαλμ. 31, 5 - 6.**

**42. Ματθ. 4,17.**

**43. Ματθ. 18,21.**

του, φόρεσε στό σῶμα του σάκκο, καί μίλησε πάλι ὁ Κύριος πρός τόν Ἠλία καί εἶπε· Εἶδες πῶς ὁ Ἀχαάβ ἐκδήλωσε τήν συντριβή τῆς καρδιᾶς του μπροστά μου; Γι' αὐτό δέν θά στείλω ἐναντίον του τήν τιμωρία κατά τίς ἡμέρες αὐτές πού ζεῖ»[40].

Ὁ Δαβίδ πάλι λέγει· «τήν ἀνομία μου ἐξομολογήθηκα στόν Κύριο καί τήν ἁμαρτία μου δέν τήν ἀπέκρυψα. Εἶπα· Ἐξομολογήθηκα μ' εἰλικρίνεια τήν ἁμαρτία μου στόν Κύριο καί σύ συγχώρησες τήν ἀσέβεια τῆς καρδιᾶς μου. Γιά τό λόγο λοιπόν ὅτι παρέχεις πλούσιο τό ἔλεός σου γι' αὐτό θά προσευχηθεῖ πρός ἐσένα κάθε εὐσεβής κατά τόν κατάλληλο καιρό τῆς μετανοίας, καί ὅταν οἱ συμφορές σάν κατακλυσμός πολλῶν ὑδάτων πέσουν ἐναντίον του θά προστατευθεῖ ἀπ' αὐτές καί δέν θά τόν ἐγγίσουν»[41].

Στό Εὐαγγέλιο πάλι ὁ Κύριος λέγει· «μετανοεῖτε, διότι πλησίασε πάρα πολύ ἡ βασιλεία τῶν οὐρανῶν»[42]. Στήν ἐρώτηση πάλι τοῦ Πέτρου, «πόσες φορές νά συγχωρήσω τόν ἀδελφό μου ἄν ἐξακολουθεῖ ν' ἁμαρτάνει ἀπέναντί μου; μέχρι ἑφτά φορές;»[43], ἀποκρίνεται πρός αὐτόν ὁ ἀπό τή φύση του ἀγαθός Κύριος καί ἀφάνταστα μεγάλος σέ καλωσύνη· «δέν σοῦ λέγω μέχρι ἑφτά φορές, ἀλλά μέχρι ἑβδομήντα φορές τό ἑφτά»[44]. Τί ὑπάρχει ἰσάξιο μέ αὐτή τή φιλανθρωπία;

41 Γνωρίζοντας λοιπόν τόν φόβο τοῦ Κυρίου καθώς καί τήν ἀγαθότητα καί φιλανθρωπία αὐτοῦ καί ἀπό τήν Παλαιά καί ἀπό τήν Καινή Διαθήκη, ἄς ἐπιστρέψουμε σ' αὐτόν μέ ὅλη τήν καρδιά μας. Καί γιατί ὁδηγούμαστε, ἀδελφοί, στήν ἀπώλεια; Ἄς καθαρίσουμε τά χέρια μας ὅσοι εἴμαστε ἁμαρτωλοί· ἄς καταστήσουμε ἁγνές τίς καρδιές μας, ὅσοι εἴμαστε δίψυχοι· ἄς κοπιάσουμε καί ἄς πενθήσουμε

---

44. Ματθ. 19,22.

*ρήσωμεν καὶ πενθήσωμεν καὶ κλαύσωμεν διὰ τὰς ἁμαρτίας ἡμῶν. Παυσώμεθα τῶν πονηριῶν ἡμῶν· πιστεύσωμεν ταῖς εὐσπλαγχνίαις τοῦ Κυρίου· φοβηθῶμεν τὰς ἀπειλὰς αὐτοῦ, φυλάξωμεν τὰς ἐντολὰς αὐτοῦ· ἀγαπήσωμεν ἀλλήλους ἐξ ὅλης καρδίας. Εἴπωμεν, ἀδελφοὶ ἡμῶν, καὶ τοῖς μισοῦσιν ἡμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα Κυρίου δοξασθῇ, καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτοῦ. Δῶμεν συγγνώμην ἀλλήλοις, δι' ἀλλήλων πειραζόμενοι, ὡς πάντες ὑπὸ κοινοῦ ἐχθροῦ πολεμούμενοι. Ἀντιστῶμεν τοῖς λογισμοῖς ἡμῶν, τὸν Θεὸν εἰς συμμαχίαν ἐπικαλούμενοι· καὶ φυγαδεύωμεν ἐξ ἡμῶν τὰ πονηρὰ καὶ ἀκάθαρτα πνεύματα. Ὑποτάξωμεν τὴν σάρκα τῷ πνεύματι, ὑπωπιάζοντες καὶ δουλαγωγοῦντες δι' ἁπάσης κακοπαθείας· «Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος». Διεγείρωμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων.*

*Μὴ φθονήσωμεν ἀλλήλοις, μηδὲ φθονούμενοι ἀγριωθῶμεν· συμπαθήσωμεν δὲ μᾶλλον ἀλλήλοις καὶ διὰ ταπεινοφροσύνης ἀλλήλους ἰασώμεθα. Μὴ καταλαλῶμεν ἀλλήλων, μηδὲ σκώψωμεν ἀλλήλους· ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ἀποβάλλωμεν ἀφ' ἡμῶν τὴν ἀμέλειαν καὶ τὴν ῥᾳθυμίαν καὶ στῶμεν ἀνδρείως κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀγωνιζόμενοι. Καὶ ἔχομεν παράκλητον Ἰησοῦν Χριστὸν δίκαιον πρὸς τὸν Πατέρα· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ δεηθῶμεν αὐτοῦ ἐν καθαρᾷ καρδίᾳ, ἐξ ὅλης ψυχῆς ἡμῶν, καὶ ἀφίησιν ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· ὅτι «ἐγγὺς Κύ-*

---

45. Α' Κορ. 9,27.
46. Ἐφ. 4,26.

καί ἄς κλάψουμε γιά τίς ἁμαρτίες μας. Ἄς σταματήσουμε τίς κακίες μας καί ἄς πιστέψουμε στήν εὐσπλαχνία τοῦ Κυρίου· ἄς φοβηθοῦμε τίς ἀπειλές αὐτοῦ καί ἄς φυλάξουμε τίς ἐντολές του· ἄς ἀγαπήσουμε μέ ὅλη τήν καρδιά μας ὁ ἕνας τόν ἄλλο. Ἄς μιλοῦμε, ἀδελφοί μας, καί μ' ἐκείνους πού μᾶς μισοῦν καί μᾶς ἀποστρέφονται, γιά νά δοξασθεῖ τό ὄνομα τοῦ Κυρίου καί νά γίνει φανερό μέσα ἀπό τήν εὐφροσύνη αὐτοῦ. Ἄς συγχωρήσουμε ὁ ἕνας τόν ἄλλο, δοκιμαζόμενοι ἀναμεταξύ μας, σάν νά πολεμούμαστε ὅλοι ἀπό κοινό ἐχθρό. Ἄς προβάλλομε ἀντίσταση στούς λογισμούς μας, ἐπικαλούμενοι τόν Θεό σέ βοήθεια, καί θ' ἀπομακρύνουμε τά πονηρά καί ἀκάθαρτα πνεύματα ἀπό κοντά μας. Ἄς ὑποτάξουμε τή σάρκα στό πνεῦμα, σκληραγωγώντας αὐτήν καί μεταχειρίζοντάς την σάν δούλη μέ κάθε εἶδος κακοπαθήματος[45]· «ἄς καθαρίσουμε τούς ἑαυτούς μας ἀπό κάθε σαρκικό καί πνευματικό μολυσμό». Ἄς διεγείρουμε ὁ ἕνας τόν ἄλλο πρός ἐκδήλωση ἀγάπης καί διάπραξη ἔργων καλῶν.

Ἄς μή φθονοῦμε ὁ ἕνας τόν ἄλλο, οὔτε ὅταν μᾶς φθονοῦν νά ἐκδηλωνόμαστε μέ ἀγριότητα· ἄς δείξουμε περισσότερη συμπάθεια ὁ ἕνας πρός τόν ἄλλο καί μέ τήν ταπεινοφροσύνη ἄς θεραπεύσουμε ὁ ἕνας τόν ἄλλο. Ἄς μή κακολογοῦμε ὁ ἕνας τόν ἄλλο οὔτε νά χλευαζόμαστε ἀναμεταξύ μας, διότι εἴμαστε μέλη ὁ ἕνας τοῦ ἄλλου[46]. Ἄς διώξουμε ἀπό πάνω μας τήν ἀδιαφορία καί τή ὀκνηρία καί ἄς σταθοῦμε μέ ἀνδρειοσύνη ἀπέναντι στά πνεύματα τῆς πονηρίας, ἀγωνιζόμενοι ἐναντίον τους, καί θά ἔχομε παράκλητο πρός τόν Πατέρα του τόν Ἰησοῦ Χριστό, τόν δίκαιο[47], πού ὁ ἴδιος εἶναι μέσο ἐξιλασμοῦ γιά τίς ἁμαρτίες μας, καί ἄς τόν παρακαλέσουμε μέ καθαρή καρδιά καί μέ ὅλη τήν ψυχή μας, καί νά εἴμαστε βέβαιοι ὅτι θά συγχωρήσει τίς ἁμαρτίες μας· διότι «ὁ Κύριος βρίσκεται κοντά

47. Α' Ἰω. 2,1.

*ριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ». Διὸ λέγει· «θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου· καὶ ἐξελοῦμεί σε, καὶ δοξάσεις με».*

*Καὶ ὁ Ἡσαΐας δὲ πάλιν· «λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. Διάθρυπται πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκον σου. Ἐὰν ἴδῃς γυμνόν, περίβαλε· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐ παρόψει. Τότε ραγήσεται πρώϊμον τὸ φῶς σου καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. Καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου· καὶ δόξα Κυρίου περιστελεῖ σε». Καὶ τί τὸ ἐπὶ τούτοις; «τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, Ἰδοὺ πάρειμι. Τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου καὶ τὸ σκότος σου ὡς μεσημβρία. Καὶ ἔσται Θεὸς μετὰ σοῦ διαπαντός· καὶ ἐμπλησθήσῃ καθὰ ἐπιθυμεῖ ἡ ψυχή σου». Ὁρᾷς ὅτι ἐν τῷ λύειν πάντα σύνδεσμον ἀδικίας ἐκ τῆς καρδίας ἡμῶν καὶ διαλύειν πᾶσαν στραγγαλιὰν βιαίων συναλλαγμάτων μνησικακίας, καὶ σπεύδειν εὐεργετεῖν τὸν πλησίον ἐξ ὅλης ψυχῆς, τῷ φωτὶ τῆς γνώσεως περιλαμπόμεθα, καὶ τῶν παθῶν τῆς ἀτιμίας ἐλευθερούμεθα, καὶ πάσης ἀρετῆς πληρούμεθα, καὶ ὑπὸ τῆς δόξης τοῦ Θεοῦ καταλαμπόμεθα,*

48. Ψαλμ. 144,18.
49. Ψαλμ. 49,14.
50. Ἠσ. 58,6-8.
51. Ἠσ. 58,9-11.

σ' ἐκείνους πού ζητοῦν τή βοήθεια του ἀληθινά»[48]. Γι' αὐτό λέγει· «πρόσφερε στό Θεό θυσία δοξολογίας καί ἀπόδοσε στόν Ὕψιστο τίς προσευχές σου. Καί ζήτησε τή βοήθειά μου κατά τήν ὥρα τῆς θλίψεώς σου, ἀπό τήν ὁποία θά σέ λυτρώσω καί θά μέ δοξάσεις»[49].

Καί ὁ Ἡσαΐας πάλι λέγει· «λύε κάθε δεσμό καί σχέση μέ τήν ἀδικία, ἀκύρωσε καί σχίσε κάθε παράνομη συμφωνία πού μέ ἐξαναγκασμό ἔκανες μέ τούς ἄλλους, στεῖλε ἐλεύθερους τούς συντριμμένους ἀπό τόν πόνο, καί ξέσχισε κάθε συμβόλαιο ἄδικης συναλλαγῆς. Κόβε τό ψωμί σου καί μοιράσου το μέ τόν φτωχό καί βάλε μέσα στό σπίτι σου τούς ἄστεγους φτωχούς. Ἐάν δεῖς γυμνό, ντύσε τον, καί μή τόν περιφρονήσεις ἀπέναντι στούς δικούς σου. Τότε θά ἀναλάμψει τό φῶς σου σάν τό φῶς τῆς χαραυγῆς καί θ' ἀνατείλει γρήγορα ἡ θεραπεία τῶν πληγῶν σου. Καί τότε θά βαδίζει μπροστά σου ἡ ἀρετή σου καί ἡ δόξα τοῦ Κυρίου θά σέ περιβάλλει»[50]. Καί ποιό θά εἶναι τό ἀποτέλεσμα γιά ὅλα αὐτά; «Τότε θά φωνάξεις πρός τό Θεό καί αὐτός θά εἰσακούσει τήν προσευχή σου· καί ἐνῶ ἀκόμα θά προσεύχεσαι πρός αὐτόν, θά σοῦ πεῖ, Νά, εἶμαι παρών. Τότε μέσα στό σκοτάδι τῆς θλίψεως θ' ἀνατείλει τό φῶς τῆς χαρᾶς καί τό σκοτάδι ἐκεῖνο θά μεταβληθεῖ σάν τό φῶς τῆς μεσημβρίας. Καί ὁ Θεός θά βρίσκεται πάντοτε μαζί σου, καί θά χορτάσεις ὅλα ἐκεῖνα πού ἐπιθυμεῖ ἡ ψυχή σου»[51]. Βλέπεις ὅτι μέ τό νά λύομε κάθε δεσμό ἀδικίας μέσα ἀπό τήν καρδιά μας καί νά ἀκυρώνουμε καί ξεσχίζουμε κάθε συμφωνία πού κάναμε μέ καταναγκαστικό τρόπο καί μνησικακία κατά τίς συναλλαγές μας, καί νά σπεύδουμε νά εὐεργετοῦμε τόν πλησίον μας μέ ὅλη τήν ψυχή μας ἀποκτοῦμε τό περίλαμπρο φῶς τῆς γνώσεως, ἐλευθερωνόμαστε ἀπό τά πάθη τῆς ἀτιμίας, πληρούμαστε ἀπό κάθε ἀρετή, καταλαμπρυνόμαστε ἀπό τή δόξα τοῦ Θεοῦ καί ἐλευθερωνόμαστε ἀπό κάθε ἄγνοια, καί τότε,

*καὶ πάσης ἀγνοίας ἐλευθερούμεθα· καὶ προσευχόμενοι τὰ Χριστοῦ, εἰσακουόμεθα, καὶ τὸν Θεὸν μεθ' ἡμῶν ἕξομεν διὰ παντός, καὶ τῆς κατὰ Θεὸν ἐπιθυμίας πληρούμεθα.*

42 *Ἀγαπήσωμεν οὖν ἀλλήλους, καὶ ἀγαπώμεθα ὑπὸ τοῦ Θεοῦ. Μακροθυμήσωμεν ἐπ' ἀλλήλοις, καὶ μακροθυμεῖ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν. Μὴ ἀποδῶμεν κακὸν ἀντὶ κακοῦ, καὶ οὐκ ἀπολαμβάνομεν κατὰ τὰς ἁμαρτίας ἡμῶν. Τὴν γὰρ συγχώρησιν τῶν παραπτωμάτων ἡμῶν ἐν τῇ συγχωρήσει τῶν ἀδελφῶν εὑρίσκομεν. Καὶ τὸ ἔλεος τοῦ Θεοῦ ἐν τῇ ἐλεημοσύνῃ τοῦ πλησίον ἐγκέκρυπται. Διὰ τοῦτο ὁ Κύριος ἔλεγεν· «ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν». Καί, «ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν». Καὶ πάλιν· «μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται». Καί, «ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν». Ἰδοὺ ἐχαρίσατο ἡμῖν ὁ Κύριος τρόπον σωτηρίας καὶ ἔδωκεν ἡμῖν ἐξουσίαν αἰώνιον τοῦ γενέσθαι τέκνα Θεοῦ· καὶ ἐν τῷ θελήματι ἡμῶν ἐστι λοιπὸν ἡ σωτηρία ἡμῶν.*

43 *Δῶμεν οὖν ἑαυτοὺς τῷ Κυρίῳ ἐξ ὁλοκλήρου, ἵνα ὁλόκληρον αὐτὸν ἀντιλάβωμεν. Γενώμεθα θεοὶ δι' αὐτόν· διὰ γὰρ τοῦτο ἄνθρωπος γέγονε, φύσει ὢν Θεὸς καὶ Δεσπότης. Ὑπακούσωμεν αὐτῷ, καὶ αὐτὸς ἀκαμάτως ἀμύνεται τοὺς ἐχθροὺς ἡμῶν· «εἰ ὁ λαός μου ἤκουσέ μου», φησίν, «Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν*

---

52. Ρωμ. 12,17.
53. Ματθ. 6,14.
54. Ματθ. 5,7.
55. Ματθ. 7,2.

προσευχόμενοι πρός τό Χριστό, εἰσακουόμαστε, ἀλλά καί θά ἔχομε γιά πάντα τό Θεό μαζί μας καί θά ἐκπληρώνεται κάθε ἐπιθυμία μας πού εἶναι σύμφωνη μέ τό θέλημα τοῦ Θεοῦ.

42 Ἂς ἀγαπήσουμε λοιπόν ὁ ἕνας τόν ἄλλο καί θ' ἀγαπιόμαστε ἀπό τό Θεό. Ἂς δείξουμε μακροθυμία ὁ ἕνας πρός τόν ἄλλο καί θά δείξει καί ὁ Θεός μακροθυμία γιά τίς ἁμαρτίες μας. Ἂς μή ἀνταποδώσουμε κακό γιά κακό πού μᾶς ἔκαναν[52] καί δέν θά τιμωρηθοῦμε σύμφωνα μέ τίς ἁμαρτίες μας. Διότι τή συγχώρηση τῶν παραπτωμάτων μας τή βρίσκουμε στή συγχώρηση τῶν ἀδελφῶν μας. Καί τό ἔλεος τοῦ Θεοῦ βρίσκεται κρυμμένο στήν εὐσπλαχνία μας πρός τόν πλησίον. Γι' αὐτό καί ὁ Κύριος ἔλεγε· «Συγχωρῆστε, καί θά συγχωρηθεῖτε καί σεῖς». Καί, «ἐάν συγχωρῆστε τά κακά πού σᾶς ἔκαναν οἱ ἄνθρωποι, θά συγχωρήσει καί ὁ Πατέρας σας ὁ οὐράνιος τά παραπτώματά σας»[53]. Καί πάλι· «μακάριοι εἶναι ἐκεῖνοι πού δείχνουν εὐσπλαχνία, γιατί αὐτοί θά ἐλεηθοῦν»[54]. Καί, «μέ ὅποιο μέτρο μετρᾶτε, θά μετρηθεῖτε καί σεῖς»[55]. Νά, μᾶς χάρισε ὁ Κύριος τρόπους σωτηρίας καί μᾶς ἔδωσε ἐξουσία αἰώνια νά γίνουμε τέκνα τοῦ Θεοῦ[56]· στή θέλησή μας λοιπόν βρίσκεται ἡ σωτηρία μας.

43 Ἂς δώσουμε λοιπόν τούς ἑαυτούς μας ἐξ ὁλοκλήρου στόν Κύριο, γιά νά λάβουμε ἔναντι αὐτοῦ ὁλόκληρον αὐτόν. Ἂς γίνουμε θεοί γι' αὐτόν· διότι γι' αὐτό ἔγινε ἄνθρωπος, ἐνῶ ἐκ φύσεως εἶναι Θεός καί Δεσπότης. Ἂς ὑπακούσουμε σ' αὐτόν, καί αὐτός ἀκούραστα θά πολεμήσει τούς ἐχθρούς μας· «ἐάν ὁ λαός μου μέ ἄκουε, ἐάν ὁ ἰσραηλιτικός λαός βάδιζε σύμφωνα μέ τίς ἐντολές μου, γιά τό παραμικρό θά ταπείνωνα τούς ἐχθρούς τους, καί θά κατέφερνα τό χέρι μου ἐναντίον ἐκείνων πού τούς κατα-

56. Ἰω. 1,12.

*χεῖρά μου. Πᾶσαν τὴν ἐλπίδα ἡμῶν ἐπ' αὐτὸν μόνον θήσωμεν». Καὶ πᾶσαν τὴν μέριμναν ἡμῶν ἐπ' αὐτὸν μόνον ρίψωμεν, καὶ ἐκ πάσης θλίψεως, αὐτὸς ἡμᾶς ρύσεται· καὶ πάντα τὸν βίον, αὐτὸς ἡμᾶς διαθρέψει. Πάντα μὲν ἄνθρωπον ἐκ ψυχῆς ἀγαπήσωμεν· ἐπὶ μηδενὶ δὲ ἀνθρώπων τὴν ἐλπίδα θήσωμεν· ὅτι ἐφ' ὅσον ὁ Κύριος συντηρεῖ ἡμᾶς, καὶ οἱ φίλοι πάντες ἡμᾶς περιέπουσι, καὶ οἱ ἐχθροὶ πάντες πρὸς ἡμᾶς ἀδυνατοῦσιν. Ἐπὰν δὲ ὁ Κύριος ἡμᾶς ἐγκαταλείπῃ, τότε καὶ οἱ φίλοι πάντες ἐγκαταλείπουσι, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἰσχύουσιν. Ἀλλὰ καὶ ὁ εἰς σεαυτὸν θαρρῶν, πεσεῖται πτῶμα ἐξαίσιον, ὁ δὲ φοβούμενος τὸν Κύριον, ὑψωθήσεται. Διὰ τοῦτο ὁ Δαβὶδ ἔλεγεν· «οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ καὶ ἡ ρομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας».*

*44* *Μὴ ἀνασχώμεθα τῶν λογισμῶν τῶν σμικρυνόντων ἡμῶν τὰς ἁμαρτίας καὶ τὴν ἄφεσιν αὐτῶν γεγονέναι μαντευομένων. Περὶ αὐτῶν γὰρ ὁ Κύριος ἀσφαλιζόμενος ἡμᾶς, ἔλεγε· «προσέχετε ἑαυτοῖς ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἐλεύσονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων· ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες». Ἐφ' ὅσον γὰρ ὁ νοῦς ἡμῶν ὑπὸ τῆς ἁμαρτίας ὀχλεῖται, οὔπω τῆς συγχωρήσεως αὐτῆς ἐτύχομεν· οὐδέπω γὰρ καρποὺς ἀξίους τῆς μετανοίας πεποιήκαμεν. Καρπὸς μετανοίας ἐστίν, ἀπάθεια ψυχῆς· ἀπάθεια δέ, ἐξάλειψις ἁμαρτίας. Οὔπω δὲ ἔχομεν τελείαν ἀπάθειαν, ποτὲ δὲ μὴ ὀχλούμενοι. Οὐκ ἄρα τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τελείως ἐτύχομεν. Τῆς*

57. Ψαλμ. 80,14-15.
58. Ψαλμ. 7.8

θλίβουν»[57]. Ὅλη τήν ἐλπίδα μας σ' αὐτόν μόνο ἄς τή στηρίξουμε. Καί ὅλη τή φροντίδα μας σ' αὐτόν ἄς τήν ἀφιερώσουμε καί αὐτός θά μᾶς ἐλευθερώσει ἀπό κάθε θλίψη, καί σ' ὅλη τή ζωή μας αὐτός θά μᾶς διαθρέψει. Κάθε ἄνθρωπο βέβαια νά τόν ἀγαπήσουμε μέ ὅλη μας τήν ψυχή, σέ κανένα ἄνθρωπο ὅμως ἄς μή στηρίξουμε τήν ἐλπίδα μας· γιατί, ὅσον καιρό ὁ Κύριος μᾶς συντηρεῖ, ὅλοι οἱ φίλοι μᾶς φροντίζουν καί ἐνδιαφέρονται γιά μᾶς, ἐνῶ ὅλοι οἱ ἐχθροί μας ἀδυνατοῦν νά μᾶς κάνουν κακό, ὅταν ὅμως μᾶς ἐγκαταλείψει ὁ Κύριος, τότε καί ὅλοι οἱ φίλοι μᾶς ἐγκαταλείπουν, καί ὅλοι οἱ ἐχθροί μας ὑπερισχύουν ἀπέναντί μας. Ἀλλά καί ἐκεῖνος πού δείχνει ἐμπιστοσύνη στόν ἑαυτό του, θά ὑποστεῖ μεγάλη πτώση, ἐνῶ ἐκεῖνος πού φοβᾶται τόν Κύριο, θά ὑψωθεῖ. Γι' αὐτό ὁ Δαβίδ ἔλεγε· «δέν θά στηρίξω τήν ἐλπίδα μου στό τόξο μου, καί ἡ ρομφαία μου δέ θά μέ σώσει· γιατί σύ μᾶς ἔσωσες ἀπό ἐκείνους πού μᾶς θλίβουν, καί σύ καταξευτέλισες ἐκείνους πού μᾶς μισοῦν»[58].

Ἄς μή ἀνεχόμαστε τούς λογισμούς πού μικραίνουν τίς ἁμαρτίες μας καί προμαντεύουν ὅτι αὐτές θά συγχωρηθοῦν. Γιατί ὁ Κύριος γιά νά μᾶς προφυλάξει ἀπό αὐτούς, ἔλεγε· «νά προφυλάσσετε τόν ἑαυτό σας ἀπό τούς ψευδοπροφῆτες, πού θά ἔρθουν πρός ἐσᾶς μέ ἔνδυμα προβάτου, ἀλλά ἀπό μέσα τους εἶναι λύκοι ἅρπαγες»[59]. Διότι, ἐφόσον ὁ νοῦς μας ἐνοχλεῖται ἀπό τήν ἁμαρτία, δέν ἐπετύχαμε τή συγχώρηση αὐτῆς· γιατί δέν ἔχουμε παράγει ἀκόμα καρπούς ἄξιους μετανοίας. Καρπός μετανοίας εἶναι ἡ ἀπάθεια τῆς ψυχῆς, ἐνῶ ἀπάθεια εἶναι ἡ ἐξάλειψη τῆς ἁμαρτίας. Δέν ἔχουμε λοιπόν ἀκόμα τέλεια ἀπάθεια, ἄλλοτε ἐνοχλούμενοι ἀπό τά πάθη καί ἄλλοτε μή ἐνοχλούμενοι ἀπό αὐτά. Ἐπομένως δέν ἐπιτύχαμε ἀκόμα τήν τέλεια ἄφεση τῶν ἁμαρτιῶν. Γιατί ἀπό τήν προγονική

59. Ματθ. 7,15.

*μὲν γὰρ προγονικῆς ἁμαρτίας διὰ τοῦ ἁγίου βαπτίσματος ἐλευθερώθημεν, τῆς δὲ μετὰ τὸ βάπτισμα τολμηθείσης, διὰ τῆς μετανοίας ἐλευθερούμεθα.*

*Μετανοήσωμεν οὖν γνησίως, ἵνα τῶν παθῶν ἐλευθερούμενοι, τῆς τῶν ἁμαρτιῶν ἀφέσεως τύχωμεν. Περιφρονήσωμεν τῶν προσκαίρων, ἵνα μὴ δι' αὐτὰ τοῖς ἀνθρώποις μαχόμενοι, τὴν ἐντολὴν τῆς ἀγάπης παραβῶμεν καὶ τῆς τοῦ Θεοῦ ἀγάπης ἐκπέσωμεν. «Πνεύματι περιπατῶμεν καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσομεν». Γρηγορήσωμεν, νήψωμεν· ἀποβάλωμεν λοιπὸν τὸν ὕπνον τῆς ῥᾳθυμίας. Ζηλώσωμεν τοὺς ἁγίους ἀθλητὰς τοῦ Σωτῆρος· μιμησώμεθα αὐτῶν τοὺς ἀγῶνας, τῶν ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι. Μιμησώμεθα τὸν ἀκατάπαυστον αὐτῶν δρόμον, τὴν ζέουσαν προθυμίαν, τῆς ἐγκρατείας τὴν καρτερίαν, τῆς σωφροσύνης τὸν ἁγιασμόν, τῆς ὑπομονῆς τὴν γενναιότητα, τῆς μακροθυμίας τὴν ἀνοχήν, τῆς συμπαθείας τὸν οἶκτον, τῆς πραΰτητος τὸ ἀτάραχον, τοῦ ζήλου τὴν θερμότητα, τῆς ἀγάπης τὸ ἀνυπόκριτον, τῆς ταπεινοφροσύνης τὸ ὕψος, τῆς ἀκτημοσύνης τὸ ἀπέριττον, τὴν ἀνδρείαν, τὴν χρηστότητα, τὴν ἐπιείκειαν.*

*Μὴ ὑπτιωθῶμεν ταῖς ἡδοναῖς· μὴ χαυνωθῶμεν τοῖς λογισμοῖς· μὴ ῥυπώσωμεν τὴν συνείδησιν· «τὴν εἰρήνην διώκωμεν μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Καὶ ἐπὶ τούτοις, φύγωμεν τὸν κόσμον, ἀδελφοί,*

60. Γαλ. 5,16.
61. Φιλιπ. 3,13.

ἁμαρτία ἐλευθερωθήκαμε μέ τό ἅγιο βάπτισμα, ἐνῶ ἀπό τήν ἁμαρτία πού διαπράξαμε μετά τό βάπτισμα ἐλευθερωνόμαστε μέ τή μετάνοια.

45 Ἄς μετανοήσουμε λοιπόν γνήσια, ὥστε, ἀφοῦ ἐλευθερωθοῦμε ἀπό τά πάθη, νά ἐπιτύχουμε τήν ἄφεση τῶν ἁμαρτιῶν. Ἄς περιφρονήσουμε τά πρόσκαιρα, γιά νά μή συμβεῖ, μαχόμενοι μέ τούς ἀνθρώπους, νά παραβοῦμε τήν ἐντολή τῆς ἀγάπης καί νά ἐκπέσουμε ἀπό τήν ἀγάπη τοῦ Θεοῦ· «ἄς βαδίζουμε ὁδηγούμενοι ἀπό τό Πνεῦμα καί τότε δέν θά ἐκτελοῦμε τήν ἐπιθυμία τῆς σάρκας»[60]. Ἄς δείχνουμε ἐγρήγορση καί νηφαλιότητα καί ἄς ἀποβάλομε τόν ὕπνο τῆς ραθυμίας. Ἄς γίνουμε μιμητές τῶν ἁγίων ἀθλητῶν τοῦ Σωτῆρος, ἄς μιμηθοῦμε τούς ἀγῶνες αὐτῶν, λησμονώντας τά περασμένα καί στρέφοντας ὅλη τή φροντίδα μας σ' αὐτά πού βρίσκονται μπροστά μας[61]. Ἄς μιμηθοῦμε τόν ἀκατάπαυστο δρόμο αὐτῶν, τήν ὁλόθερμη προθυμία τους, τήν καρτερία τῆς ἐγκράτειας, τόν ἁγιασμό τῆς σωφροσύνης, τῆς ὑπομονῆς τή γενναιότητα, τήν ἀνοχή τῆς μακροθυμίας, τόν οἶκτο τῆς συμπάθειας, τήν ἀταραξία τῆς πραότητας, τή θερμότητα τοῦ ζήλου, τό ἀνυπόκριτο τῆς ἀγάπης , τό ὕψος τῆς ταπεινοφροσύνης, τό ἀπροσποίητο τῆς ἀκτημοσύνης, τήν ἀνδρεία, τήν ἀγαθότητα, τήν ἐπιείκεια.

Ἄς μή παρασυρθοῦμε ἀπό τίς ἡδονές, ἄς μή ἀποχαυνώσουμε τούς λογισμούς μας, ἄς μή μολύνουμε τή συνείδησή μας· «τήν εἰρήνη ἄς ἐπιδιώκουμε μέ ὅλους καί τόν ἁγιασμό, χωρίς τόν ὁποῖο κανένας δέν θά δεῖ τόν Κύριο»[62]. Καί μαζί μέ ὅλα αὐτά, ἄς ἀποφύγουμε τόν κόσμο καί τόν κοσμοκράτορα. Ἄς ἀπαρνηθοῦμε τή σάρκα καί

62. Ἑβρ. 12,14.

*καὶ τὸν κοσμοκράτορα. Καταλείψωμεν τὴν σάρκα καὶ τὰ σαρκικά. Εἰς οὐρανοὺς ἀναδράμωμεν· ἐκεῖ ἕξωμεν ἡμῶν τὸ πολίτευμα. Τὸν θεῖον Ἀπόστολον μιμησώμεθα, τὸν Ἀρχηγὸν τῆς ζωῆς καταλάβωμεν, τῆς πηγῆς τῆς ζωῆς ἀπολαύσωμεν. Σὺν ἀγγέλοις χορεύσωμεν, σὺν ἀρχαγγέλοις ὑμνήσωμεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τά σαρκικά. Ἄς τρέξουμε πρός τούς οὐρανούς, ἐκεῖ ἄς ἔχομε τό πολίτευμά μας[63]. Ἄς μιμηθοῦμε τόν θεῖο Ἀπόστολο, τόν Ἀρχηγό τῆς ζωῆς ἄς κάνουμε δικό μας, ἄς ἀπολαύσουμε τήν πηγή τῆς ζωῆς. Ἄς καταταγοῦμε στό χορό τῶν ἀγγέλων, ἄς ὑμνήσουμε μαζί μέ τούς ἀρχαγγέλους τόν Κύριό μας τόν Ἰησοῦ Χριστό, στόν ὁποῖο ἀνήκει ἡ δόξα καί ἡ δύναμη μαζί μέ τόν Πατέρα καί τό ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

63. Φιλιπ. 3,20.



# ΚΕΦΑΛΑΙΑ
# ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ
# ΚΑΙ
# ΤΗΣ ΕΝΣΑΡΚΟΥ ΟΙΚΟΝΟΜΙΑΣ
# ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΘΕΟΥ

*ΚΕΦΑΛΑΙΑ Σ'*

## *ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ ΚΑΙ ΤΗΣ ΕΝΣΑΡΚΟΥ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΘΕΟΥ*

### *ΕΚΑΤΟΝΤΑΣ Α'*

1 *Εἷς Θεός, ἄναρχος, ἀκατάληπτος, ὅλην ἔχων τοῦ εἶναι τὴν δύναμιν διόλου, τὴν πότε καὶ πῶς εἶναι παντάπασιν ἀπωθούμενος ἔννοιαν, ὡς πᾶσιν ἄβατος καὶ μηδενὶ τῶν ὄντων ἐκ φυσικῆς ἐμφάσεως διεγνωσμένος.*

2 *Ὁ Θεὸς οὐκ ἔστι δι' ἑαυτόν, ὡς ἡμᾶς εἰδέναι δυνατόν, οὔτε ἀρχή, οὔτε μεσότης, οὔτε τέλος, οὔτε τι τὸ σύνολον ἕτερον τῶν τοῖς μετ' αὐτὸν φυσικῶς ἐνθεωρουμένων· ἀόριστος γάρ ἐστι καὶ ἀκίνητος καὶ ἄπειρος, ὡς πάσης οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας ὑπερέκεινα ἀπείρως ὤν.*

3 *Πᾶσα οὐσία τὸν ἑαυτῆς ὅρον ἑαυτῇ συνεισάγουσα, ἀρχὴ πέφυκεν εἶναι τῆς ἐπιθεωρουμένης αὐτῇ κατὰ δύναμιν κινήσεως. Πᾶσα δὲ φυσικὴ πρὸς ἐνέργειαν κίνησις, τῆς μὲν οὐσίας μετεπινοουμένη, προεπινοουμένη δὲ τῆς ἐνεργείας, μεσότης ἐστίν, ὡς ἀμφοῖν κατὰ τὸ μέσον φυσικῶς διειλημμένη· καὶ πᾶσα ἐνέργεια τῷ κατ' αὐτὴν λόγῳ φυσικῶς περιγραφομένη, τέλος ἐστὶ τῆς πρὸ αὐτῆς κατ' ἐπίνοιαν οὐσιώδους κινήσεως.*

ΚΕΦΑΛΑΙΑ Σ'

# ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ ΚΑΙ ΤΗΣ ΕΝΣΑΡΚΟΥ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΘΕΟΥ

## ΕΚΑΤΟΝΤΑΔΑ Α'

1 Ὁ Θεὸς εἶναι ἕνας, ἄναρχος, ἀκατανόητος· ὅλη ἡ ὕπαρξή του εἶναι γενικὴ κι ἀποκρούει κάθε προσδιορισμὸ χρόνου ἢ τρόπου, γιατὶ εἶναι ἀπρόσιτος ἀπὸ ὅλους καὶ κανένα ὂν δὲν τὸν ἔχει διακρίνει ἀπὸ μιὰ φυσικὴ ἔνδειξη.

2 Ὁ Θεὸς δὲν εἶναι ἀπὸ τὸν ἑαυτό του, ὅσο μποροῦμε ἐμεῖς νὰ ξέρομε, οὔτε ἀρχή, οὔτε μεσότητα, οὔτε τέλος, οὔτε τίποτ' ἄλλο ἀπολύτως ἀπὸ ὅσα παρατηροῦμε φυσικὰ στὰ ἔπειτ' ἀπ' αὐτόν. Γιατὶ εἶναι ἀπροσδιόριστος κι ἀμετάβλητος καὶ ἄπειρος, ἀφοῦ ξεπερνᾶ ἀπέραντα κάθε ὕπαρξη, κάθε δύναμη, κάθε ἐνέργεια.

3 Κάθε ὕπαρξη περιέχοντας μέσα της τὸ λόγο της εἶναι ἀπὸ τὴ φύση της ἀρχὴ τῆς ἐν δυνάμει κίνησης ποὺ παρατηροῦμε ἔπειτα σ' αὐτὴν καὶ κάθε φυσικὴ κίνηση γιὰ μιὰ ἐνέργεια, ἐπειδὴ νοεῖται μετὰ τὴν οὐσία ἀλλὰ πρὶν ἀπὸ τὴν ἐνέργεια, εἶναι μεσότητα, ἀφοῦ τὴν ἔχομε λάβει κατὰ τὴ φύση της ἀνάμεσα στὶς δύο. Καὶ κάθε ἐνέργεια ποὺ περιορίζεται στὴ φύση της ἀπὸ τὸ λόγο τῆς ὑπαρξής της εἶναι τέλος τῆς νοούμενης πρὶν ἀπὸ αὐτὴν κίνησης τῆς οὐσίας.

4 *Οὐκ ἔστιν ὁ Θεὸς οὐσία κατὰ τὴν ἁπλῶς ἢ πῶς λεγομένην οὐσίαν, ἵνα καὶ ἀρχή· οὔτε δύναμις κατὰ τὴν ἁπλῶς ἢ πῶς λεγομένην δύναμιν, ἵνα καὶ μεσότης· οὔτε ἐνέργεια, κατὰ τὴν ἁπλῶς ἢ πῶς λεγομένην ἐνέργειαν, ἵνα καὶ τέλος ἐστὶ τῆς κατὰ δύναμιν προεπινοουμένης οὐσιώδους κινήσεως, ἀλλ' οὐσιοποιὸς καὶ ὑπερούσιος ὀντότης, καὶ δυναμοποιὸς καὶ ὑπερδύναμος ἵδρυσις, καὶ πάσης ἐνεργείας δραστικὴ καὶ ἀτελεύτητος ἕξις· καὶ συντόμως εἰπεῖν, πάσης οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας, ἀρχῆς τε καὶ μεσότητος καὶ τέλους ποιητική.*

5 *Ἡ ἀρχὴ καὶ ἡ μεσότης καὶ τὸ τέλος τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα· εἴποι δ' ἄν τις, ἀληθεύων, καὶ τῶν ἐν αἰῶνι συνορωμένων. Ὁ μὲν γὰρ χρόνος, μετρουμένην ἔχων τὴν κίνησιν, ἀριθμῷ περιγράφεται, ὁ αἰὼν δὲ συνεπινοουμένην ἔχων τῇ ὑπάρξει τὴν πότε κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχὴν τοῦ εἶναι λαβών. Εἰ δὲ χρόνος καὶ αἰὼν οὐκ ἄναρχα, πολλῷ μᾶλλον τὰ ἐν τούτοις περιεχόμενα.*

6 *Εἷς καὶ μόνος κατὰ φύσιν ἀεὶ κυρίως ἐστὶν ὁ Θεός, ὅλον τὸ κυρίως εἶναι κατὰ πάντα τρόπον ἑαυτῷ περικλείων, ὡς καὶ αὐτοῦ τοῦ εἶναι κυρίως ὑπέρτερος. Εἰ δὲ τοῦτο, οὐδαμῶς οὐδὲν οὐδαμοῦ τῶν εἶναι λεγομένων τὸ σύνολον ἔχει τό, κυρίως εἶναι. Οὐκοῦν οὐδὲν αὐτῷ τὸ παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται κατ' οὐσίαν διάφορον· οὐκ αἰών, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων. Οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις πώποτε, τὸ κυρίως εἶναι καὶ οὐ κυρίως.*

7 *Ἀρχὴ πᾶσα καὶ μεσότης καὶ τέλος εἰς ἅπαν τὴν σχετικὴν δι' ὅλου κατηγορίαν οὐκ ἤρνηται· Θεὸς δὲ καθόλου πάσης σχέσεως ὑπάρχων ἀπειράκις ἀπείρως ἀνώτερος, οὔτε ἀρχὴ οὔτε μεσότης*

4 Ὁ Θεὸς δὲν εἶναι οὐσία, σύμφωνα μὲ ὅ,τι λέμε γενικὴ ἢ μερικὴ οὐσία, γιὰ νὰ εἶναι καὶ ἀρχή. Οὔτε εἶναι δύναμη σύμφωνα μὲ ὅ,τι λέμε γενικὴ ἢ μερικὴ δύναμη, γιὰ νὰ εἶναι καὶ μεσότητα. Οὔτε εἶναι ἐνέργεια σύμφωνα μὲ ὅ,τι λέμε γενικὴ ἢ μερικὴ ἐνέργεια, γιὰ νὰ εἶναι καὶ τέλος τῆς πρὶν ἀπὸ αὐτὴν νοούμενης ἐν δυνάμει κίνησης τῆς οὐσίας. Εἶναι ὀντότητα οὐσιοποιητικὴ καὶ ὑπερούσια· καὶ σταθερότητα δυναμοποιητικὴ καὶ ὑπερδύναμη· καὶ ἱκανότητα ἀτελείωτη καὶ ποὺ πραγματοποιεῖ κάθε ἐνέργεια. Καὶ μὲ δύο λόγια εἶναι αἰτία δημιουργικὴ κάθε οὐσίας καὶ δύναμης κι ἐνέργειας ἀλλὰ καὶ ἀρχῆς καὶ μεσότητας καὶ τέλους.

5 Ἡ ἀρχὴ καὶ ἡ μεσότητα καὶ τὸ τέλος εἶναι γνωρίσματα ὅσων δέχονται χρονικὴ διαίρεση, καὶ ὅπως ἔλεγε κάποιος σωστά, καὶ ὅλων ὅσα θεωροῦμε μέσα στὴν αἰωνιότητα. Ὁ χρόνος δηλαδή, ἐπειδὴ ἔχει κίνηση πού μετριέται, καθορίζεται μ' ἕνα ἀριθμό, ἐνῶ ἡ αἰωνιότητα, ἐπειδὴ ἔχει στὴν ὕπαρξή της συνεπινοούμενη καὶ τὴν κατηγορία τοῦ πότε, δέχεται διάσταση, ἀφοῦ ἔλαβε ἀρχὴ τῆς ὕπαρξή της. Ἂν τώρα ὁ χρόνος καὶ ἡ αἰωνιότητα δὲν εἶναι χωρὶς ἀρχή, πολὺ περισσότερο δὲν εἶναι ὅσα αὐτὰ περιέχουν.

6 Ὁ Θεὸς εἶναι αὐτοδίκαια κατὰ τὴ φύση του πάντοτε ἕνας καὶ μόνος, περικλείοντας μὲ κάθε τρόπο μέσα στὸν ἑαυτό του ὅλο τὸ αὐτοδίκαια εἶναι γιατὶ εἶναι ἀνώτερος κι ἀπὸ αὐτὸ τὸ αὐτοδίκαια εἶναι. Κι ἂν εἶναι ἔτσι τίποτε μὲ κανένα τρόπο καὶ πουθενὰ ἀπὸ ὅσα λέμε ὅτι ὑπάρχουν δὲν ἔχει καθόλου τὸ αὐτοδίκαια εἶναι. Τίποτε ἀπολύτως λοιπὸν δὲ νοεῖται μαζί μ' αὐτὸν ἀπὸ τὴν αἰωνιότητα διαφορετικὸ στὴν οὐσία, οὔτε ἡ αἰωνιότητα οὔτε ὁ χρόνος οὔτε κάτι ἀπὸ ὅσα κινοῦνται μέσα τους. Γιατὶ δὲ συμβιβάζονται ποτὲ μεταξύ τους ἡ αὐτοδίκαιη μὲ τὴ μὴ αὐτοδίκαιη ὕπαρξη.

7 Καμιὰ ἀρχή, καμιὰ μεσότητα, κανένα τέλος δὲν ἀρνεῖται καθόλου τὴν κατηγορία τῆς σχέσης. Ὁ Θεὸς ὅμως ποὺ εἶναι ἄπειρες φορὲς ἄπειρα ἀνώτερος ἀπὸ κάθε σχέση, δὲν εἶναι φυσικὰ οὔτε ἀρχὴ οὔτε μεσότητα οὔτε τέλος· οὔτε εἶναι τίποτε

*οὔτε τέλος εἰκότως ἐστίν· οὐδέ τι τὸ σύνολον ἕτερον, τῶν, οἷς ἐνθεωρεῖσθαι κατὰ τὴν σχέσιν ἡ τοῦ πρός τι δύναται κατηγορία.*

8 *Πάντα τὰ ὄντα νοούμενα λέγεται, τῶν ἐπ' αὐτὰ γνώσεων ἐναποδείκτους ἔχοντα τὰς ἀρχάς, ὁ δὲ Θεὸς οὐ νοούμενος ὀνομάζεται, ἀλλ' ἐκ τῶν νοουμένων μόνον εἶναι πιστεύεται· διόπερ οὐδὲν τῶν νοουμένων αὐτῷ καθ' ὁτιοῦν παραβάλλεται.*

9 *Αἱ τῶν ὄντων γνώσεις συνηρτημένους φυσικῶς ἔχουσι πρὸς ἀπόδειξιν τοὺς οἰκείους λόγους, οἷς περιγραφὴν φυσικῶς ὑπομένουσιν, ὁ δὲ Θεὸς διὰ τῶν ἐν τοῖς οὖσι λόγων εἶναι μόνον πιστεύεται, πάσης ἀποδείξεως βασιμώτερον, τοῖς εὐσεβέσι τὴν ὅτι κυρίως ἐστὶν ὁμολογίαν καὶ πίστιν διδούς. Πίστις γάρ ἐστι, γνῶσις ἀληθὴς ἀναποδείκτους ἔχουσα τὰς ἀρχάς, ὡς τῶν ὑπὲρ νοῦν καὶ λόγον ὑπάρχουσα πραγμάτων ὑπόστασις.*

10 *Ἀρχὴ τῶν ὄντων καὶ μεσότης καὶ τέλος ἐστὶν ὁ Θεός, ὡς ἐνεργῶν, ἀλλ' οὐ πάσχων· ὥσπερ καὶ τὰ ἄλλα πάντα, οἷς παρ' ἡμῶν ὀνομάζεται. Ἀρχὴ γάρ ἐστιν ὡς δημιουργός, καὶ μεσότης ὡς προνοητής, καὶ τέλος ὡς περιγραφή. «Ἐξ αὐτοῦ», γάρ φησί, «καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα».*

11 *Οὐκ ἔστι ψυχὴ λογικὴ κατ' οὐσίαν ψυχῆς λογικῆς τιμιωτέρα. Πᾶσαν γὰρ ψυχὴν κατ' εἰκόνα ἑαυτοῦ δημιουργῶν, ὡς ἀγαθὸς ὁ Θεός, αὐτοκίνητον εἰς τὸ εἶναι παράγει· ἑκάστη δὲ κατὰ πρόθεσιν ἢ τὴν τιμὴν ἐπιλέγεται, ἢ τὴν ἀτιμίαν ἑκοῦσα διὰ τῶν ἔργων προσίεται.*

12 *Ὁ Θεὸς ἥλιός ἐστι δικαιοσύνης, ὡς γέγραπται, πᾶσιν ἁπλῶς τὰς ἀκτῖνας ἐπιλάμπων τῆς ἀγαθότητος· ἡ δὲ ψυχὴ ἢ κηρὸς ὡς φιλόθεος, ἢ πηλὸς ὡς φιλόϋλος κατὰ τὴν γνώμην γίνεσθαι πέφυκεν· ὥσπερ οὖν ὁ πηλὸς κατὰ φύσιν ἡλίῳ ξηραίνεται, ὁ δὲ κηρὸς φυσι-*

1. Ρωμ. 11,36. 2. Μαλ. 4,2.

ἀπὸ ὅλα αὐτὰ ποὺ μποροῦν νὰ δεχτοῦν στὴ σχέση τους τὴν κατηγορία τοῦ πρός τι.

8 Ὅλα τὰ ὄντα λέγονται νοούμενα, ἐπειδὴ ἔχουν φανερὲς τὶς ἀρχὲς τῶν γνώσεων ποὺ τὰ ἀφοροῦν. Ὁ Θεὸς ὅμως δὲ λέγεται νοούμενος ἀλλὰ ἀπὸ τὰ νοούμενα μόνο πιστεύεται πὼς ὑπάρχει. Γι' αὐτὸ κανένα νοούμενο δὲν παραβάλλεται μ' αὐτὸν σ' ὁτιδήποτε.

9 Οἱ γνώσεις ποὺ ἀφοροῦν τὰ ὄντα ἔχουν ἀπὸ τὴ φύση τους δεμένους μαζί τους τούς ἀποδεικτικούς τους λόγους ποὺ καθορίζουν τὴ φύση τους, ἐνῶ ὁ Θεὸς πιστεύεται ὅτι ὑπάρχει μόνο μὲ τοὺς λόγους τῶν ὄντων ἀλλὰ βασιμότερα ἀπὸ κάθε ἀπόδειξη, παρέχοντας στοὺς εὐσεβεῖς τὴ δυνατότητα νὰ ὁμολογοῦν καὶ νὰ πιστεύουν ὅτι ὑπάρχει αὐτοδίκαια. Γιατὶ ἡ πίστη εἶναι γνώση ἀληθινὴ ποὺ οἱ ἀρχὲς της εἶναι ἀναπόδεικτες, ἐπειδὴ εἶναι ὑπόσταση πραγμάτων πέρα ἀπὸ τὸ νοῦ καὶ τὸ λόγο.

10 Ὁ Θεὸς εἶναι ἀρχὴ καὶ μεσότητα καὶ τέλος τῶν ὄντων, γιατὶ αὐτὸς ἐνεργεῖ καὶ δὲν πάσχει. Τὸ ἴδιο γίνεται καὶ μὲ ὅλες τὶς ὀνομασίες ποὺ τοῦ ἀποδίδομε. Εἶναι ἀρχή, γιατὶ εἶναι αὐτὸς ποὺ δημιουργεῖ· μεσότητα, αὐτὸς ποὺ προνοεῖ, καὶ τέλος, αὐτὸς ποὺ καθορίζει. Ἐπειδὴ μᾶς λέει, «ἀπὸ αὐτὸν δημιουργήθηκαν καὶ κυβερνιοῦνται ὅλα κι ἀποβλέπουν σ' αὐτόν»[1].

11 Δὲν ὑπάρχει λογικὴ ψυχὴ πολυτιμότερη κατὰ τὴν οὐσία ἀπὸ ἄλλη λογικὴ ψυχή. Γιατὶ ὁ Θεὸς δημιουργώντας κάθε ψυχὴ κατ' εἰκόνα του, ὡς ἀγαθός, τὴ φέρνει στὴν ὕπαρξη γιὰ νὰ ἐνεργεῖ ἀπὸ μόνης της. Καὶ κάθε μία σύμφωνα μὲ τὴν πρόθεσή της ἐπιλέγει τὴν τιμὴ ἢ μὲ τὰ ἔργα της τραβᾶ θεληματικὰ τὴν ἀτιμία.

12 Ὁ Θεὸς εἶναι ὁ ἥλιος τῆς δικαιοσύνης, ὅπως ἔχει γραφεῖ[2], σκορπώντας σ' ὅλους γενικὰ τὶς ἀκτίνες τῆς καλοσύνης του, καὶ ἡ ψυχὴ γίνεται στὸ φρόνημα εἴτε κερὶ ὅταν ἀγαπᾶ τὸ Θεὸ ἢ πηλὸς ὅταν ἀγαπᾶ τὴν ὕλη. Ὅπως λοιπὸν σύμφωνα μὲ τὴ φύση του ὁ πηλὸς ξεραίνεται ἀπὸ τὸν ἥλιο, ἐνῶ τὸ κερὶ κατὰ φύση

*κῶς ἀπαλύνεται, οὕτω καὶ πᾶσα ψυχὴ φιλόϋλος καὶ φιλόκοσμος ἀπὸ Θεοῦ νουθετουμένη καὶ ὡς πηλὸς κατὰ τὴν γνώμην ἀντιτυποῦσα σκληρύνεται καὶ ἑαυτὴν ὠθεῖ κατὰ τὸν Φαραὼ πρὸς ἀπώλειαν· πᾶσα δὲ φιλόθεος ὡς κηρὸς ἀπαλύνεται καὶ τοὺς τῶν θείων τύπους καὶ χαρακτῆρας εἰσδεχομένη. γίνεται Θεοῦ κατοικητήριον ἐν πνεύματι.*

13 *Ὁ τὸν νοῦν ταῖς θείαις καταστράψας νοήσεσιν καὶ τὸν λόγον ἐθίσας θείοις ὕμνοις ἀπαύστως γεραίρειν τὸν Κτίσαντα καὶ ταῖς ἀκηράτοις φαντασίαις καθαγιάσας τὴν αἴσθησιν, οὗτος τῷ φυσικῷ κατ' εἰκόνα καλῷ, προσέθηκε τὸ καθ' ὁμοίωσιν γνωμικὸν ἀγαθόν.*

14 *Φυλάττει τις τῷ Θεῷ τὴν ψυχὴν ἀκηλίδωτον, εἰ τὴν μὲν διάνοιαν περὶ μόνου Θεοῦ καὶ τῶν αὐτοῦ ἀρετῶν διανοεῖσθαι βιάσαιτο, τὸν δὲ λόγον ὀρθὸν ἑρμηνέα καὶ ἐξηγητὴν τῶν αὐτῶν ἀρετῶν καταστήσειε, καὶ τὴν αἴσθησιν εὐσεβῶς τὸν ὁρατὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα φαντάζεσθαι διδάξειε, τὴν τῶν ἐν αὐτοῖς λόγων μεγαλειότητα τῇ ψυχῇ διαγγέλλουσαν.*

15 *Ὁ τῆς πικρᾶς δουλείας τῶν τυραννούντων δαιμόνων ἐλευθερώσας ἡμᾶς Θεός, φιλάνθρωπον θεοσεβείας ἡμῖν ζυγὸν ἐδωρήσατο, τὴν ταπεινοφροσύνην, δι' ἧς πᾶσα μὲν διαβολικὴ δαμάζεται δύναμις, πᾶν δὲ τοῖς ἑλομένοις αὐτὴν ἀγαθὸν δημιουργεῖται, καὶ ἀραδιούργητον διαφυλάττεται.*

16 *Ὁ πιστεύων φοβεῖται, ὁ δὲ φοβούμενος ταπεινοῦται, ὁ δὲ ταπεινούμενος πραΰνεται, τὴν τῶν παρὰ φύσιν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας κινημάτων ἀνενέργητον ἕξιν λαβών· ὁ δὲ πραῢς τηρεῖ τὰς ἐντολάς, ὁ δὲ τηρῶν τὰς ἐντολὰς καθαίρεται, ὁ δὲ καθαρθεὶς ἐλλάμπεται, ὁ δὲ ἐλλαμφθεὶς ἐν τῷ ταμιείῳ τῶν μυστηρίων ἀξιοῦται τῷ νυμφίῳ Λόγῳ συγκοιτασθῆναι.*

---

3. Ἐξ. 7,13.

μαλακώνει, ἔτσι καὶ κάθε ψυχὴ ποὺ ἀγαπᾶ τὴν ὕλη καὶ τὸν κόσμο ἀκούοντας τὶς νουθεσίες τοῦ Θεοῦ κι ἀντιδρώντας μὲ τὸ φρόνημα καθὼς πηλὸς σκληραίνει κι ὅπως ὁ Φαραώ, σπρώχνει τὸν ἑαυτό της στὴν καταστροφή[3]. Ἀλλὰ κάθε ψυχὴ ποὺ ἀγαπᾶ τὸ Θεὸ σὰν κερὶ ποὺ εἶναι μαλακώνει καὶ μὲ τὴν εἰσδοχὴ τῶν θεϊκῶν σημείων καὶ τύπων γίνεται πνευματικὸ κατοικητήριο τοῦ Θεοῦ[4].

13 Ὅποιος καταφώτισε τὸ νοῦ του μὲ τὰ θεῖα νοήματα καὶ συνήθισε τὴ γλώσσα του νὰ δοξολογεῖ ἀδιάκοπα τὸ Δημιουργὸ μὲ θείους ὕμνους καὶ ἐξαγίασε τὶς αἰσθήσεις του μὲ τὶς ἀγνὲς φαντασίες, αὐτὸς στὸ κατ' εἰκόνα θεῖο καλό, πρόσθεσε τὸ καθ' ὁμοίωση ἀγαθὸ τῆς γνώμης του.

14 Φυλάει κανένας ἀκηλίδωτη τὴν ψυχή του γιὰ τὸ Θεό, ἂν ἐξαναγκάσει τὸ πνεῦμα του νὰ διανοεῖται μόνο γιὰ τὸ Θεὸ καὶ τὶς ἀρετές του, ἂν καταστήσει τὸ λόγο του ἐξηγητὴ κι ἑρμηνευτὴ τῶν ἴδιων ἀρετῶν, κι ἂν διδάξη τὴν αἴσθησή του νὰ φαντάζεται μ' εὐλάβεια τὸν ὁρατὸ κόσμο κι ὅλα ὅσα περιέχει πληροφορώντας τὴν ψυχὴ γιὰ τὸ μεγαλεῖο τῶν λόγων ποὺ αὐτὰ περικλείουν.

15 Ὁ Θεός, ἀφοῦ μᾶς ἐλευθέρωσε ἀπὸ τὴ σκληρὴ δουλεία τῶν δαιμόνων ποὺ μᾶς ἐξουσιάζουν, μᾶς χάρισε φιλάνθρωπο ζυγὸ τῆς θεοσέβειας τὴν ταπεινοφροσύνη· δαμάζει αὐτὴ κάθε διαβολικὴ δύναμη καὶ σ' ὅποιους τὴν προτιμήσουν χτίζει κάθε ἀγαθὸ καὶ τὸ φυλάει ἀνάλωτο ἀπὸ τὶς ραδιουργίες.

16 Ὅποιος πιστεύει φοβᾶται, κι ὅποιος φοβᾶται ταπεινοφρονεῖ, κι ὅποιος ταπεινοφρονεῖ γίνεται πράος κρατώντας μέσα του ἄπρακτα τὰ παρὰ φύση κινήματα τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας. Ὁ πράος φυλάει τὶς ἐντολές· ὅποιος φυλάει τὶς ἐντολὲς γίνεται καθαρός· ὅποιος γίνει καθαρὸς φωτίζεται ἐσωτερικά, κι ὅποιος φωτιστεῖ γίνεται ἄξιος νὰ συγκοιμηθεῖ μὲ τὸ νυμφίο Λόγο στὸν κοιτώνα τῶν μυστηρίων.

---

4. Ἐφ. 2,22.

17 *Ὥσπερ γεωργός, ὑπὲρ τοῦ τι τῶν ἀγρίων μεταφυτεῦσαι δένδρων ἐπιτήδειον σκοπῶν χωρίον, ἀνελπίστῳ θησαυρῷ περιπίπτει, οὕτω καὶ πᾶς ἀσκητὴς ταπεινόφρων καὶ ἄπλαστος καὶ λεῖος κατὰ ψυχὴν τῆς ὑλικῆς δασύτητος, κατὰ τὸν μακαριώτατον Ἰακώβ, ὑπὸ τοῦ πατρὸς ἐρωτώμενος τῆς ἐπιστήμης τὸν τρόπον, «τί τοῦτο ὃ ταχὺ εὗρες, τέκνον;», ἀποκρίνεται λέγων· «ὃ παρέδωκε Κύριος ὁ Θεὸς ἐναντίον μου». Ὅταν γὰρ ἡμῖν ὁ Θεὸς παραδῷ τῆς ἰδίας σοφίας τὰ σοφὰ θεωρήματα καμάτου χωρίς, οὐ προσδοκήσασι, θησαυρὸν ἐξαίφνης πνευματικὸν εὑρηκέναι νομίσωμεν. Γεωργὸς γὰρ πνευματικός ἐστιν ὁ δόκιμος ἀσκητής, τὴν πρὸς αἴσθησιν τῶν ὁρατῶν θεωρίαν, ὡς ἄγριον δένδρον πρὸς τὴν τῶν νοητῶν χώραν μεταφυτεύων, καὶ θησαυρὸν εὑρίσκων, τὴν κατὰ χάριν τῆς ἐν τοῖς οὖσι σοφίας φανέρωσιν.*

18 *Ἄφνω προσπεσοῦσα γνῶσις θείων θεωρημάτων τῷ ἀσκητῇ μὴ προσδοκήσαντι διὰ τὴν ταπείνωσιν, κατακλᾷ τὸν λογισμὸν τοῦ πρὸς ἐπίδειξιν μετὰ καμάτου καὶ πόνου ταύτην ζητοῦντος, καὶ μὴ εὑρίσκοντος, καὶ γεννᾷ τῷ ἄφρονι φθόνον εἰκῇ πρὸς τὸν ἀδελφόν, καὶ φόνου μελέτην, καὶ ἑαυτῷ λύπην, διὰ τὸ μὴ ἔχειν τὴν ἐκ τῶν ἐπαίνων φυσίωσιν.*

19 *Οἱ ζητοῦντες μετὰ πόνου γνῶσιν, καὶ ἀποτυγχάνοντες, ἢ διὰ ἀπιστίαν ἀποτυγχάνουσι, ἢ τυχὸν διὰ τὸ ἀφυῶς μέλλειν αὐτοὺς ἀντιφιλονεικοῦντας ἐπαίρεσθαι κατὰ τῶν γινωσκόντων, ὡς ὁ λαὸς πάλαι κατὰ Μωϋσέως· πρὸς οὓς ὁ νόμος ἐρεῖ δεόντως, ὅτι παραβιασάμενοί τινες, ἀνέβησαν εἰς τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορραῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ καὶ ἐτίτρωσκεν αὐτούς. Ἀνάγκη γὰρ τοὺς ἐπιδείξεως ἕνεκεν ἐπιμορφιζομένους τὴν ἀρετήν, μὴ μόνον σφάλ-*

5. Γεν. 7,20.

17 Σὰν τὸ γεωργὸ πού, ἀναζητῶντας τὸ κατάλληλο μέρος γιὰ νὰ μεταφυτεύσει ἕνα ἄγριο δέντρο, βρίσκει ἀνέλπιστο θησαυρό, ἔτσι καὶ κάθε ἀσκητὴς ταπεινὸς καὶ ἄδολος καὶ μὲ ψυχὴ καθαρὴ ἀπὸ τὴν ὑλικὴ δασύτητα, ὅπως ὁ μακάριος Ἰακὼβ – ποὺ τὸν ρωτάει ὁ πατέρας γιὰ τὸν τρόπο τῆς τέχνης του «τί εἶναι τοῦτο, παιδί μου, ποὺ βρῆκες ἀμέσως» – ἀπαντᾶ λέγοντας «ὅ,τι παρέδωσε ὁ Κύριος ὁ Θεὸς στὰ χέρια μου»[5]. Ὅταν δηλαδὴ ὁ Θεὸς παραδώσει σ' ἐμᾶς χωρὶς κόπο τὰ σοφὰ θεωρήματα τῆς σοφίας του χωρὶς νὰ τὰ περιμένομε, ἂς νομίσομε ὅτι ἀνακαλύψαμε θησαυρὸ πνευματικό. Γιατὶ ὁ δόκιμος ἀσκητὴς εἶναι γεωργὸς πνευματικὸς ποὺ μεταφυτεύει σὰν ἕνα ἄγριο δέντρο τὴ θεωρία τῶν ὁρατῶν, ποὺ προέρχεται ἀπὸ τὶς αἰσθήσεις, στὴ χώρα τῶν νοητῶν κι ἀνακαλύπτει θησαυρὸ τὴ χαρισμένη φανέρωση τῆς σοφίας ποὺ ὑπάρχει μέσα στὰ ὄντα.

18 Γνώση τῶν θείων θεωρημάτων ποὺ ἔτυχε ξάφνου στὸν ἀσκητὴ γιὰ τὴν ταπείνωσή του χωρὶς νὰ τὸ περιμένει, συντρίβει τὸ λογισμὸ ἐκείνου ποὺ τὴ ζητᾶ μὲ ἱδρώτα καὶ κόπο γιὰ ἐπίδειξη καὶ ποὺ δέν τὴ βρίσκει καὶ γεννᾶ ἄσκεφτα φθόνο πρὸς τὸν ἀδελφὸ στὴν ψυχὴ τοῦ ἀνόητου, ὥστε νὰ σχεδιάζει τὸ φόνο του, καὶ γεννᾶ λύπη στὸν ἑαυτό του, ἐπειδὴ ὁ ἀδελφὸς δὲν ἔχει τὴν ἔπαρση ποὺ προκαλοῦν οἱ ἔπαινοι.

19 Ὅσοι ζητοῦν μὲ μόχθο τὴ γνώση κι ἀποτυγχάνουν, ἀποτυγχάνουν εἴτε γιὰ τὴν ἀπιστία τους εἴτε ἴσως γιατὶ θὰ φτάσουν χωρὶς νὰ τοὺς ταιριάζει νὰ ἐπαίρονται ἀντιφιλονεικῶντας μ' ἐκείνους ποὺ ἔχουν τὴ γνώση, ὅπως παλαιὰ ὁ λαὸς κατὰ τοῦ Μωϋσῆ. Σ' αὐτοὺς ὁ νόμος θὰ πεῖ αὐτὸ ποὺ τοὺς χρειάζεται, ὅτι «μερικοὶ κάνοντας παράβαση ἀνέβηκαν στὸ ὄρος καὶ βγῆκε ὁ Ἀμορραῖος ποὺ κατοικοῦσε σ' ἐκεῖνο τὸ ὄρος καὶ τοὺς χτυποῦσε»[6]. Γιατὶ εἶναι ἀνάγκη ὅποιοι παρουσιάζονται ἐνάρετοι γιὰ

6. Ἀριθμ. 14,40. Δευτ. 1,41.

*λεσθαι δολοῦντας τὴν εὐσέβειαν, ἀλλὰ καὶ ὑπὸ τοῦ συνειδότος τιτρώσκεσθαι.*

20 *Ὁ πρὸς ἐπίδειξιν ἐφιέμενος γνώσεως καὶ ἀποτυγχάνων, μήτε φθονείτω τῷ πέλας, μήτε λυπείσθω, ἀλλ' ἔν τινι τῶν ὁμόρων ποιείτω τὴν παρασκευήν, ὡς προστέτακται· κατὰ τὴν πρᾶξιν ἐν τῷ σώματι πρότερον φιλοπονῶν τῇ ψυχῇ τὴν ἑτοιμασίαν τῆς γνώσεως.*

21 *Οἱ ὀρθῶς μετ' εὐσεβείας τοῖς οὖσι προσβάλλοντες, καὶ μηδένα φιλενδειξίας τρόπον ἐπινοοῦντες, εὑρήσουσι προϋπαντώσας αὐτοῖς τὰς τῶν ὄντων παμφαεῖς θεωρίας, ἀκριβεστάτην αὐτοῖς ἐμποιούσας ἑαυτῶν τὴν κατάληψιν, πρὸς οὓς ὁ νόμος φησίν· «εἰσελθόντες κληρονομήσατε πόλεις μεγάλας καὶ καλάς, καὶ οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ οἰκοδομήσατε· καὶ λάκκους λελατομημένους, οὓς οὐκ ἐλατομήσατε· καὶ ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφυτεύσατε». Ὁ γὰρ μὴ ἑαυτῷ ζῶν, ἀλλὰ τῷ Θεῷ, πάντων γίνεται πλήρης τῶν θείων χαρισμάτων, τῶν τέως διὰ τὴν ἐπικειμένην τῶν παθῶν ὄχλησιν μὴ φαινομένων.*

22 *Ὥσπερ διχῶς ἡ αἴσθησις λέγεται, ἡ μὲν καθ' ἕξιν, ἥτις καὶ κοιμωμένων ἡμῶν ἐστι, μηδενὸς ἀντιλαμβανομένη τῶν ὑποκειμένων, ἧς οὐδὲν ὄφελος, μὴ πρὸς ἐνέργειαν τεινομένης, ἡ δὲ κατ' ἐνέργειαν, δι' ἧς ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν, οὕτω καὶ ἡ γνῶσις διττή· ἡ μὲν ἐπιστημονική, καθ' ἕξιν μόνην τοὺς λόγους ἀναλεγομένη τῶν ὄντων, ἧς οὐδὲν ὄφελος μὴ πρὸς τὴν τῶν ἐντολῶν ἐνέργειαν ἐκτεινομένης, ἡ δὲ κατ' ἐνέργειαν πρακτική, αὐτὴν ἀληθῆ διὰ τῆς πείρας τῶν ὄντων κομίζουσα τὴν κατάληψιν.*

23 *Ὁ ὑποκριτής, ἕως μὲν δοκεῖ λανθάνειν, ἠρεμεῖ, τὴν ἐκ τοῦ δοκεῖν δίκαιος εἶναι δόξαν θηρώμενος, ἐπειδὰν δὲ φωραθῇ, θανατη-*

ἐπίδειξη ὄχι μόνο νὰ ἀποτυγχάνουν παραποιώντας τὴν εὐσέβεια, ἀλλὰ τοὺς ἐλέγχει καὶ ἡ συνείδησή τους.

20 Ὅποιος ἐπιθυμεῖ τὴ γνώση γιὰ ἐπίδειξη κι ἀποτυγχάνει μήτε τὸν ἄλλον νὰ φθονεῖ μήτε καὶ νὰ λυπᾶται. Ἀλλά, ὅπως ἔχει ὁρισθεῖ, ἂς προετοιμάζεται σὲ κάτι παραπλήσιο. Ἂς ἑτοιμάσει τὴ γνώση γιὰ τὴν ψυχή, φιλοπονώντας την μὲ τὸ σῶμα κατὰ τὴν πράξη.

21 Ὅποιοι ἀντιλαμβάνονται ὀρθὰ τὰ πράγματα καὶ δὲ σοφίζονται κανένα τρόπο ἐπίδειξης, θὰ δοῦν νὰ τοὺς ὑποδέχονται οἱ ὁλόλαμπρες θεωρίες τῶν ὄντων καὶ νὰ τοὺς προκαλοῦν πλήρη τὴν κατανόησή τους. Σ' αὐτοὺς ὁ νόμος λέει· «μπεῖτε καὶ κληρονομῆστε πόλεις μεγάλες κι ὄμορφες καὶ σπίτια γεμάτα μὲ ὅλα τὰ καλὰ ποὺ δὲν τὰ χτίσατε σεῖς, καὶ πηγάδια ἕτοιμα, ποὺ δὲν τ' ἀνοίξατε σεῖς, καὶ ἀμπέλια κι ἐλαιῶνες ποὺ δὲ φυτέψατε»[7]. Ὅποιος δὲ ζεῖ γιὰ τὸν ἑαυτό του ἀλλὰ γιὰ τὸ Θεό, γεμίζει ἀπὸ ὅλες τὶς θεῖες δωρεές, ποὺ δὲν ἄφηναν νὰ φανερωθοῦν πιὸ πρὶν τὰ πάθη ποὺ τὸν ἐνοχλοῦσαν πιεστικά.

22 Ἡ αἴσθηση διαιρεῖται σὲ δυό· στὴν αἴσθηση σὰν ἱκανότητα, ποὺ ὑπάρχει κι ὅταν κοιμόμαστε χωρὶς ν' ἀντιλαμβάνεται κανένα ἀντικείμενο καὶ ποὺ ἀπὸ αὐτὴν δὲν ἔχομε κανένα ὄφελος, ἐπειδὴ δὲν προχωρεῖ στὴν ἐνέργεια, καὶ δεύτερο στὴν αἴσθηση ποὺ ἐνεργεῖ καὶ μὲ τὴν ὁποία ἀντιλαμβανόμαστε τὰ αἰσθητά. Ἔτσι δύο εἰδῶν εἶναι καὶ ἡ γνώση· ἐπιστημονικὴ ἡ μία, ποὺ ἡ μόνη ἱκανότητά της εἶναι νὰ ἐξετάζει τοὺς λόγους τῶν ὄντων καὶ δὲν ὠφελεῖ καθόλου, ἀφοῦ δὲν προχωρεῖ στὴν ἐργασία τῶν ἐντολῶν· ἡ ἄλλη ἐνεργεῖ καὶ πράττει καὶ μᾶς δίνει ἀληθινὴ τὴν κατανόηση τῶν ὄντων μὲ τὴν ἀναστροφὴ μ' αὐτά.

23 Ὁ ὑποκριτής, ὅσο νομίζει ὅτι δὲν τὸν ἔχουν ἀντιληφθεῖ, εἶναι ἥρεμος, ἐπειδὴ ἐπιδιώκει τὴ δόξα νὰ νομίζεται πὼς εἶναι δίκαιος. Ὅταν ὅμως φανερωθεῖ, προβάλλει λόγους ποὺ προκαλοῦν θάνατο, νομίζοντας ὅτι μὲ τὶς κατηγορίες ἐναντίον τῶν ἄλ-

7. Ἰησοῦς Ναυῆ 24,13-14.

*φόρους προΐσχεται λόγους, ταῖς κατ' ἄλλων λοιδορίαις δοκῶν τὴν οἰκείαν συγκαλύπτειν ἀσχημοσύνην, ὃν ἐχίδνης γεννήματι παρεικάσας ὁ λόγος, ὡς παλίμβολον, ἀξίους τῆς μετανοίας προσέταξεν αὐτῷ ποιεῖσθαι καρπούς· τουτέστι, πρὸς τοὺς φαινομένους τρόπους, μεταποιῆσαι τὴν κρυπτομένην τῆς καρδίας διάθεσιν.*

24 *Φασί τινες θηρίον εἶναι πᾶν ὃ μὴ τῷ νόμῳ τῶν ἐν ἀέρι τε καὶ γῇ καὶ θαλάττῃ ζώων κέκριται καθαρόν, κἂν ἥμερον εἶναι τῷ ἤθει δοκῇ, οἷς ἕκαστον τῶν ἀνθρώπων ἐκ τοῦ οἰκείου πάθους ὁ λόγος προσαγορεύει.*

25 *Ὁ ἐπὶ βλάβῃ τῶν πέλας μορφιζόμενος φιλίαν, λύκος ἐστὶ κωδίῳ ἐπικρύπτων τὴν ἑαυτοῦ κακουργίαν, ὅς, ἐπειδὰν εὕρῃ ψιλὸν ἦθος, ἢ ῥῆμα κατὰ Χριστὸν ἁπλοϊκῶς ἢ γινόμενον ἢ λεγόμενον, ἥρπασε καὶ διέφθειρε, μυρίους καταχέων μώμους, ὧν τοῖς λόγοις ἢ τοῖς ἤθεσιν ἐπιτίθεται, ὥσπερ κατάσκοπος τῆς ἐν Χριστῷ τῶν ἀδελφῶν ἐλευθερίας.*

26 *Ὁ ὑποκρινόμενος σιωπὴν κακουργίας χάριν, τῷ πλησίον τεκταίνεται δόλον, οὗ ἀποτυγχάνων ἄπεισι, τῷ ἰδίῳ πάθει προσθέμενος ὀδύνην. Ὁ δὲ σιωπῶν ὠφελείας χάριν, ηὔξησε φιλίαν, καὶ ἀπελεύσεται χαίρων, ὡς λαβὼν φωτισμὸν σκότους λυτήριον.*

27 *Ὁ ἐν συνεδρίῳ λόγων ἀκρόασιν προπετῶς ἀνακόπτων, οὐκ ἔλαθε φιλοδοξίαν νοσῶν, ὑφ' ἧς ἁλισκόμενος, μυρίους προβάλλεται δρόμους καὶ περιδρόμους προτάσεων, τὸν εἱρμὸν τῶν λεγομένων διαστῆσαι βουλόμενος.*

28 *Ὁ σοφὸς καὶ διδάσκων καὶ διδασκόμενος, μόνα βούλεται τὰ ὠφελοῦντα διδάσκεσθαι καὶ διδάσκειν, ὁ δὲ δοκήσει σοφός, καὶ ἐρωτῶν καὶ ἐρωτώμενος, τὰ περιεργότερα μόνον προβάλλεται.*

---

8. Ματθ. 3,7.
9. Γαλ. 2,4.

λων συγκαλύπτει τὴ δική του αἰσχρότητα. Αὐτὸν ὅταν ὁ λόγος τὸν παρομοίασε μὲ γέννημα τῆς ἔχιδνας, ὡς διπλοπρόσωπο, τοῦ ὅρισε νὰ κάνει καρποὺς ἄξιους τῆς μετανοίας[8]. Θέλει νὰ πεῖ, νὰ μεταποιήσει τὴν κρυμμένη διάθεση τῆς καρδιᾶς σύμφωνα μὲ τὴν ἐξωτερική του συμπεριφορά.

24 Μερικοὶ λένε ὅτι εἶναι θηρία, ὅποια ἀπὸ τὰ ζῶα ποὺ ζοῦν στὸν ἀέρα, στὴ γῆ καὶ στὴ θάλασσα δὲν κρίνονται καθαρὰ ἀπὸ τὸ νόμο, ἀκόμα κι ἂν δείχνουν ὅτι ἔχουν ἥμερο φυσικό. Τὰ ὀνόματα τῶν θηρίων δίνει ἡ Γραφὴ σὲ κάθε ἕναν ἄνθρωπο ἀνάλογα μὲ τὸ πάθος του.

25 Ὅποιος ὑποκρίνεται φιλία γιὰ νὰ κάνει κακὸ στὸ συνάνθρωπό του εἶναι λύκος, ποὺ κρύβει μὲ τὴν προβειὰ τὰ κακοῦργα ἔνστικτά του. Αὐτὸς ὅταν ἐπιτύχει μιὰ ἀθώα ἐκδήλωση τοῦ χαρακτῆρα ἢ ἕνα λόγο κατὰ Χριστὸν ποὺ πράττεται ἢ λέγεται μὲ ὠφέλεια, τὰ ἁρπάζει καὶ τὰ διαστρεβλώνει, σφεντονίζοντας ἄπειρες κατηγορίες ἐναντίον αὐτῶν ποὺ χτυπάει τὰ λόγια καὶ τὸν τρόπο τους, σὰν κατάσκοπος δόλιος τῆς ἐλευθερίας τῶν ἀδελφῶν ποὺ δίνει ὁ Χριστός[9].

26 Ὅποιος ὑποκρίνεται σιωπὴ γιὰ νὰ κάνει κακό, μηχανεύεται τρόπους νὰ ἐξαπατήσει τὸν πλησίον του· ἂν ἀποτύχει φεύγει προσθέτοντας στὸ πάθος του καὶ τὴ λύπη. Ὅποιος ὅμως σωπαίνει γιὰ νὰ ὠφελήσει διπλασιάζει τὴ φιλία καὶ θὰ φύγει γεμάτος χαρά, ἐπειδὴ δέχτηκε φωτισμὸ ποὺ διαλύει τὸ σκότος.

27 Ὅποιος σὲ μιὰ συνάθροιση πετάγεται καὶ διακόπτει τὴν ὁμαλὴ ἀκρόαση τῶν λόγων φανερώνεται πὼς ὑποφέρει ἀπὸ φιλοδοξία. Αἰχμάλωτός της, προβάλλει ἄπειρες σειρὲς καὶ παρασειρὲς ἀπὸ διατυπώσεις θέλοντας νὰ σπάσει τὴ συνέχεια ὅσων λέγονται.

28 Ὁ σοφὸς κι ὅταν διδάσκει κι ὅταν διδάσκεται, θέλει καὶ νὰ διδάσκεται καὶ νὰ διδάσκει μόνο ὅσα ὠφελοῦν. Ὁ σοφὸς ὅμως κατὰ φαντασία κι ὅταν ρωτᾶ κι ὅταν ἀπαντᾶ λέει μόνο τὰ πιὸ ἐντυπωσιακά.

29 *Ὧν μετέσχε τις κατὰ Θεοῦ χάριν ἀγαθῶν, καὶ ἄλλοις ἀφθόνοις μεταδοῦναι χρεώστης ἐστί. «Δωρεὰν» γάρ φησί, «ἐλάβετε, δωρεὰν δότε». Ὁ γὰρ ὑπὸ γῆν κρύπτων τὴν δωρεάν, ὡς σκληρὸν διαβάλλει τὸν Κύριον, φειδοῖ τῆς σαρκὸς τὴν ἀρετὴν ἐξομνύμενος. Ὁ δὲ πιπράσκων ἐχθροῖς τὴν ἀλήθειαν, ὕστερον ἁλοὺς ὡς φιλόδοξος, μὴ φέρων τὴν αἰσχύνην ἀπάγχεται.*

30 *Τοὺς ἔτι δειλιῶντας τὸν πρὸς τὰ πάθη πόλεμον καὶ φοβουμένους τὴν τῶν ἀοράτων ἐχθρῶν ἐπιδρομήν, σιωπᾶν δεῖ· τουτέστι, τὸν ὑπὲρ ἀρετῆς ἀντιρρητικὸν μὴ μεταχειρίζεσθαι τρόπον, ἀλλὰ παραχωρεῖν τῷ Θεῷ δι' εὐχῆς, τὴν ὑπὲρ ἑαυτῶν μέριμναν, πρὸς οὓς ἐν Ἐξόδῳ λέγεται· «Κύριος πολεμήσει περὶ ὑμῶν καὶ ὑμεῖς σιγήσεσθε». Τοὺς δὲ ἤδη μετὰ τὴν ἀναίρεσιν τῶν διωκόντων, τοὺς τῶν ἀρετῶν ἐπιζητοῦντας τρόπους πρὸς εὐγνώμονα μάθησιν, δέον ἔχειν μόνον ἠνεῳγμένον τῆς διανοίας τὸ οὖς, πρὸς οὓς φησιν, «ἄκουε, Ἰσραήλ». Τῷ δὲ σφόδρα διὰ τὴν κάθαρσιν τῆς θείας ἐφιεμένῳ γνώσεως, ἁρμόδιος ἡ εὐλαβὴς παρρησία, πρὸς ὃν εἰρήσεται· «τί βοᾷς πρός με;». Οὐκοῦν ὅτῳ μὲν σιωπὴ διὰ φόβον προστέτακται, πρόσφορος μόνον ἡ πρὸς Θεὸν καταφυγή· ὅτῳ δὲ ἀκούειν παρακελεύεται, ἁρμόδιος ἡ πρὸς ὑπακοὴν τῶν θείων ἐντολῶν ἑτοιμότης· τῷ δὲ γνωστικῷ, τὸ δι' ἱκεσίαν ἀπαύστως βοᾶν ἐπιτήδειον, ὑπέρ τε τῆς τῶν κακῶν ἀποτροπῆς καὶ εὐχαριστίας τῆς τῶν ἀγαθῶν μετουσίας.*

31 ***Οὐδέποτε ψυχὴ δύναται πρὸς γνῶσιν ἐκταθῆναι Θεοῦ, εἰ μὴ αὐτὸς ὁ Θεὸς συγκαταβάσει χρησάμενος ἅψηται αὐτῆς καὶ ἀναγάγῃ πρὸς ἑαυτόν. Οὐ γὰρ ἂν τοσοῦτον ἴσχυσεν ἀναδραμεῖν ἀνθρώπινος νοῦς, ὡς ἀντιλαβέσθαι τινὸς θείας ἐλλάμψεως, εἰ μὴ αὐτὸς ὁ Θεὸς***

10. Ματθ. 10,8. 11. Ματθ. 10,8.

29 Τὰ ἀγαθὰ ποὺ δέχτηκε κάποιος μὲ τὴ χάρη τοῦ Θεοῦ εἶναι χρεώστης καὶ πρέπει νὰ τὰ μεταδίνει ἄφθονα καὶ στοὺς ἄλλους. Γιατὶ λέει, «τὰ ἐπήρατε δωρεάν, δῶστε τα δωρεάν»[10]. Ὅποιος κρύβει τὸ χάρισμα στὴ γῆ, διαβάλλει τὸν Κύριό του, ποὺ εἶναι σκληρός· ἀπὸ ἀγάπη πρὸς τὴ σάρκα ἀρνεῖται τὴν ἀρετή[11]. Κι ὅποιος πουλᾶ τὴν ἀλήθεια στοὺς ἐχθρούς, ὅταν ἔπειτα φανερωθεῖ πὼς εἶναι φιλόδοξος, δὲν ἀντέχει τὴν ντροπὴ καὶ ἀπαγχονίζεται.

30 Ὅποιοι δειλιάζουν ἀκόμη νὰ ριχτοῦν στὸν πόλεμο κατὰ τῶν παθῶν καὶ φοβοῦνται τὴν ἐπίθεση τῶν ἀόρατων ἐχθρῶν, πρέπει νὰ σωπαίνουν. Δηλαδὴ νὰ μὴ χρησιμοποιοῦν γιὰ χάρη τῆς ἀρετῆς τὸν τρόπο τῆς ἀντιπαράθεσης, ἀλλὰ ν' ἀφήνουν μὲ προσευχὴ νὰ τοὺς φροντίσει ὁ Θεός. Αὐτοὺς ἀφορᾶ ὁ λόγος τῆς Ἐξόδου, «ὁ Κύριος θὰ πολεμήσει γιὰ σᾶς καὶ σεῖς θὰ σωπάσετε»[12]. Κι ὅσοι πιὰ μετὰ τὴν ἥττα τῶν διωκτῶν τους ἐπιζητοῦν τοὺς τρόπους νὰ ἐπιτύχουν τὶς ἀρετὲς γιὰ νὰ τοὺς μάθουν μ' εὐγνωμοσύνη, χρειάζεται μόνο νὰ ἔχουν ἀνοιχτὰ τ' αὐτιὰ τοῦ νοῦ τους. Καὶ σ' αὐτοὺς λέει· «ἀκοῦστε, Ἰσραηλίτες»[13]. Τέλος αὐτὸς ποὺ ἔχει καθαρθεῖ καὶ ποθεῖ σφοδρὰ τὴ θεία γνώση ἁρμόζει νὰ μιλάει μὲ εὐλαβικὸ θάρρος καὶ σ' αὐτὸν θὰ λεχτεῖ, «τί φωνάζεις σ' ἐμένα;»[14]. Γιὰ ὅποιον λοιπὸν φοβᾶται καὶ τοῦ ἔχει ὁριστεῖ ἡ σιωπή, κατάλληλη μονάχα εἶναι ἡ καταφυγή του στὸ Θεό. Γιὰ ὅποιον ἔχει διαταγὴ ν' ἀκούει, κατάλληλη εἶναι ἡ προθυμία νὰ σκύβει στις θεῖες ἐντολές. Καὶ γιά ὅποιον ἐπιδιώκει τὴ γνώση, κατάλληλο εἶναι νὰ ἱκετεύει καὶ νὰ φωνάζει ἀδιάκοπα καὶ γιὰ ν' ἀποτραποῦν τὰ κακὰ καὶ γιὰ νὰ εὐχαριστεῖ γιὰ τὰ ἀγαθὰ ποὺ ἔχει ἀπολαύσει.

31 Οὐδέποτε μπορεῖ μιὰ ψυχὴ ν' ἀνεβεῖ στὴ γνώση τοῦ Θεοῦ, ἂν ὁ ἴδιος ὁ Θεὸς δὲ δείξει τὴ συγκατάβασή του καὶ πιάνοντάς την τὴν ἑλκύσει πρὸς τὸν ἑαυτό του. Γιατὶ δὲ θὰ εἶχε τὴ δύναμη ὁ ἀνθρώπινος νοῦς ν' ἀνεβεῖ τόσο ψηλά, ὥστε νὰ συλλάβει ἕνα θεῖο φωτισμό, ἂν δὲν τὸν ἀνέσυρε ὁ ἴδιος ὁ Θεός, ὅσο εἶναι δυ-

12. Ἐξ. 14,14. 13. Δευτ. 6,4. 14. Ἐξ. 14,15.

*ἀνέσπασεν αὐτόν, ὡς δυνατὸν ἦν ἀνθρώπινον νοῦν ἀνασπασθῆναι, καὶ ταῖς θείαις αὐγαῖς κατεφώτισεν.*

32 *Ὁ τοὺς μαθητὰς τοῦ Κυρίου μιμούμενος οὐ παραιτεῖται, διὰ τοὺς Φαρισαίους, ὁδὸν ποιεῖν ἐν Σαββάτῳ διὰ τῶν σπορίμων καὶ στάχυας τίλλειν, ἀλλὰ μετὰ τὴν πρακτικὴν ἐν τῇ ἀπαθείᾳ γενόμενος, τοὺς λόγους ἀναλέγεται τῶν γεγονότων, εὐσεβῶς τὴν θείαν τῶν ὄντων ἐπιστήμην τρεφόμενος.*

33 *Ὁ κατὰ τὸ Εὐαγγέλιον μόνον πιστὸς τὸ ὄρος τῆς κακίας αὐτοῦ διὰ πράξεως μετατίθησιν, ἀπωθούμενος ἑαυτοῦ τῇ ἀστάτῳ περιφορᾷ τῶν ὑπὸ αἴσθησιν, τὴν ἐπ' αὐτοῖς προτέραν διάθεσιν. Ὁ δὲ μαθητὴς εἶναι δυνάμενος, ἐκ τοῦ Λόγου δεχόμενος χερσὶ τῶν γνωστικῶν ἄρτων τὰ κλάσματα, διατρέφει χιλιάδας, πράξει δεικνὺς πληθυνομένην τοῦ λόγου τὴν δύναμιν. Ὁ δὲ καὶ Ἀπόστολος ἰσχύσας εἶναι πᾶσαν ἰατρεύει νόσον καὶ μαλακίαν, ἐκβάλλων δαιμόνια· τουτέστι, τὴν τῶν παθῶν φυγαδεύων ἐνέργειαν, νοσοῦντας ἰώμενος, πρὸς ἕξιν εὐσεβείας τοὺς στερηθέντας αὐτῆς δι' ἐλπίδος ἐπανάγων, καὶ τοὺς δι' ὄκνον μαλακισθέντας, ἐπιστύφων τῷ λόγῳ τῆς κρίσεως. Πατεῖν γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων κελευσθείς, ἀρχὴν καὶ τέλος τῆς ἁμαρτίας ἐξαφανίζει.*

34 *Ὁ ἀπόστολος καὶ μαθητὴς πάντως ἐστὶ καὶ πιστός, ὁ δὲ μαθητὴς οὐ πάντως μὲν καὶ ἀπόστολος, πάντως δὲ πιστός. Ὁ δὲ μόνον πιστός, οὔτε μαθητὴς οὔτε ἀπόστολός ἐστι, πλὴν δύναται διὰ βίου καὶ θεωρίας καὶ ὁ τρίτος εἰς τὴν τοῦ δευτέρου, καὶ ὁ δεύτερος εἰς τὴν τοῦ πρώτου μετενεχθῆναι τάξιν καὶ ἀξίαν.*

35 *Ὅσα μὲν ἐν χρόνῳ κατὰ χρόνον δημιουργεῖται, τελειωθέντα ἵσταται, λήγοντα τῆς κατὰ φύσιν αὐξήσεως, ὅσα δὲ κατ' ἀρετὴν*

---

15. Λουκᾶ 6,1. 16. Ματθ. 17,14. 17. Ματθ. 15,32 ἑ.

νατὸ στὸν ἀνθρώπινο νοῦ ν' ἀνασυρθεῖ, καὶ δὲν τὸν καταφώτιζε μὲ τὶς θεῖες λάμψεις του.

32 Ὅποιος μιμεῖται τοὺς μαθητὲς τοῦ Κυρίου δὲν παραιτεῖται ἐξαιτίας τῶν Φαρισαίων νὰ περάσει τὸ Σάββατο μέσα ἀπὸ τὰ σπαρτὰ καὶ νὰ κόψει μερικὰ στάχυα[15]. Ἀλλά, ἀφοῦ μετὰ τὴν πρακτικὴ ἄσκηση φτάσει στὴν ἀπάθεια, ἀναλογίζεται καὶ τοὺς λόγους ὅσων ἔχουν γίνει κι ἀποτελεῖ τροφή του εὐσεβὴ ἡ θεία γνώση τῶν ὄντων.

33 Ὅποιος κατὰ τὸ εὐαγγέλιο εἶναι μονάχα πιστός, μετατοπίζει μὲ τὰ ἔργα του τὸ ὄρος τῆς κακίας του[16], ἀποτινάζοντας ἀπὸ πάνω του, ὅταν διαπιστώσει τὴν ἄστατη περιφορὰ τοῦ κόσμου τῶν αἰσθητῶν, τὴν προηγούμενη διάθεσή του γι' αὐτά. Ὅποιος μπορεῖ νὰ εἶναι μαθητής, δέχεται στὰ χέρια του τὰ κομμάτια ἀπὸ τὰ ψωμιὰ τῆς γνώσεως καὶ χορταίνει χιλιάδες, δείχνοντας μὲ τὰ ἔργα του τὴ δύναμη τοῦ λόγου νὰ πολλαπλασιάζεται[17]. Αὐτὸς ὅμως ποὺ εἶχε τὴ δύναμη νὰ γίνει κι Ἀπόστολος, θεραπεύει κάθε νόσο καὶ κάθε ἀδυναμία. Ἀπαλλάσσει ἀπὸ τὰ δαιμόνια, στομώνει δηλαδὴ τὴν ἐνέργεια τῶν παθῶν, θεραπεύει τοὺς ἀρρώστους, ξαναδίνει τὴν ἐλπίδα ν' ἀποκτήσουν πάλι τὴν πίστη τους ὅσοι τὴν ἔχασαν, κι ὅσους ἀτόνησαν ἀπὸ ἀνταρσία τοὺς νευρώνει μὲ τὸ λόγο γιὰ τὴν κρίση ποὺ τοὺς περιμένει[18]. Ἀφοῦ ἔχει λάβει τὴ διαταγὴ νὰ πατεῖ πάνω σὲ φίδια καὶ σκορπιοὺς[19] ἐξαφανίζει τὴν ἀρχὴ καὶ τὸ τέλος τῆς ἁμαρτίας.

34 Ὁ Ἀπόστολος καὶ μαθητὴς εἶναι ὁπωσδήποτε καὶ πιστός· ὁ μαθητὴς δὲν εἶναι ὁπωσδήποτε καὶ ἀπόστολος εἶναι ὅμως ὁπωσδήποτε πιστός. Ὅποιοι εἶναι μόνο πιστοί, δὲν εἶναι οὔτε μαθητὲς οὔτε ἀπόστολοι, μποροῦν ὅμως μὲ τὴ ζωή τους καὶ μὲ τὴ θεωρία νὰ μεταταχθοῦν ὁ τρίτος στὴν τάξη τοῦ δεύτερου κι ὁ δεύτερος στὴν τάξη τοῦ πρώτου.

35 Ὅσα δημιουργοῦνται μέσα στὸ χρόνο καὶ σύμφωνα μὲ τὰ μέτρα τοῦ χρόνου, ὅταν ὁλοκληρωθοῦν σταματοῦν, ἐπειδὴ ἔχει

18. Ματθ. 10,1. 19. Λουκᾶ 10,19.

*ἐπιστήμη Θεοῦ κατεργάζεται τελειωθέντα πάλιν κινεῖται πρὸς αὔξησιν. Τὰ γὰρ τέλη αὐτῶν ἑτέρων ἀρχαὶ καθεστήκασιν. Ὁ γὰρ καταπαύσας ἐν ἑαυτῷ διὰ τῶν ἀρετῶν κατὰ τὴν πρᾶξιν τὴν τῶν φθειρομένων ὑπόστασιν, ἑτέρων ἀπήρξατο θειοτέρων διατυπώσεων· παύεται γὰρ οὐδέποτε τῶν καλῶν ὁ Θεός, ὧν οὐδὲ ἀρχὴν ἔσχεν. Ὡς γὰρ φωτὸς ἴδιον τὸ φωτίζειν, οὕτως ἴδιον Θεοῦ τὸ εὖ ποιεῖν. Διὸ τῷ μὲν νόμῳ, τὴν κατὰ χρόνον τῶν ἐν γενέσει καὶ φθορᾷ σύστασιν ἀφηγουμένῳ, τιμᾶται δι' ἀργίας τὸ Σάββατον, τῷ εὐαγγελίῳ δὲ τὴν τῶν νοητῶν εἰσηγουμένῳ κατάστασιν, δι' εὐποιΐας καλῶν ἔργων τοῦτο φαιδρύνεται, κἂν ἀγανακτῶσιν οἱ μήπω γνόντες ὅτι διὰ τὸν ἄνθρωπον τὸ Σάββατον γέγονεν, ἀλλ' οὐ διὰ τὸ Σάββατον ὁ ἄνθρωπος, καὶ ὅτι Κύριός ἐστι καὶ τοῦ Σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου.*

*36* *Ἔστι τῷ νόμῳ καὶ τοῖς προφήταις καὶ Σάββατον καὶ Σάββατα καὶ Σάββατα Σαββάτων, ὥσπερ καὶ περιτομὴ καὶ περιτομῆς περιτομή, καὶ θέρος καὶ θέρους θέρος, κατὰ τὸ εἰρημένον· «ὅταν θερίσητε τὸν θερισμὸν ὑμῶν». Ἔστιν οὖν τὸ μὲν πρῶτον πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας ἀποπεράτωσις, τὸ δεύτερον δὲ γενέσεως καὶ τῶν κατὰ γένεσιν λόγων ἀπόλυσις, τὸ δὲ τρίτον τῶν κατ' αἴσθησιν καὶ νοῦν πνευματικωτέρων λόγων εἰσφορὰ καὶ ἀπόλαυσις. Καὶ τοῦτο τρισσῶς ἐφ' ἑκάστῳ δηλονότι τῶν εἰρημένων γινόμενον, ἵνα γνῷ τοὺς λόγους ὁ γνωστικός, καθ' οὓς ὁ μὲν Μωϋσῆς ἔξω τῆς ἁγίας γῆς σαββατίζει τελευτῶν, ὁ δὲ τοῦ Ναυῆ Ἰησοῦς περιτέμνει περάσας τὸν Ἰορδάνην, οἱ δὲ τὴν ἀγαθὴν γῆν κληρονομοῦντες τὴν εἰσφορὰν τοῦ καθ' ὑπέρθεσιν διπλοῦ θέρους τῷ Θεῷ προσκομίζουσιν.*

---

20. Μάρκ. 10,27-28. 21. Ἔξ. 1,13 · 15.

τελειώσει ἡ φυσική τους αὔξηση· ὅσα ὅμως ἔργα ἀρετῆς πραγματοποιεῖ ἡ ἐπιστήμη τοῦ Θεοῦ, κι ὅταν ὁλοκληρωθοῦν ἀρχίζουν πάλι καινούργια αὔξηση. Τὸ δικό τους τέλος γίνεται ἀρχὴ γι' ἄλλα ἐπιτεύγματα. Γιατί, ὅποιος κατάργησε γιὰ τὸν ἑαυτό του μὲ πράξεις ἀρετῆς τὴν ὕπαρξη τῶν φθαρτῶν πραγμάτων, ἀρχίζει καινούργιες θεϊκότερες ἐπιδιώξεις. Γιατὶ ὁ Θεὸς δὲ βάζει τέλος στὸ καλό, ὅπως δὲν τοῦ ἔβαλε καὶ ἀρχή. Ὅπως δηλαδὴ ἡ φύση τοῦ φωτὸς εἶναι νὰ φωτίζει, ἔτσι καὶ ἡ φύση τοῦ Θεοῦ εἶναι νὰ ἀγαθοποιεῖ. Γι' αὐτὸ μέσα στὸ νόμο, ποὺ ἀφηγεῖται μὲ χρονικὴ σειρὰ τὴ δημιουργία ὅσων γίνονται καὶ φθείρονται, τιμᾶται μὲ ἀργία τὸ Σάββατο. Μέσα στὸ εὐαγγέλιο ὅμως ποὺ μᾶς εἰσάγει στὸ σταθερὸ κόσμο τῶν νοητῶν λαμπρύνεται τὸ Σάββατο μὲ τὴν ἐργασία καλῶν ἔργων, κι ἂς ἀγανακτοῦν ὅσοι δὲν κατάλαβαν ἀκόμα ὅτι τὸ Σάββατο ἔγινε γιὰ τὸν ἄνθρωπο κι ὄχι ὁ ἄνθρωπος γιὰ τὸ Σάββατο καὶ ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου εἶναι ἐξουσιαστὴς καὶ τοῦ Σαββάτου[20].

36 Ἀπαντοῦν στὸ νόμο καὶ τοὺς προφῆτες οἱ ἐκφράσεις «Σάββατο» καὶ «Σάββατα»[21] καὶ «Σάββατα Σαββάτων», ὅπως καὶ «περιτομὴ» καὶ «περιτομὴ περιτομῆς» καὶ «θέρος» καὶ «θέρος θέρους» κατὰ τὴ φράση «ὅταν θερίσετε τὸ θέρισμά σας»[22]. Ἡ πρώτη εἶναι ἡ ἀποπεράτωση τῆς πρακτικῆς καὶ τῆς φυσικῆς καὶ τῆς θεολογικῆς φιλοσοφίας· ἡ δεύτερη εἶναι ἡ ἀπόλυση ἀπὸ τὴν ὕπαρξη καὶ τοὺς δεσμοὺς τῆς ὕπαρξης· ἡ τρίτη εἶναι ἡ προσφορὰ καὶ ἡ ἀπόλαυση τῶν πνευματικότερων λόγων τῆς αἴσθησης καὶ τοῦ νοῦ. Κι αὐτὸ δηλαδὴ τὸ τελευταῖο συμβαίνει τριπλὰ σὲ καθένα ἀπὸ ὅσα εἴπαμε, γιὰ νὰ καταλάβει ὁ γνωστικὸς τοὺς λόγους γιὰ τοὺς ὁποίους ὁ Μωϋσῆς σαββατίζει πεθαίνοντας ἔξω ἀπὸ τὰ ὅρια τῆς ἁγίας γῆς, ὁ Ἰησοῦς τοῦ Ναυῆ ἐφαρμόζει τὴν περιτομὴ ἀφοῦ πέρασε τὸν Ἰορδάνη, κι αὐτοὶ ποὺ κληρονομοῦν τὴν ἀγαθὴ γῆ προσφέρουν στὸ Θεὸ τοὺς καρποὺς τοῦ τονισμένου μὲ τὴν ἐπανάληψη θέρους.

22. Λευϊτ. 23,10.

37 *Σάββατόν ἐστιν ἀπάθεια ψυχῆς λογικῆς, κατὰ τὴν πρακτικὴν παντελῶς ἀποβαλομένης τῆς ἁμαρτίας τὰ στίγματα.*

38 *«Σάββατά» ἐστιν ἐλευθερία ψυχῆς λογικῆς, καὶ αὐτὴν τὴν κατὰ φύσιν πρὸς αἴσθησιν, διὰ τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, ἀποθεμένης ἐνέργειαν.*

39 *«Σάββατα Σαββάτων» ἐστὶν ἠρεμία πνευματικὴ ψυχῆς λογικῆς, καὶ ἀπ' αὐτῶν πάντων τῶν ἐν τοῖς οὖσι θειοτέρων λόγων τὸν νοῦν συστειλάσης, καὶ μόνῳ τῷ Θεῷ κατ' ἐρωτικὴν ἔκστασιν ὁλικῶς ἐνδησάσης, καὶ παντελῶς ἀκίνητον αὐτὸν τοῦ Θεοῦ διὰ τῆς μυστικῆς θεολογίας ποιησάσης.*

40 *«Περιτομή» ἐστιν ἡ περὶ γένεσιν τῆς κατὰ ψυχὴν ἐμπαθοῦς ἀπόθεσις διαθέσεως.*

41 *«Περιτομὴ περιτομῆς» ἐστιν ἡ καὶ αὐτῶν τῶν κατὰ ψυχὴν περὶ τὴν γένεσιν φυσικῶν κινημάτων παντελὴς ἀποβολὴ καὶ περιαίρεσις.*

42 *«Θέρος» ἐστὶ ψυχῆς λογικῆς ἡ τῶν κατ' ἀρετὴν καὶ φύσιν τῶν ὄντων πνευματικωτέρων λόγων μετ' ἐπιστήμης συλλογὴ καὶ ἐπίγνωσις.*

43 *Θέρους θέρος ἐστὶν ἡ πᾶσιν ἄβατος μετὰ τὴν τῶν νοητῶν μυστικὴν θεωρίαν περὶ νοῦν ἀγνώστως συνισταμένη τοῦ Θεοῦ κατανόησις, ἣν προσφέρει δεόντως ὁ ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων ἀξίως γεραίρων τὸν Κτίσαντα.*

44 *Ἔστι καὶ ἄλλο πνευματικώτερον θέρος, αὐτοῦ λεγόμενον εἶναι τοῦ Θεοῦ, καὶ ἄλλη μυστικωτέρα περιτομή, καὶ ἄλλο κρυφιώτερον Σάββατον, ἐν ᾧ ἀπὸ τῶν ἰδίων ἔργων σαββατίζων ὁ Θεὸς ἀναπαύει, κατὰ τό, «ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι». Καί, «περιτομὴ καρδίας ἐν πνεύματι». Καί, «εὐλόγησεν ὁ Θεὸς τὴν*

23. Λουκᾶ 10,2.

37 'Σάββατο' σημαίνει ἀπάθεια λογικῆς ψυχῆς, ποὺ ἀποβάλλει μὲ τὴν ἄσκηση ἐνάρετων πράξεων ὁλότελα τὰ στίγματα τῆς ἁμαρτίας.

38 'Σάββατα' εἶναι ἡ ἐλευθερία τῆς λογικῆς ψυχῆς, ποὺ μὲ τὴν πνευματικὴ θεωρία τὴς φύσης παραμερίζει κι αὐτὴ τὴ φυσικὴ ἐνέργεια τῆς αἴσθησης.

39 'Σάββατα Σαββάτων' εἶναι ἡ πνευματικὴ ἠρεμία τῆς λογικῆς ψυχῆς ποὺ μαζεύει τὸ νοῦ κι ἀπ' αὐτοὺς ὅλους τοὺς θεϊκότερους λόγους τῶν ὄντων καὶ τὸν συνδέει ὁλόκληρο μὲ μόνο τὸ Θεὸ μὲ μιὰ ἐρωτικὴ ἔκσταση καὶ ποὺ μὲ τὴ μυστικὴ θεολογία τὸν κρατεῖ ὁλότελα ἀμετακίνητο ἀπὸ τὸ Θεό.

40 'Περιτομὴ' εἶναι ἡ ἀπόρριψη τῆς ἐμπαθοῦς ψυχικῆς διάθεσης γιὰ τὴ δημιουργία ἀπογόνων.

41 'Περιτομὴ τῆς περιτομῆς' εἶναι ἡ τέλεια ἀποβολὴ κι ἀφαίρεση κι αὐτῶν τῶν ἁπλῶν φυσικῶν κινημάτων τῆς ψυχῆς σχετικὰ μὲ τὴ δημιουργία ἀπογόνων.

42 'Θέρος' εἶναι ἡ συλλογὴ μ' ἐπιστήμη καὶ ἡ ἐπίγνωση τῶν πνευματικοτέρων λόγων τῶν ὄντων, οἱ ὁποῖοι εἶναι σύμφωνοι μὲ τὴν ἀρετὴ καὶ τὴ φύση.

43 'Θέρος θέρους' εἶναι ἡ ἀπροσέγγιστη ἀπὸ ὅλους κατανόηση τοῦ Θεοῦ ποὺ ἀκατανόητα συντελεῖται στὸ νοῦ μετὰ τὴ μυστικὴ θεωρία τῶν νοητῶν, κατανόηση ποὺ ὅπως πρέπει προσφέρει ὅποιος δοξολογεῖ ἐπάξια τὸ Δημιουργὸ ἀπὸ τὰ ὁρατὰ καὶ ἀόρατα δημιουργήματα.

44 Εἶναι κι ἕνα ἄλλο πιὸ πνευματικὸ θέρος, ποὺ λέγεται ὅτι εἶναι τοῦ ἴδιου τοῦ Θεοῦ, κι ἄλλη περιτομὴ πιὸ μυστική, κι ἄλλο πιὸ κρυφὸ Σάββατο. Κατὰ τὸ Σάββατο αὐτὸ σαββατίζοντας ὁ Θεὸς ἀναπαύεται ἀπὸ τὰ ἔργα του σύμφωνα μὲ τοὺς λόγους· «ὁ θερισμὸς πολὺς καὶ οἱ ἐργάτες λίγοι»[23], «περιτομὴ στὴν καρδιὰ πνευματικὴ»[24] καὶ «εὐλόγησε ὁ Θεὸς τὴν ἕβδομη ἡμέρα καὶ τὴν

24. Ρωμ. 2,29.

*ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι».*

45 *«Θεοῦ θέρος» ἐστὶν ἡ εἰς αὐτὸν κατὰ τὴν τῶν αἰώνων ἀποπεράτωσιν γινομένη τῶν ἀξίων καθόλου μονή τε καὶ ἵδρυσις.*

46 *«Ἐν πνεύματι περιτομὴ καρδίας» ἐστὶν ἡ γινομένη τῶν κατ' αἴσθησιν καὶ νοῦν περὶ τὰ αἰσθητὰ καὶ τὰ νοητὰ φυσικῶν ἐνεργειῶν παντελὴς περιαίρεσις, διὰ τῆς ἀμέσως τό τε σῶμα καὶ τὴν ψυχὴν ὁλικῶς μεταμορφούσης πρὸς τὸ θειότερον παρουσίας τοῦ Πνεύματος.*

47 *«Θεοῦ σαββατισμός» ἐστιν ἡ εἰς αὐτὸν διόλου τῶν πεποιημένων κατάντησις, καθ' ἣν καταπαύει τῆς ἐπ' αὐτῆς φυσικῆς ἐνεργείας, τὴν αὐτοῦ θειοτάτην ἀρρήτως ἐνεργουμένην ἐνέργειαν. Παύεται γὰρ ὁ Θεὸς τῆς ἐν ἑκάστῳ τῶν ὄντων τυχὸν φυσικῆς ἐνεργείας, καθ' ἣν ἕκαστον τῶν ὄντων φυσικῶς κινεῖσθαι πέφυκεν, ὁπόταν ἕκαστον τῆς θείας ἀναλόγως ἐπιλαβόμενον ἐνεργείας, τὴν κατὰ φύσιν οἰκείαν περὶ αὐτὸν ὁρίσῃ τὸν Θεὸν ἐνέργειαν.*

48 *Ζητητέον τοῖς σπουδαίοις, τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα ὧν ἤρξατο τῆς γενέσεως ὁ Θεός, καὶ τίνα πάλιν ὧν οὐκ ἤρξατο. Εἰ γὰρ πάντων κατέπαυσε τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, δῆλον ἐκείνων οὐ κατέπαυσεν, ὧν οὐκ ἤρξατο ποιῆσαι. Μήποτε οὖν ἔργα μὲν Θεοῦ χρονικῶς ἠργμένα τοῦ εἶναί ἐστι πάντα τὰ ὄντα μετέχοντα, οἷον αἱ διάφοροι τῶν ὄντων οὐσίαι. Τὸ γὰρ μὴ ὄν, ἔχουσιν αὐτῶν τοῦ εἶναι πρεσβύτερον. Ἦν γάρ ποτε, ὅτε τὰ ὄντα μετέχοντα οὐκ ἦν. Θεοῦ δὲ ἔργα τυχὸν οὐκ ἠργμένα τοῦ εἶναι χρονικῶς, τὰ ὄντα μεθεκτά, ὧν κατὰ χάριν μετέχουσι τὰ ὄντα μετέχοντα, οἷον ἡ ἀγαθότης καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ. Καὶ ἁπλῶς πᾶσα ζωή, καὶ ἀθανασία καὶ ἁπλότης καὶ ἀτρεψία καὶ ἀπειρία, καὶ ὅσα περὶ αὐτὸν οὐσιωδῶς θεωρεῖται· ἅτινα καὶ ἔργα Θεοῦ εἰσι καὶ*

25. Γεν. 2,2.

ἁγίασε, ἐπειδὴ τὴ μέρα αὐτὴ τελείωσε κάθε ἔργο του ποὺ ἄρχισε νὰ κάνει ὁ Θεός»[25].

45 Θέρος τοῦ Θεοῦ' εἶναι ἡ σταθερὴ παραμονὴ σ' αὐτὸν τῶν ἄξιων, ποὺ πραγματοποιεῖται κατὰ τὴν ἀποπεράτωση τῶν αἰώνων.

46 Πνευματικὴ περιτομὴ τῆς καρδιᾶς' εἶναι ἡ πραγματοποιούμενη τέλεια ἀφαίρεση τῶν ἐνεργειῶν τῆς αἴσθησης καὶ τοῦ νοῦ σχετικὰ μὲ τὰ αἰσθητὰ καὶ τὰ νοητά, μὲ τὴν παρουσία τοῦ Πνεύματος ποὺ προκαλεῖ τὴν ἄμεση ὁλικὴ μεταμόρφωση στὸ σῶμα καὶ τὴν ψυχή.

47 Σαββατισμὸς τοῦ Θεοῦ' εἶναι ἡ συνολικὴ κατάληξη σ' αὐτὸν τῶν δημιουργημάτων, ὁπότε σταματᾶ ἀπὸ τὴ φυσικὴ ἐνέργεια ποὺ ἔχουν τὴ δική τους θεϊκότατη ἐνέργεια ποὺ ἐνεργεῖ μὲ τρόπο ἀνείπωτο. Ἀπέχει δηλαδὴ ὁ Θεὸς ἀπὸ ὅποια τυχὸν φυσικὴ ἐνέργεια κάθε ὄντος, σύμφωνα μὲ τὴν ὁποία κάθε ὂν εἶναι πλασμένο νὰ κινεῖται φυσικά, ὅταν καθένα τους, ἀφοῦ λάβει ὅση θεία ἐνέργεια τοῦ ἀναλογεῖ, βάζει τὸ ὅριο τῆς φυσικῆς δικῆς του ἐνέργειας γύρω ἀπὸ τὸν ἴδιο τὸ Θεό.

48 Οἱ σπουδαῖοι πρέπει νὰ ζητοῦν, ποιὰ ἁρμόζει νὰ σκέπτονται ὅτι εἶναι τὰ ὅρια ποὺ ἄρχισε νὰ δημιουργεῖ ὁ Θεὸς καὶ ποιὰ ποὺ δὲν ἄρχισε. Γιατί, ἂν σταμάτησε ὅλα τὰ ἔργα ποὺ ἄρχισε νὰ δημιουργεῖ, εἶναι φανερὸ ὅτι δὲ σταμάτησε ἐκεῖνα ποὺ δὲν ἄρχισε νὰ δημιουργεῖ. Μήπως λοιπὸν ἔργα τοῦ Θεοῦ μὲ χρονικὴ ἀρχὴ εἶναι ὅλα ὅσα μετέχουν τὸ εἶναι, ὅπως οἱ διάφορες οὐσίες τῶν ὄντων; Γιατὶ ἔχουν ἀπὸ τὸ εἶναι προγενέστερο τὸ μὴ εἶναι. Γιατὶ κάποτε τὰ ὄντα δὲ μετεῖχαν τὸ εἶναι. Καὶ τυχὸν ἔργα τοῦ Θεοῦ ποὺ δὲν ἔχουν ἀρχίσει νὰ ὑπάρχουν χρονικά, εἶναι τὰ ὄντα ποὺ μετέχονται, ποὺ κατὰ χάρη τὰ μετέχουν τὰ ὄντα, ὅπως ἡ ἀγαθότητα καὶ ὅσα περιέχονται στὴν ἔννοια τῆς ἀγαθότητος, καὶ γενικὰ ὅλη ἡ ζωὴ καὶ ἡ ἀθανασία καὶ ἡ ἁπλότητα καὶ ἡ ἀμετατρεψία καὶ ἡ ἀπειρία καὶ ὅσα οὐσιώδη γνωρίσματα ἀποδίδομε σ' αὐτόν. Αὐτὰ εἶναι ἔργα τοῦ Θεοῦ καὶ δὲν ἔχουν ἀρχίσει χρονικά. Γιατὶ ποτὲ δὲν εἶναι ἀπὸ τὴν ἀρετὴ

*οὐκ ἠργμένα χρονικῶς. Οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς, τὸ οὐκ ἦν, οὐδέ τινος ἄλλου τῶν εἰρημένων· κἂν τὰ μετέχοντα αὐτῶν καθ' αὑτά, ἦρκται τοῦ εἶναι χρονικῶς. Ἄναρχος γὰρ πᾶσα ἀρετή, μὴ ἔχουσα τὸν χρόνον ἑαυτῆς πρεσβύτερον· οἷα τὸν Θεὸν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα.*

49 *Πάντων τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπεξῄρηται. Πᾶν γὰρ εἴ τι τὸν τοῦ εἶναι λόγον ἔχει κατηγορούμενον, ἔργον Θεοῦ τυγχάνει· κἂν τὸ μὲν κατὰ γένεσιν ἦρκται τοῦ εἶναι χρονικῶς, τὸ δὲ κατὰ χάριν τοῖς γεγονόσιν ἐμπέφυκεν, οἷά τις δύναμις ἔμφυτος τὸν ἐν πᾶσιν ὄντα Θεὸν διαπρυσίως κηρύττουσα.*

50 *Τὰ ἀθάνατα πάντα καὶ αὐτὴ ἡ ἀθανασία, καὶ τὰ ζῶντα πάντα καὶ αὐτὴ ἡ ζωή, καὶ τὰ ἅγια πάντα καὶ αὐτὴ ἡ ἁγιότης, καὶ τὰ ἐνάρετα πάντα καὶ αὐτὴ ἡ ἀρετή, καὶ τὰ ἀγαθὰ πάντα καὶ αὐτὴ ἡ ἀγαθότης, καὶ τὰ ὄντα πάντα καὶ αὐτὴ ἡ ὀντότης, Θεοῦ προδήλως ἔργα τυγχάνουσιν· ἀλλὰ τὰ μὲν τοῦ εἶναι χρονικῶς ἠργμένα, ἦν γάρ ποτε, ὅτε οὐκ ἦν, τὰ δὲ τοῦ εἶναι χρονικῶς οὐκ ἤργμένα. Οὐκ ἦν γάρ ποτε, ὅτε οὐκ ἦν ἀρετὴ καὶ ἀγαθότης καὶ ἁγιότης καὶ ἀθανασία. Καὶ τὰ μὲν ἠργμένα χρονικῶς τῇ μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς εἰσὶ καὶ λέγονται, τοῦθ' ὅπερ καὶ εἰσὶ καὶ λέγονται. Πάσης γὰρ ζωῆς καὶ ἀθανασίας, ἁγιότητός τε καὶ ἀρετῆς, δημιουργός ἐστιν ὁ Θεός· ὑπὲρ οὐσίαν γὰρ πάντων τῶν τε νοουμένων καὶ λεγομένων ἐξῄρηται.*

51 *Ἡ ἕκτη κατὰ τὴν Γραφὴν ἡμέρα τὴν τῶν ὑπὸ φύσιν ὄντων εἰσηγεῖται συμπλήρωσιν, ἡ δὲ ἑβδόμη τῆς χρονικῆς ἰδιότητος περιγράφει τὴν κίνησιν, ἡ δὲ ὀγδόη τῆς ὑπὲρ φύσιν καὶ χρόνον ὑποδηλοῖ καταστάσεως τὸν τρόπον.*

52 *Ὁ τὴν ἕκτην μόνον κατὰ τὸν νόμον ἄγων ἡμέραν, τὴν κατ' ἐνέργειαν ἐκθλίβουσαν τὴν ψυχὴν τῶν παθῶν φεύγων δυναστείαν*

προγενέστερο τὸ νὰ μὴν ὑπῆρχαν οὔτε ἀπὸ κανένα ἄλλο ἀπὸ ὅσα εἴπαμε, ἀκόμα κι ἂν ὅσα τὰ μετέχουν ἔχουν καθεαυτὰ ἀρχίσει νὰ ὑπάρχουν χρονικά. Γιατὶ κάθε ἀρετὴ εἶναι δίχως ἀρχή, ἀφοῦ δὲν ἔχει τὸ χρόνο προγενέστερό της· ἔχει αἰώνια μοναδικὸ πατέρα τοῦ εἶναι της τὸ Θεό.

49 Γιατὶ ὁ Θεὸς εἶναι πάνω ἀπὸ ὅλα τὰ ὄντα, τόσο ἀπὸ αὐτὰ ποὺ μετέχουν ὅσο κι ἀπ' αὐτὰ ποὺ μετέχονται, μὲ τρόπο ἄπειρο ἄπειρες φορές. Γιατὶ καθετὶ ποὺ ἔχει κατηγορούμενό του τὴν ἔννοια τοῦ εἶναι, τυχαίνει ἔργο τοῦ Θεοῦ, κι ἂς ἔχει ἀρχίσει τὸ ἕνα τὴ γέννησή του μὲ χρονικὴ ὕπαρξη, ἐνῶ τὸ ἄλλο ὑπεισῆλθε στὰ δημιουργήματα κατὰ χάρη, ὅπως μιὰ ἔμφυτη δύναμη σ' αὐτά, πού κηρύττει μεγαλόφωνα τὸ Θεὸ ποὺ βρίσκεται σ' ὅλα.

50 Ὅλα ὅσα χαρακτηρίζονται ἀθάνατα καὶ ἡ ἴδια ἡ ἀθανασία, καὶ ὅλα ὅσα εἶναι ζωντανὰ καὶ ἡ ἴδια ἡ ζωή, καὶ ὅλα τὰ ἅγια καὶ ἡ ἴδια ἡ ἁγιότητα, καὶ ὅλα τὰ ἐνάρετα καὶ ἡ ἴδια ἡ ἀρετή, καὶ ὅλα τὰ ἀγαθὰ καὶ ἡ ἴδια ἡ ἀγαθότητα, καὶ ὅλα τὰ ὄντα καὶ ἡ ἴδια ἡ ὀντότητα, εἶναι πρόδηλο πὼς εἶναι ἔργα τοῦ Θεοῦ. Ἄλλα ὅμως ἔχουν χρονικὴ ἀρχή, γιατὶ κάποτε δὲν ὑπῆρχαν, κι ἄλλα δὲν ἔχουν χρονικὴ ἀρχή. Γιατὶ δὲν ὑπῆρχε διάστημα, ποὺ δὲν ὑπῆρχε ἀρετὴ καὶ ἀγαθότητα καὶ ἁγιότητα καὶ ἀθανασία. Καὶ ὅσα ἔχουν χρονικὴ ἀρχὴ ὑπάρχουν καὶ ὀνομάζονται, ὁποία εἶναι ἡ ὕπαρξή τους καὶ ὅπως ὀνομάζονται, μὲ τὴ μετοχὴ ὅσων δὲν ἔχουν χρονικὴ ἀρχή. Τῆς ζωῆς δηλαδὴ καὶ τῆς ἀθανασίας, τῆς ἁγιότητας καὶ τῆς ἀρετῆς δημιουργὸς εἶναι ὁ Θεός. Γιατὶ εἶναι πάνω ἀπὸ τὴν οὐσία ὅλων ὅσα νοοῦνται καὶ λέγονται.

51 Ἡ ἕκτη ἡμέρα κατὰ τὴ Γραφὴ μᾶς μιλάει γιὰ τὴ συμπλήρωση τῶν φυσικῶν ὄντων, ἡ ἕβδομη ὁρίζει τὴν κίνηση τῆς χρονικῆς ἰδιότητας· ἡ ὄγδοη ὑπαινίσσεται τὸν τρόπο ποὺ ὑπάρχουν τὰ πάνω ἀπὸ τὴ φύση καὶ τὸ χρόνο.

52 Αὐτὸς ποὺ ζεῖ τὴν ἕκτη ἡμέρα μόνο σύμφωνα μὲ τὸ νόμο, ἀποφεύγοντας τὴ δυναστεία τῶν παθῶν ποὺ μὲ τὴν ἐνέργειά της συνθλίβει τὴν ψυχή, διασχίζοντας χωρὶς φόβο τὴ θάλασσα

*διὰ τῆς θαλάσσης ἀφόβως ἐπὶ τὴν ἔρημον διαβαίνει, τὴν τῶν παθῶν ἀργίαν μόνην σαββατίζων. Ὁ δὲ τὸν Ἰορδάνην διαβὰς καὶ αὐτὴν ἀπολιπὼν τὴν τῶν παθῶν μόνον ἀργοῦσαν κατάστασιν, ἦλθεν εἰς τὴν τῶν ἀρετῶν κληρονομίαν.*

53 *Ὁ τὴν ἕκτην εὐαγγελικῶς ἄγων ἡμέραν ἀποκτείνας πρότερον τὰ τῆς ἁμαρτίας πρῶτα κινήματα, τὴν πάσης κακίας ἔρημον διὰ τῶν ἀρετῶν καταλαμβάνει τῆς ἀπαθείας κατάστασιν, σαββατίζων κατὰ νοῦν καὶ αὐτῆς ψιλῆς τῆς τῶν παθῶν φαντασίας. Ὁ δὲ τὸν Ἰορδάνην διαπεράσας, εἰς τὴν τῆς γνώσεως μετατίθεται χώραν, καθ' ἣν ὁ νοῦς, ναὸς μυστικῶς ὑπὸ τῆς εἰρήνης οἰκοδομούμενος, Θεοῦ κατοικητήριον γίνεται ἐν Πνεύματι.*

54 *Ὁ τὴν ἕκτην θεϊκῶς μετὰ τῶν προσφόρων ἔργων καὶ ἐννοιῶν ἑαυτῷ συμπληρώσας ἡμέραν, καὶ αὐτὸς μετὰ τοῦ Θεοῦ καλῶς τὰ ἑαυτοῦ συντελέσας ἔργα, διέβη τῇ κατανοήσει πᾶσαν τὴν τῶν ὑπὸ φύσιν καὶ χρόνον ὑπόστασιν καὶ εἰς τὴν τῶν αἰώνων καὶ τῶν αἰωνίων μετετάξατο μυστικὴν θεωρίαν, σαββατίζων ἀγνώστως κατὰ νοῦν τὴν ὁλικὴν τῶν ὄντων ἀπόλειψίν τε καὶ ὑπέρβασιν. Ὁ δὲ καὶ τῆς ὀγδόης ἀξιωθείς, ἐκ τῶν νεκρῶν ἀνέστη, τῶν μετὰ Θεὸν λέγω πάντων, αἰσθητῶν τε καὶ νοητῶν, καὶ λόγων καὶ νοημάτων, καὶ ἔζησε τὴν τοῦ Θεοῦ μακαρίαν ζωήν, τοῦ μόνου κατ' ἀλήθειαν κυρίως ζωῆς καὶ λεγομένου καὶ ὄντος, οἷα καὶ αὐτὸς γενόμενος τῇ θεώσει Θεός.*

55 *Ἕκτη ἡμέρα ἐστὶν ἡ τῶν πρακτικῶν περὶ τὴν ἀρετὴν τῶν κατὰ φύσιν ἐνεργειῶν παντελὴς ἀποπλήρωσις· ἑβδόμη δέ ἐστιν ἡ τῶν θεωρητικῶν περὶ τὴν ἄρρητον γνῶσιν πασῶν τῶν φυσικῶν ἐννοιῶν ἀποπεράτωσις καὶ ἀπόπαυσις· ὀγδόη δὲ ἡ πρὸς θέωσιν τῶν ἀξίων μετάταξίς τε καὶ μετάβασις. Καὶ μήποτε ταύτην τὴν ἑβδόμην καὶ τὴν ὀγδόην τυχὸν μυστικώτερον ὑποφαίνων ὁ Κύριος, προσηγόρευσεν ἡμέραν συντελείας καὶ ὥραν, ὡς πάντων περιγρά-*

βγαίνει στὴν ἔρημο, σαββατίζοντας μόνο στὴν ἀργία τῶν παθῶν. Ὅποιος ὅμως πέρασε τὸν Ἰορδάνη, ἀφοῦ ἐγκατάλειψε καὶ αὐτὴ μόνο τὴν ἀδρανὴ κατάσταση τῶν παθῶν, ἔφθασε στὴν κληρονομία τῶν ἀρετῶν.

53 Ὅποιος ὅμως περνᾶ τὴν ἕκτη ἡμέρα σύμφωνα μὲ τὸ εὐαγγέλιο, ἀφοῦ προηγουμένως σκοτώσει τὰ πρῶτα κινήματα τῆς ἁμαρτίας, κυριεύει μὲ τὶς ἀρετὲς τὴν κατάσταση τῆς ἀπάθειας τὴν ἔρημη ἀπὸ κάθε κακία, σαββατίζοντας νοερὰ κι ἀπὸ αὐτὴ τὴν ἁπλὴ φαντασία τῶν παθῶν. Αὐτὸς ὅμως ποὺ πέρασε τὸν Ἰορδάνη μεταβαίνει στὴ χώρα τῆς γνώσεως, ὅπου ὁ νοῦς οἰκοδομεῖται ἀπὸ τὴν εἰρήνη καὶ γίνεται μυστικὰ ναός, πνευματικὸ κατοικητήριο τοῦ Θεοῦ.

54 Ὅποιος γέμισε θεϊκὰ τὴν ἕκτη ἡμέρα του μὲ τὰ κατάλληλα ἔργα καὶ τὶς ἔννοιες καὶ τελείωσε καλὰ ὁ ἴδιος μὲ τὴ βοήθεια τοῦ Θεοῦ τὰ δικά του ἔργα, πέρασε μὲ τὴν κατανόηση ὅλο τὸν κόσμο τῶν φυσικῶν καὶ χρονικῶν ὄντων καὶ μεταφέρθηκε στὴ θεωρία τῶν αἰώνων καὶ τῶν αἰώνιων ὄντων, σαββατίζοντας νοερὰ χωρὶς νὰ ξέρει πῶς στὴν ὁλικὴ ἐγκατάλειψη καὶ ὑπέρβαση τῶν ὄντων. Αὐτὸς τώρα ποὺ ἀξιώθηκε καὶ τὴ ὄγδοη ἡμέρα ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς, ἐννοῶ ἀπὸ ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεό, καὶ αἰσθητὰ καὶ νοητά, καὶ λόγους καὶ νοήματα, καὶ ἔζησε τὴ μακάρια ζωὴ τοῦ Θεοῦ, (τοῦ μάννα ποὺ λέγεται καὶ εἶναι πραγματικὰ ἡ ἀληθινὴ ζωή), γιατὶ κι αὐτὸς ἔγινε θεὸς ἔπειτ' ἀπὸ θέωση.

55 Ἕκτη ἡμέρα εἶναι ἡ τέλεια ὁλοκλήρωση τῶν φυσικῶν ἐνεργειῶν ὅσων ἐργάζονται ἔμπρακτα σχετικὰ μὲ τὴν ἀρετή. Ἕβδομη ἡμέρα εἶναι ὁ τερματισμὸς καὶ τὸ σταμάτημα τῶν θεωρητικῶν νὰ σκέφτονται φυσικὰ σχετικὰ μὲ τὴν ἄρρητη γνώση. Ὄγδοη ἡμέρα εἶναι ἡ μετάθεση καὶ μετάβαση τῶν ἀξίων στὴ θέωση. Καὶ ἴσως τὴν ἕβδομη αὐτὴ καὶ ὄγδοη ἡμέρα εἶναι ποὺ ὑποδηλώνει ὁ Κύριος μυστικὰ ὀνομάζοντάς τις ἡμέρα καὶ ὥρα τῆς συντέλειας[26], ἐπειδὴ περικλείουν τὰ μυστήρια καὶ

26. Ἰω. 19,30.

*φουσαν τὰ μυστήρια καὶ τοὺς λόγους. Ἄς οὐδὲν οὐδαμῶς τὸ παράπαν τῶν ἐπουρανίων καὶ ἐπιγείων δυνάμεων γνῶναι πρὸ πείρας τοῦ παθεῖν δυνήσεται, πλὴν αὐτῆς τῆς ταῦτα ποιούσης μακαρίας θεότητος.*

56 *Ἡ ἕκτη ἡμέρα τὸν τοῦ εἶναι τῶν ὄντων λόγον ὑποδηλοῖ, ἡ δὲ ἑβδόμη τὸν τοῦ εὖ εἶναι τῶν ὄντων τρόπον ὑποσημαίνει, ἡ δὲ ὀγδόη τὸ τοῦ ἀεὶ εὖ εἶναι τῶν ὄντων ἄρρητον μυστήριον ὑπαγορεύει.*

57 *Πρακτικῆς ἐνεργείας σύμβολον ὑπάρχουσαν τὴν ἕκτην ἡμέραν γινώσκοντες, πᾶσαν ἐν αὐτῇ τῶν ἔργων τῆς ἀρετῆς τὴν ὀφειλὴν ἀποπληρώσωμεν, ὅπως καὶ ἐφ' ἡμῶν ρηθείη τό, «καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν».*

58 *Ἀποπληροῖ τὴν ὀφειλὴν τῆς ἐπαινουμένης τῷ Θεῷ καλῆς ἐργασίας, ὁ διὰ σώματος τῇ ψυχῇ φιλοπονῶν τὴν εὔκοσμον ποικιλίαν τῶν ἀρετῶν.*

59 *Ὁ τὴν παρασκευὴν τῶν ἔργων τῆς δικαιοσύνης πληρώσας, διέβη πρὸς τὴν ἀνάπαυσιν τῆς γνωστικῆς θεωρίας, καθ' ἥν, τοὺς λόγους τῶν ὄντων περιλαβὼν θεοπρεπῶς, τῆς κατὰ νοῦν περὶ αὐτὴν κινήσεως ἀναπαύεται.*

60 *Ὁ τῆς δι' ἡμᾶς ἑβδοματικῆς τοῦ Θεοῦ μετεσχηκὼς ἀναπαύσεως, καὶ τῆς αὐτοῦ δι' ἡμᾶς μεθέξει κατὰ τὴν θέωσιν ὀγδοατικῆς ἐνεργείας, εἴτουν μυστικῆς ἀναστάσεως, ἀφεὶς καὶ αὐτὸς ἐν τῷ τάφῳ κείμενα τὰ ὀθόνια καὶ τὸ ἐπὶ τῆς κεφαλῆς σουδάριον, ἅπερ θεωροῦντες εἴ τις Πέτρος καὶ Ἰωάννης, πιστεύουσιν ἐγηγέρθαι τὸν Κύριον.*

61 *Μνημεῖόν ἐστιν ἴσως Δεσποτικόν, ἢ ὁ κόσμος οὗτος, ἢ ἡ ἑκάστου τῶν πιστῶν καρδία, τὰ δὲ ὀθόνια, οἱ τῶν αἰσθητῶν μετὰ τῶν κατ' ἀρετὴν τρόπων ὑπάρχουσι λόγοι, τὸ δὲ σουδάριον, ἡ τῶν*

τοὺς λόγους ὅλων. Αὐτὲς ἀπολύτως τίποτε μὲ κανένα τρόπο ἀπὸ τὶς ἐπουράνιες καὶ ἐπίγειες δυνάμεις δὲ θὰ μπορέσει νὰ τὶς γνωρίσει προτοῦ τὶς ζήσει, ἐκτὸς ἀπὸ τὴ μακάρια θεότητα ποὺ τὰ πραγματοποιεῖ αὐτά.

56 Ἡ ἕκτη ἡμέρα ὑποδηλώνει τὸ λόγο ποὺ ὑπάρχουν τὰ ὄντα. Ἡ ἕβδομη σημαίνει τὸν τρόπο τῆς μακαριότητας τῶν ὄντων. Καὶ ἡ ὄγδοη φανερώνει τὸ ἄρρητο μυστήριο τῆς αἰώνιας μακαριότητας τῶν ὄντων.

57 Ξέροντας ὅτι ἡ ἕκτη ἡμέρα εἶναι σύμβολο τῆς πρακτικῆς ἐνέργειας, ἂς ξεπληρώσομε μέσα σ' αὐτὴ τὴν ὀφειλή μας ἀπὸ ἔργα ἀρετῆς, γιὰ νὰ λεχτεῖ καὶ σ' ἐμᾶς ὁ λόγος· «καὶ ὁ Θεὸς κοίταξε ὅλα ὅσα ἔκανε, καὶ νά, ἦταν πολὺ καλά»[27].

58 Ξεπληρώνει τὴν ὀφειλή του σὲ καλὴ ἐργασία ποὺ ἐπαινεῖται ἀπὸ τὸ Θεό, ὅποιος μὲ τὸ σῶμα του ἐργάζεται φιλόπονα γιὰ χάρη τῆς ψυχῆς τὴν ἁρμονικὴ ποικιλία τῶν ἀρετῶν.

59 Ὅποιος ὁλοκλήρωσε τὴν προετοιμασία τῶν ἔργων τῆς δικαιοσύνης, πέρασε στὴν ἀνάπαυση ποὺ παραχωρεῖ ἡ γνωστικὴ θεωρία. Ἐκεῖ περιλαβαίνοντας θεϊκὰ τοὺς λόγους τῶν ὄντων ἀναπαύεται ἀπὸ τὴ διανοητικὴ σχετικὰ μ' αὐτὴν κίνηση.

60 Ὅποιος κοινώνησε τὴ γιὰ χάρη μας ἀνάπαυση τοῦ Θεοῦ κατὰ τὴν ἕβδομη ἡμέρα, αὐτὸς θὰ κοινωνήσει καὶ τὴ δική του γιὰ χάρη μας ἐνέργεια τῆς ὄγδοης ἡμέρας κατὰ τὴ θέωση, ἤτοι τὴ μυστικὴ ἀνάσταση, ἀφήνοντας κι αὐτὸς νὰ κείτονται μέσα στὸ μνῆμα τὰ ἐντάφια καὶ τὸ κάλυμμα τῆς κεφαλῆς του ποῦ ἀντικρύζοντάς τα ὁποιοι εἶναι Πέτρος καὶ Ἰωάννης πιστεύουν ὅτι ὁ Κύριος ἔχει ἀναστηθεῖ.

61 Μνῆμα τοῦ Κυρίου μας εἶναι ἴσως ἢ αὐτὸς ὁ κόσμος ἢ ἡ καρδιὰ τοῦ κάθε πιστοῦ, καὶ ἐντάφια εἶναι οἱ λόγοι τῶν αἰσθητῶν μαζὶ μὲ τοὺς τρόπους τῆς ἀρετῆς. Καὶ τὸ σκέπασμα τῆς κεφαλῆς εἶναι ἡ ἁπλή, ἀδιαφόριστη γνώση τῆς δυνατῆς σ' ἐμᾶς

27. Γεν. 1,31.

*νοητῶν ἐστι μετὰ τῆς ἐνδεχομένης θεολογίας ἁπλῆ καὶ ἀποίκιλος γνῶσις, δι' ὧν ἐγνωρίζετο πρότερον ὁ Λόγος, ἀχώρητον ἡμῖν ἔχων παντάπασι δίχα τούτων τὴν ὑπὲρ ταῦτα κατάληψιν.*

62 *Οἱ θάπτοντες ἐντίμως τὸν Κύριον, καὶ ἐνδόξως ἀναστάντα θεάσονται, πᾶσιν ὄντα τοῖς μὴ τοιούτοις ἀθέατον. Οὐκ ἔτι γὰρ τοῖς ἐπιβουλεύουσίν ἐστιν ἁλωτός, οὐκ ἔχων τῶν ἐκτὸς τὰ προκαλύμματα, δι' ὧν ἐδόκει θέλων ἁλίσκεσθαι παρὰ τῶν βουλομένων καὶ πάσχειν ὑπὲρ τῆς πάντων σωτηρίας ἠνείχετο.*

63 *Ὁ θάπτων ἐντίμως τὸν Κύριον, πᾶσίν ἐστι τοῖς φιλοθέοις αἰδέσιμος· θριάμβου γὰρ αὐτὸν καὶ ὀνείδους καθηκόντως ἐρρύσατο, βλασφημίας ὑπόθεσιν οὐκ ἀφεὶς τοῖς ἀπίστοις, τὴν ἐν τῷ ξύλῳ αὐτοῦ προσήλωσιν. Οἱ δὲ σφραγῖδας ἐπιτιθέντες τῷ τάφῳ καὶ στρατιώτας προκαθιστῶντες, μισητοὶ τῆς ἐγχειρήσεως, οἳ καὶ ἀναστάντα τὸν Λόγον, ὡς κλαπέντα διαβάλλουσιν, ἀργυρίῳ, ὥσπερ τὸν νόθον μαθητὴν εἰς προδοσίαν (λέγω δὲ τὸν ἐπιδεικτικὸν τρόπον τῆς ἀρετῆς), οὕτω καὶ τοὺς στρατιώτας πρὸς συκοφαντίαν τοῦ ἀναστάντος Σωτῆρος ὠνούμενοι. Γινώσκει τῶν λεγομένων τὴν ἔμφασιν ὁ γνωστικός· οὐκ ἀγνοῶν πῶς τε καὶ ποσαχῶς σταυροῦται ὁ Κύριος καὶ θάπτεται καὶ ἀνίσταται· ὡσεὶ νεκροὺς μὲν ποιῶν τοὺς ὑπὸ δαιμόνων τῇ καρδίᾳ παρακαθημένους ἐμπαθεῖς λογισμούς, τοὺς διαμεριζομένους ἐν τοῖς πειρασμοῖς, ὥσπερ ἱμάτια, τοὺς τρόπους τῆς ἠθικῆς εὐπρεπείας, καὶ ὑπερβαίνων ὥσπερ σφραγῖδας τοὺς ἐπικειμένους τῇ ψυχῇ τύπους τῶν κατὰ πρόληψιν ἁμαρτημάτων.*

64 *Πᾶς φιλάργυρος δι' εὐλαβείας τὴν ἀρετὴν ὑποκρινόμενος, ἐπειδὰν εὕρῃ τὴν ποθουμένην ὕλην πορίσασθαι, τὸν τρόπον ἐξόμνυται, καθ' ὃν μαθητὴς εἶναι τοῦ Λόγου τὸ πρὶν ἐνομίζετο.*

θεολογίας τῶν νοητῶν, ποὺ μέσω τους προηγούμενα γινόταν γνωστὸς ὁ Λόγος καὶ ποὺ δίχως αὐτὰ ἦταν ὁλότελα ἀκατανόητη γιὰ μᾶς ἡ πάνω ἀπὸ αὐτά κατανόησή του.

62 Ὅποιοι ἐνταφιάζουν μὲ τιμὲς τὸν Κύριο, θὰ τὸν δοῦν καὶ ν' ἀνασταίνεται ὅλος δόξα, ἐνῶ θὰ εἶναι ἀθέατος γιὰ ὅσους δὲν εἶναι σὰν αὐτούς. Γιατὶ δὲν εἶναι πιὰ δυνατὸ νὰ πιαστεῖ ἀπὸ τοὺς ἐχθρούς του, ἐπειδὴ δὲν ἔχει τὰ ἐξωτερικὰ προκαλύμματα, μέσω τῶν ὁποίων φαινόταν ὅτι θὰ πιανόταν μὲ θέλημά του ἀπὸ ὅποιους ἤθελαν, κι ὅτι θ' ἀνεχόταν νὰ πάθει γιὰ τὴν κοινὴ σωτηρία ὅλων.

63 Ὅποιος ἐνταφιάζει μὲ τιμὲς τὸν Κύριο, εἶναι σεβαστὸς σ' ὅλους ποὺ ἀγαποῦν τὸ Θεό. Γιατί, ὅπως πρέπει τὸν γλίτωσε ἀπὸ τὴ διαπόμπευση καὶ τὸ ντρόπιασμα, ἀφοῦ δὲν ἄφησε νὰ γίνει ἀνάμεσα στοὺς ἄπιστους ἀντικείμενο βλασφημίας τὸ ἀνέβασμά του στὸ σταυρό. Ὅσοι ὅμως ἔβαλαν σφραγίδες στὸν τάφο καὶ τοποθέτησαν στρατιῶτες εἶναι μισητοὶ ἐξαιτίας τῆς ἐνέργειάς τους. Αὐτοὶ καὶ μετὰ τὴν ἀνάσταση τοῦ Λόγου διαδίδουν ὅτι τάχα κάποιοι τὸν ἔκλεψαν, ἐξαγοράζοντας μὲ χρήματα, ὅπως τὸν ψεύτικο μαθητὴ γιὰ νὰ τὸν προδώσει (ἐννοῶ τὸν ἐπιδεικτικὸ τρόπο τῆς ἀρετῆς), ἔτσι καὶ τοὺς στρατιῶτες γιὰ νὰ τὸν συκοφαντήσουν. Γνωρίζει ὅποιος ἐπιδίδεται στὴ γνώση τὴ σημασία τῶν λόγων μου· δὲν τοῦ εἶναι ἄγνωστο μὲ ποιοὺς τρόπους καὶ πόσες φορὲς ὁ Κύριος σταυρώνεται καὶ ἐνταφιάζεται καὶ ἀνασταίνεται. Τοῦτο γίνεται ὅταν θανατώνει τοὺς ἐμπαθεῖς λογισμοὺς ποὺ βάζουν στὴν καρδιά μας οἱ δαίμονες καὶ διαιροῦν μὲ τοὺς διάφορους πειρασμοὺς τοὺς τρόπους τῆς ἠθικῆς ἁρμονίας σὰ νὰ ἦταν ἱμάτια, κι ὅταν παραμερίζει καθὼς σφραγίδες τοὺς τύπους ποὺ ἔχουν ἀποτεθεῖ στὴν ψυχὴ τῶν μελλοντικῶν ἁμαρτημάτων.

64 **Κάθε φιλάργυρος ποὺ μεταμφιέζεται μὲ τὴν ἀρετὴ τῆς εὐλάβειας, ὅταν ἐπιτύχει ν' ἀποκτήσει τὰ χρήματα ποὺ ποθεῖ, πετάει τὴν προηγούμενη συμπεριφορά, ποὺ τὸν ἔκανε νὰ νομίζεται πὼς ἦταν μαθητὴς τοῦ Λόγου.**

65 Ὅταν ἴδῃς τινὰς ὑπερηφάνους μὴ φέροντας ἐπαινεῖσθαι τοὺς κρείττονας, ἀκήρυκτόν τε μηχανωμένους ποιεῖν τὴν λαλουμένην ἀλήθειαν, μυρίοις αὐτὴν ἀπείργοντας πειρασμοῖς καὶ ἀθεμίτοις διαβολαῖς, νόει μοι πάλιν ὑπὸ τούτων σταυροῦσθαι τὸν Κύριον καὶ θάπτεσθαι καὶ στρατιώταις καὶ σφραγῖσι φυλάττεσθαι, οὓς ἑαυτοῖς περιτρέπων ὁ Λόγος, ἀνίσταται· πλέον τῷ πολεμεῖσθαι, διαφαινόμενος· ὡς πρὸς ἀπάθειαν διὰ τῶν παθημάτων στομούμενος. Πάντων γάρ ἐστιν ἰσχυρότερος, ὡς ἀλήθεια καὶ ὢν καὶ καλούμενος.

66 Τὸ τῆς ἐνσωματώσεως τοῦ Λόγου μυστήριον, πάντων ἔχει τῶν τε κατὰ τὴν Γραφὴν αἰνιγμάτων καὶ τύπων τὴν δύναμιν, καὶ τῶν φαινομένων καὶ νοουμένων κτισμάτων τὴν ἐπιστήμην. Καὶ ὁ μὲν γνοὺς σταυροῦ καὶ ταφῆς τὸ μυστήριον, ἔγνω τῶν προειρημένων τοὺς λόγους, ὁ δὲ τῆς ἀναστάσεως μυηθεὶς τὴν ἀπόρρητον δύναμιν, ἔγνω τὸν ἐφ' ᾧ τὰ πάντα προηγουμένως ὁ Θεὸς ὑπεστήσατο σκοπόν.

67 Τὰ φαινόμενα πάντα δεῖται σταυροῦ· τῆς τῶν ἐπ' αὐτοῖς κατ' αἴσθησιν ἐνεργουμένων ἐπεχούσης τὴν σχέσιν, ἕξεως· τὰ δὲ νοούμενα πάντα χρῄζει ταφῆς· τῆς τῶν ἐπ' αὐτοῖς κατὰ νοῦν ἐνεργουμένων ὁλικῆς ἀκινησίας. Τῇ γὰρ σχέσει συναναιρουμένης τῆς περὶ πάντα φυσικῆς ἐνεργείας τε καὶ κινήσεως, ὁ λόγος μόνος ἐφ' ἑαυτὸν ὑπάρχων, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος ἀναφαίνεται, πάντα κατὰ περιγραφὴν ἔχων τὰ ἐξ αὐτοῦ, μηδενὸς φυσικῇ σχέσει τὴν πρὸς αὐτὸν οἰκειότητα τὸ σύνολον ἔχοντος. Κατὰ χάριν γάρ, ἀλλ' οὐ κατὰ φύσιν ἐστὶν ἡ τῶν σωζομένων σωτηρία.

68 Τῶν 'πρός τι', καὶ οἱ αἰῶνές εἰσι, καὶ οἱ χρόνοι, καὶ οἱ τόποι, ὧν ἄνευ οὐδὲν τῶν συνεπινοουμένων τούτοις ἐστίν. Ὁ δὲ Θεός, οὐ τῶν πρός τι ἐστίν· οὐ γὰρ ἔχει τι καθόλου συνεπινοούμενον. Εἴπερ οὖν ἄρα κληρονομία τῶν ἀξίων αὐτός ἐστιν ὁ Θεός, ὑπὲρ πάντας

65 Ὅταν συναντήσει κάποιους περήφανους πού δὲν ἀνέχονται νά ἐπαινοῦνται οἱ καλύτεροι καὶ μηχανεύονται τρόπους νὰ κάνουν νὰ μὴν ἀκουστεῖ ἡ κοινὴ ἀλήθεια, ἐμποδίζοντάς την μὲ μύριους πειρασμοὺς κι ἀθέμιτες διαβολές, σκέψου καὶ σ' αὐτὴ τὴν περίπτωση ὅτι ὁ Κύριος σταυρώνεται ἀπὸ αὐτοὺς καὶ θάπτεται καὶ φυλάγεται μὲ στρατιῶτες καὶ σφραγίδες. Αὐτοὺς ὁ Λόγος μπλέκοντάς τους μέσα στὰ τεχνάσματά τους, ἀνασταίνεται, προβάλλοντας λαμπρότερος μὲ τὸν πόλεμο, καθὼς τὰ παθήματα τὸν κάνουν ἱκανώτερο γιὰ τὴν ἀπάθεια. Γιατὶ εἶναι ἀπὸ ὅλους πιὸ ἰσχυρός, ἀφοῦ εἶναι καὶ λέγεται ἀλήθεια.

66 Τὸ μυστήριο τῆς ἐνσάρκωσης τοῦ Λόγου ἔχει τὴ δύναμη ὅλων τῶν αἰνιγματικῶν λόγων καὶ τῶν τύπων τῆς Γραφῆς καὶ ὅλη τὴ γνώση τῶν ὁρατῶν καὶ νοητῶν δημιουργημάτων. Κι ὅποιος ἐννόησε τὸ μυστήριο τοῦ σταυροῦ καὶ τῆς ταφῆς, ἐννόησε τοὺς λόγους ὅσων ἀναφέραμε· ὅποιος μυήθηκε τὴν ἀπόρρητη δύναμη τῆς ἀνάστασης, ἐννόησε τὸ σκοπὸ γιὰ τὸν ὁποῖο ὁ Θεὸς ἔδωσε κατὰ τὴν ἀρχὴ τῆς δημιουργίας ὑπόσταση στὰ πάντα.

67 Τὰ ὁρατὰ ὅλα ἔχουν ἀνάγκη ἀπὸ τὸ σταυρό, ἐπειδὴ ἡ ἕξη ἐμποδίζει τὴ σχέση ὅσων ἐνεργοῦνται σ' αὐτὰ μὲ τὴν αἴσθηση. Τὰ νοητὰ ὅλα χρειάζονται ταφή, δηλαδὴ τὴν ὁλικὴ ἀκινησία τῶν νοερῶν ἐνεργειῶν πού τὰ ἀφοροῦν. Γιατί καθὼς μαζὶ μὲ τὴ σχέση συναναιρεῖται καὶ ἡ σχετικὴ μὲ ὅλα φυσικὴ ἐνέργεια καὶ κίνηση, μόνος ὁ λόγος αὐτοῦπαρκτος προβάλλει σὰ νά 'χει ἀναστηθεῖ ἀπὸ τοὺς νεκρούς, περικλείοντας σὲ περίγραμμα ὅλα ὅσα προέρχονται ἀπὸ αὐτά, χωρὶς νὰ ἔχει κανένα τὴ συγγένεια μαζί του μὲ φυσικὴ σχέση. Γιατὶ ἡ σωτηρία ὅσων σώζονται γίνεται κατὰ χάρη κι ὄχι κατὰ φύση.

68 Ἀπὸ τὰ ὑποκείμενα στὴν κατηγορία τῆς σχέσης εἶναι καὶ οἱ αἰῶνες καὶ οἱ χρόνοι καὶ οἱ τόποι· χωρὶς αὐτὰ δὲν ὑπάρχει τίποτα ἀπὸ ὅσα νοοῦμε μαζὶ μὲ αὐτά. Ὁ Θεὸς ὅμως δὲν εἶναι ἀπὸ τὰ ὑποκείμενα στὴ σχέση· γιατὶ δὲν ἔχει τίποτα ἀπολύτως πού νοοῦμε μαζί του. Ἂν λοιπὸν κληρονομία τῶν ἀξίων εἶναι ὁ ἴδιος

αἰῶνας καὶ χρόνους καὶ τόπους ὁ ταύτης ἀξιούμενος τῆς χάριτος ἔσται, τόπον ἔχων αὐτόν τὸν Θεόν, κατὰ τὸ γεγραμμένον· «γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς τόπον ὀχυρόν, τοῦ σῶσαί με».

69 Τὸ τέλος οὐδὲν τὸ παράπαν ἐμφερὲς ἔχει μεσότητι· ἐπεὶ οὐδὲ τέλος. Μεσότης δέ ἐστι πάντα τὰ μετὰ τὴν ἀρχὴν κατόπιν ὄντα τοῦ τέλους. Εἰ τοίνυν πάντες οἱ αἰῶνες καὶ οἱ χρόνοι καὶ οἱ τόποι μετὰ τῶν συνεπινοουμένων αὐτοῖς ἁπάντων, μετὰ τὸν Θεόν εἰσιν, ἀρχὴν ἄναρχον ὄντα· καὶ ὡς ἀπείρου τέλους αὐτοῦ πολὺ κατόπιν ὑπάρχουσι, μεσότητος οὐδὲν διαφέρουσι· τέλος δὲ τῶν σωζομένων ἐστὶν ὁ Θεός, οὐδὲν ἔσται μεσότητος κατὰ τὸ ἀκρότατον τέλος γενομένοις τοῖς σωζομένοις συνθεωρούμενον.

70 Ὁ πᾶς κόσμος ἰδίοις περιὁριζόμενος λόγοις, καὶ τόπος λέγεται καὶ αἰών, τῶν ἐν αὐτῷ διαιτωμένων· τρόπους θεωρημάτων ἔχων κατὰ φύσιν τοὺς ἐν αὐτῷ προσφυεῖς, μερικὴν κατανόησιν αὐτοῖς ἐμποιῆσαι τῆς ἐπὶ πάντα σοφίας τοῦ Θεοῦ δυναμένους· οἷς ἕως χρῶνται πρὸς κατανόησιν, οὐ δύνανται δίχα μεσότητος εἶναι καὶ μερικῆς καταλήψεως. Ἐπειδὴ δὲ τὸ ἐκ μέρους τοῦ τελείου φανέντος καταργεῖται, καὶ τὰ ἔσοπτρα πάντα καὶ τὰ αἰνίγματα παρέρχονται, τῆς πρόσωπον πρὸς πρόσωπον παραγινομένης ἀληθείας, ὑπὲρ πάντας ἔσται κόσμους καὶ αἰῶνας καὶ τόπους, οἷς τέως ὡς νήπιος ἐπαιδαγωγεῖτο, τελειωθεὶς κατὰ Θεὸν ὁ σωζόμενος.

71 Ὁ Πιλᾶτος τοῦ κατὰ φύσιν νόμου τύπος ἐστί, τοῦ δὲ γραπτοῦ νόμου τὸ πλῆθος τῶν Ἰουδαίων. Ὁ τοίνυν κατὰ πίστιν ὑπὲρ τοὺς δύο μὴ γενόμενος νόμους, οὐ δύναται δέξασθαι τὴν ὑπὲρ φύσιν καὶ λόγον ἀλήθειαν· ἀλλὰ σταυροῖ πάντως τὸν Λόγον, ἢ ὡς Ἰουδαῖος σκάνδαλον, ἢ ὡς Ἕλλην μωρίαν ἡγούμενος τὸ Εὐαγγέλιον.

28. Ψαλμ. 7,3.
29. Α΄ Κορ. 13, 10

ὁ Θεός, θὰ βρεθεῖ πάνω ἀπὸ ὅλους τοὺς αἰῶνες καὶ τοὺς χρόνους καὶ τοὺς τόπους ὅποιος ἀξιώνεται αὐτὴ τὴ χάρη κι ἔχει τόπο τὸν ἴδιο τὸ Θεὸ κατὰ τὸ λόγο τῆς Γραφῆς· «γίνε γιὰ μένα Θεὸς ὑπερασπιστὴς καὶ τόπος ὀχυρὸς τῆς σωτηρίας μου»[28].

69 Τὸ τέλος δὲν ἔχει τίποτε ἀπολύτως ὅμοιο μὲ τὴ μεσότητα, ἀλλιῶς δὲ θὰ ἦταν τέλος. Ἡ μεσότητα εἶναι ὅλα τὰ μετὰ τὴν ἀρχὴ καὶ πρὶν ἀπὸ τὸ τέλος. Ἂν λοιπὸν ὅλοι οἱ αἰῶνες καὶ οἱ χρόνοι καὶ οἱ τόποι μὲ ὅλα ὅσα νοοῦνται μαζί τους εἶναι μετὰ τὸ Θεό, ποὺ εἶναι ἀρχὴ ἄναρχη, κι ἂν ὑπάρχουν πολὺ πρὶν ἀπὸ αὐτόν, ἐπειδὴ αὐτὸς εἶναι ἄπειρο τέλος, τότε δὲ διαφέρουν σὲ τίποτα ἀπὸ τὴ μεσότητα. Μ' ἂν τέλος ὅσων σώζονται εἶναι ὁ Θεός, μὲ κανένα τρόπο δὲ θὰ ἀποδώσομε μεσότητα σὲ ὅσους σώζονται, ὅταν φτάσουν στὸ ἔσχατο τέλος.

70 Ὁ κόσμος στὸ σύνολό του, ἐπειδὴ περιορίζεται ἀπὸ τοὺς δικούς του λόγους, λέγεται καὶ τόπος καὶ αἰώνας ὅσων ζοῦνε μέσα σ' αὐτόν. Ὡς τρόπους νὰ θεωρεῖται ἔχει σύμφωνα μὲ τὴ φύση τοὺς τρόπους ποὺ τοῦ ταιριάζουν, ποὺ μποροῦν νὰ προκαλέσουν μερικὴ κατανόηση σ' αὐτοὺς τῆς σοφίας τοῦ Θεοῦ γιὰ ὅλα τὰ πράγματα. Οἱ τρόποι ὅσο τοὺς χρησιμοποιοῦν γιὰ κατανόηση δὲν μπορεῖ νὰ εἶναι ἀπαλλαγμένοι ἀπὸ μεσότητα καὶ μερικὴ κατανόηση. Κι ἐπειδὴ τὸ μερικὸ καταργεῖται μόλις φανεῖ τὸ τέλειο καὶ ὅλα τὰ ἔσοπτρα καὶ τὰ αἰνίγματα περνοῦν καθὼς φτάνει μπροστά μας πρόσωπο μὲ πρόσωπο ἡ ἀλήθεια[29], θὰ εἶναι πάνω ἀπὸ ὅλους τοὺς κόσμους καὶ τοὺς αἰῶνες καὶ τοὺς τόπους, μὲ τοὺς ὁποίους ὡς τώρα σὰ νήπιο παιδαγωγοῦνταν ὁ σωζόμενος τελειοποιημένος κατὰ τὸ θέλημα τοῦ Θεοῦ.

71 Ὁ Πιλάτος εἶναι τύπος τοῦ φυσικοῦ νόμου, ἐνῶ τοῦ γραπτοῦ νόμου τὸ πλῆθος τῶν Ἰουδαίων. Αὐτὸς ποὺ σχετικὰ μὲ τὴν πίστη δὲ ξεπέρασε τοὺ δύο νόμους, δὲν εἶναι ἱκανὸς νὰ δεχτεῖ τὴν ὑπερφυσικὴ καὶ ὑπέρλογη ἀλήθεια, ἀλλ' ὁπωσδήποτε σταυρώνει τὸ Λόγο θεωρώντας τὸ εὐαγγέλιο εἴτε σκάνδαλο ὡς Ἰουδαῖος εἴτε μωρία ὡς Ἕλληνας[30].

30. Α΄ Κορ. 1,25.

72 *Ὅταν ἴδῃς Ἡρώδην καὶ Πιλάτον ἀλλήλοις φιλιάζοντας ἐπὶ τῇ ἀναιρέσει τοῦ Ἰησοῦ, τότε νόει τὴν εἰς τὸ αὐτὸ συνδρομὴν τοῦ τε τῆς πορνείας καὶ τῆς κενοδοξίας δαίμονος, ἐπὶ τῷ θανατῶσαι τὸν λόγον τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἀλλήλοις συμφωνούντων. Ὁ μὲν γὰρ κενόδοξος δαίμων, πνευματικὴν γνῶσιν ὑποκρινόμενος, παραπέμπει τῷ δαίμονι τῆς πορνείας, ὁ δὲ τῆς πορνείας καθ' ὑποχώρησιν καθαρότητα προσποιούμενος, ἀναπέμπει τῷ δαίμονι τῆς κενοδοξίας. Διό, «λαμπρὰν περιθεὶς ἐσθῆτα», φησίν, «ὁ Ἡρώδης, ἀνέπεμψε Πιλάτῳ τὸν Ἰησοῦν».*

73 *Καλὸν μὴ συγχωρεῖν σαρκὶ καὶ πάθεσι προσανέχειν τὸν νοῦν. «Οὐ γὰρ συλλέγουσι», φησίν, «ἐξ ἀκανθῶν σῦκα»· τουτέστιν, ἐκ παθῶν, ἀρετήν· «οὔτε ἐκ βάτου σταφυλήν»· τουτέστιν, ἐκ τῆς σαρκός, τὴν εὐφραίνουσαν γνῶσιν.*

74 *Διὰ τῆς ὑπομονῆς τῶν πειρασμῶν δοκιμαζόμενος ὁ ἀσκητὴς καὶ διὰ τῆς σωματικῆς παιδαγωγίας καθαιρόμενος καὶ διὰ τῆς ἐπιμελείας τῶν ὑψηλῶν θεωρημάτων τελειούμενος, ἀξιοῦται τῆς θείας παρακλήσεως. «Κύριος» γάρ, φησιν ὁ Μωϋσῆς, «ἐκ Σινᾶ ἥκει»· τουτέστιν, ἐκ τῶν πειρασμῶν· «καὶ ἐπεφάνη ἡμῖν ἐκ Σηείρ»· τουτέστιν, ἐκ τῶν σωματικῶν πόνων· «καὶ ἐξ ὄρους Φάραν σὺν μυριάσι Κάδης»· τουτέστιν, ἐξ ὄρους τῆς πίστεως σὺν μυριάσιν ἁγίων γνώσεων.*

75 *Ὁ Ἡρώδης φρονήματος λόγον ἐπέχει σαρκός, ὁ δὲ Πιλάτος αἰσθήσεως, ὁ δὲ Καῖσαρ τῶν αἰσθητῶν, οἱ δὲ Ἰουδαῖοι τῶν ψυχικῶν λογισμῶν. Ἐπειδὰν οὖν ἐξ ἀγνοίας ἡ ψυχὴ τοῖς αἰσθητοῖς προστεθῇ, προδίδωσι τῇ αἰσθήσει τὸν Λόγον εἰς θάνατον, καθ' ἑαυτῆς κυροῦσα δι' ὁμολογίας τὴν τῶν φθαρτῶν βασιλείαν. Φασὶ γὰρ οἱ Ἰουδαῖοι, «οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα».*

---

31. Λουκᾶ 23,11.

72 Ὅταν δεῖς τὸν Ἡρώδη καὶ τὸν Πιλάτο νὰ συνδέεται μὲ φιλία μὲ σκοπὸ τὸ θάνατο τοῦ Ἰησοῦ, σκέψου τότε τὴ συνάντηση τοῦ δαίμονα τῆς πορνείας καὶ τῆς κενοδοξίας στὸ ἴδιο σημεῖο· συμφωνοῦν μεταξύ τους νὰ θανατώσουν τὸ λόγο τῆς ἀρετῆς καὶ τῆς γνώσης. Ὁ δαίμονας τῆς κενοδοξίας καθὼς ὑποκρίνεται γνώση πνευματικὴ ἐξαποστέλλει στὸ δαίμονα τῆς πορνείας· κι ὁ δαίμονας τῆς πορνείας ὑποχωρώντας προσποιεῖται καθαρότητα καὶ ξαναφέρνει στὸ δαίμονα τῆς κενοδοξίας. Γι' αὐτὸ λέει· «ἀφοῦ ὁ Ἡρώδης φόρεσε λαμπρὸ φόρεμα, ξανάστειλε τὸν Ἰησοῦ στὸν Πιλάτο»[31].

73 Εἶναι καλὸ νὰ μὴν ἐπιτρέπομε στὸ νοῦ νὰ προσέχει στὴ σάρκα καὶ στὰ πάθη· «γιατὶ δὲ μαζεύουν», λέει, «ἀπὸ ἀγκάθια σύκα», δηλαδὴ ἀπὸ τὰ πάθη τὴν ἀρετή, «οὔτε ἀπὸ τὸ βάτο σταφύλια»[32], δηλαδὴ ἀπὸ τὴ σάρκα τὴ γνώση ποὺ μᾶς εὐφραίνει[33].

74 Δοκιμαζόμενος ὁ ἀσκητὴς μὲ τὴν ὑπομονὴ στοὺς πειρασμοὺς καὶ πετυχαίνοντας τὴν κάθαρση μὲ τὴν σωματικὴ ἄσκηση καὶ φτάνοντας στὴν τελείωση τῶν ὑψηλῶν θεωρήσεων, γίνεται ἄξιος νὰ παρηγορηθεῖ ἀπὸ τὸ Θεό. Γιατὶ ὁ Μωϋσῆς λέει· «ὁ Κύριος ἔφτασε ἀπὸ τὸ Σινὰ καὶ πρόβαλε ἀπὸ τὴ Σηείρ», δηλαδὴ ἀπὸ τοὺς σωματικοὺς πόνους· καὶ ἔτρεξε ἀπὸ τὸ ὄρος Φάραν μὲ τὶς χιλιάδες τῆς Κάδης»[34], δηλαδὴ ἀπὸ τὸ ὄρος τῆς πίστης μὲ χιλιάδες ἅγιες γνώσεις.

75 Ὁ Ἡρώδης σημαίνει τὸ φρόνημα τῆς σάρκας, ὁ Πιλάτος τῆς αἴσθησης, ὁ Καίσαρας τῶν αἰσθητῶν καὶ οἱ Ἰουδαῖοι τῶν ψυχικῶν λογισμῶν. Ὅταν λοιπὸν ἡ ψυχὴ συνδεθεῖ ἀπὸ ἄγνοια μὲ τὰ αἰσθητά, παραδίδει τὸ λόγο στὴν αἴσθηση γιὰ νὰ θανατωθεῖ, ἐπικυρώνοντας σὲ βάρος της μὲ τὴν ὁμολογία της τὴ βασιλεία τῶν φθαρτῶν. Γιατὶ οἱ Ἰουδαῖοι λένε· «δὲν ἔχομε ἄλλον βασιλιὰ ἀπὸ τὸν Καίσαρα»[35].

---

32. Ματθ. 5,16. 33. Ψαλμ. 103,15.
34. Δευτ. 33,2. 35. Ἰω. 19,15.

76 *Ὁ Ἡρώδης ἐνεργείας τόπον ἐπέχει παθῶν, ὁ δὲ Πιλάτος τῆς ἐπ' αὐτοῖς ἠπατημένης ἕξεως, ὁ δὲ Καῖσαρ τοῦ σκοτεινοῦ κοσμοκράτορος, οἱ δὲ Ἰουδαῖοι ψυχῆς. Ὁπηνίκα γοῦν ὑποκλιθεῖσα ψυχὴ τοῖς πάθεσι τὴν ἀρετὴν παραδῷ τῇ ἕξει τῆς κακίας ὑποχείριον, τὴν μὲν τοῦ Θεοῦ προδήλως ἀρνεῖται βασιλείαν, πρὸς δὲ τὴν τοῦ διαβόλου μετέρχεται φθοροποιὸν τυραννίδα.*

77 *Οὐκ ἀρκεῖ τῇ ψυχῇ πρὸς εὐφροσύνην πνευματικὴν ἡ ὑποταγὴ τῶν παθῶν, εἰ μὴ τὰς ἀρετὰς κτήσηται τῇ πληρώσει τῶν ἐντολῶν. «Μὴ χαίρετε» γάρ, φησιν, «ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται», τουτέστι τὰ ἐνεργήματα τῶν παθῶν, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν οὐρανῷ, τῇ δι' ἀρετῶν τῆς υἱοθεσίας χάριτι, πρὸς τὸν τόπον τῆς ἀπαθείας μεταγραφέντα.*

78 *Ἀναγκαῖος τῷ γνωστικῷ πάντως ἐστίν ὁ διὰ πράξεως πλοῦτος τῶν ἀρετῶν. «Ὁ ἔχων» γάρ, φησι, «βαλάντιον», τουτέστι γνῶσιν πνευματικήν, «ἀράτω ὁμοίως καὶ πήραν», τουτέστι τὴν δαψιλῶς τὴν ψυχὴν διατρέφουσαν τῶν ἀρετῶν ἀφθονίαν. «Ὁ δὲ μὴ ἔχων», βαλάντιον δηλονότι καὶ πήραν, τουτέστι γνῶσιν καὶ ἀρετήν, «πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν». Ἐκδότω, φησί, προθύμως τὴν ἑαυτοῦ σάρκα τοῖς πόνοις τῶν ἀρετῶν καὶ μεταχειρισάσθω σοφῶς ὑπὲρ τῆς εἰρήνης τοῦ Θεοῦ τὸν πρὸς τὰ πάθη καὶ τοὺς δαίμονας πόλεμον· ἤγουν τὴν ἐν ρήματι Θεοῦ διακρίνουσαν ἕξιν τὸ χεῖρον τοῦ κρείττονος.*

79 *Τριακοντούτης ὢν ὁ Κύριος ἀναφαίνεται, τοὺς διορατικοὺς τῷ ἀριθμῷ τούτῳ τὰ περὶ ἑαυτοῦ κρυφίως μυστήρια διδάσκων. Ὁ γὰρ τριάκοντα ἀριθμὸς μυστικῶς κατανοούμενος χρόνου τε καὶ φύσεως καὶ τῶν ὑπὲρ τὴν ὁρατὴν φύσιν νοητῶν, δημιουργὸν καὶ προνοητὴν εἰσάγει τὸν Κύριον. Χρόνου μέν, διὰ τοῦ ἑπτά· ἑβδοματικὸς*

36. Λουκᾶ 10,20.

76 Ὁ Ἡρώδης ἐκπροσωπεῖ τὴν ἐνέργεια τῶν παθῶν, ὁ Πιλάτος τὴ συνήθεια ποὺ ξεγελάστηκε ἀπὸ αὐτά, ὁ Καίσαρας τὸ σκοτεινὸ κοσμοκράτορα, καὶ οἱ Ἰουδαῖοι τὴν ψυχή. Ὅταν λοιπὸν ὑποχωρήσει ἡ ψυχὴ στὰ πάθη καὶ παραδώσει τὴν ἀρετὴ αἰχμάλωτη στὴ συνήθεια τῆς κακίας, τότε ἀρνεῖται ὁλοφάνερα τὴ βασιλεία τοῦ Θεοῦ καὶ προσχωρεῖ στὴν καταστροφικὴ τυραννίδα τοῦ διαβόλου.

77 Δὲν εἶναι ἀρκετὸ στὴν ψυχὴ γιὰ πνευματική της εὐφροσύνη νὰ ὑποτάξει τὰ πάθη, ἂν δὲν ἀποκτήσει τὶς ἀρετὲς μὲ τὴν ἐργασία τῶν ἐντολῶν. Γιατὶ λέει· «μὴ χαίρεστε ποὺ τὰ δαιμόνια ὑποτάσσονται στὴν ἐξουσία σας», ἐννοεῖ τὶς ἐκδηλώσεις τῶν παθῶν, «ἀλλὰ ποὺ τὰ ὀνόματά σας γράφτηκαν στὸν οὐρανό»[36].

Μεταγράφηκαν δηλαδὴ στὸν τόπο τῆς ἀπάθειας μὲ τὴ χάρη τῆς υἱοθεσίας ποὺ προέρχεται ἀπὸ τὶς ἀρετές.

78 Σ' αὐτὸν ποὺ ἐπιδίδεται στὴ γνώση εἶναι ἀπαραίτητο νὰ πλουτίσει μὲ πράξεις ἀρετῆς· γιατὶ λέει, «ὅποιος ἔχει βαλάντιο», δηλαδὴ γνώση πνευματική, «νὰ πάρει ἐπίσης καὶ πήρα» δηλαδὴ τὴν ἀφθονία τῶν ἀρετῶν, ποὺ θρέφει πλούσια τὴν ψυχή. «Ὅποιος ὅμως δὲν ἔχει», βαλάντιο δηλαδὴ καὶ πήρα, ἤτοι γνώση καὶ ἀρετή, «ἂς πουλήσει τὸ φόρεμά του κι ἂς ἀγοράσει μαχαίρι»[37]. Ἂς παραδώσει, μᾶς λέει, πρόθυμα τὴ σάρκα του στοὺς κόπους τῶν ἀρετῶν κι ἂς διευθύνει μὲ γνώση γιὰ χάρη τῆς εἰρήνης τοῦ Θεοῦ τὸν πόλεμο ἐνάντια στὰ πάθη καὶ τοὺς δαίμονες, δηλαδὴ τὴ συνήθεια ποὺ διακρίνει μὲ τὴ βοήθεια τοῦ λόγου τοῦ Θεοῦ τὸ χειρότερο ἀπὸ τὸ καλύτερο.

79 Ὁ Κύριος βγῆκε στὴ δημόσια ζωὴ ὅταν ἦταν τριάντα χρόνων. Μὲ τὸν ἀριθμὸ αὐτὸν διδάσκει τοὺς διορατικοὺς μὲ τρόπο ἀπόκρυφο τὰ σχετικὰ μ' ἐκεῖνον μυστήρια. Γιατὶ ὁ ἀριθμὸς τριάντα στὸ μυστικὸ νόημά του διδάσκει ὅτι ὁ Κύριος εἶναι ὁ δημιουργὸς καὶ προνοητὴς τόσο τοῦ χρόνου ὅσο καὶ τῆς φύσης

37. Λουκᾶ 22,36.

*γὰρ ὁ χρόνος· φύσεως δέ, διὰ τοῦ πέντε· πενταδικὴ γὰρ ἡ φύσις, διὰ τὴν αἴσθησιν πενταχῶς διαιρουμένην· νοητῶν δέ, διὰ τοῦ ὀκτώ· ὑπὲρ γὰρ τὴν μετρουμένην τοῦ χρόνου περίοδον ἡ τῶν νοητῶν ἐστι γένεσις· προνοητὴν δέ, διὰ τοῦ δέκα· διά τε τὴν τῶν ἐντολῶν ἁγίαν δεκάδα, τὴν πρὸς τὸ εὖ τοὺς ἀνθρώπους ἐνάγουσαν, καὶ διὰ τὸ τούτου τοῦ γράμματος μυστικῶς ἀπῆρχθαι τῆς προσηγορίας. τὸν Κύριον, ἡνίκα γέγονεν ἄνθρωπος. Συνάψας οὖν τὸν πέντε, καὶ τὸν ἑπτά, καὶ τὸν ὀκτώ, καὶ τὸν δέκα, τὸν τριάκοντα πληροῖς ἀριθμόν. Ὁ τοίνυν ὡς ἀρχηγῷ τῷ Κυρίῳ καλῶς ἕπεσθαι γινώσκων, οὐκ ἀγνοήσει τὸν λόγον, καθ' ὃν καὶ αὐτὸς τριακοντούτης ἀναφανήσεται, κηρύττειν δυνάμενος τὸ Εὐαγγέλιον τῆς βασιλείας. Ὅτε γὰρ ἀμέμπτως, ὥσπερ τινὰ χρόνον διὰ τῶν ἐναντίων συμβαίνουσαν μὴ ἀλλοιώσας περίοδον, καὶ διὰ θεωρίας τὴν τῶν νοητῶν ἀπταίστως δρέψεται γνῶσιν, καὶ τὴν αὐτὴν καὶ ἄλλοις ἕξιν προνοητικῶς ἐνθεῖναι δεδύνηται· τότε καὶ αὐτός, ὡς δ' ἂν ἔχῃ σωματικῆς ἡλικίας, τριακοντούτης ἐστὶ τῷ πνεύματι, συνεμφαίνων τῶν οἰκείων ἀγαθῶν τὴν ἐν ἄλλοις ἐνέργειαν.*

80 *Ὁ ταῖς ἡδοναῖς παρειμένος τοῦ σώματος, οὔτε πρὸς ἀρετὴν ἐστιν ἐνεργός, οὔτε πρὸς γνῶσιν εὐκίνητος. Ὅθεν οὐδὲ ἄνθρωπον ἔχει, τουτέστιν, ἔμφρονα λογισμόν, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ αὐτὸν εἰς τὴν κολυμβήθραν· τουτέστιν, εἰς τὴν δεκτικὴν τῆς γνώσεως ἀρετήν, τὴν ἰατρεύουσαν πᾶσαν νόσον, εἰ μή που διὰ ῥᾳθυμίαν ὁ νοσῶν ἀναβαλλόμενος, ὑπ' ἄλλου προληφθῇ τοῦ κωλύοντος αὐτῷ παραγενέσθαι τὴν ἴασιν. Διὸ καὶ τριάκοντα καὶ ὀκτὼ ἔτη τῇ νόσῳ συγκατακλίνεται. Ὁ γὰρ μὴ πρὸς δόξαν Θεοῦ τὴν ὁρατὴν θεώμενος κτίσιν καὶ πρὸς τὴν νοητὴν φύσιν εὐσεβῶς*

---

38. Τὸ δέκα ἐκφράζεται στὰ ἑλληνικὰ μὲ τὸ γράμμα Ι ἀπὸ τὸ ὁποῖο ἀρχίχει τὸ ὄνομα Ἰησοῦς.

καθὼς καὶ τῶν πάνω ἀπὸ τὴν ὁρατὴ φύση νοητῶν. Τοῦ χρόνου, μὲ τὸν ἀριθμὸ ἑπτά, γιατὶ ὁ χρόνος εἶναι ἑπταδικός. Τῆς φύσης μὲ τὸν ἀριθμὸ πέντε, ἀφοῦ ἡ φύση εἶναι πενταδικὴ ἐξαιτίας τῶν πέντε αἰσθήσεων τῶν νοητῶν πάλι, μὲ τὸν ἀριθμὸ ὀκτώ, γιατὶ ἡ δημιουργία τῶν νοητῶν ἔγινε πέρα ἀπὸ τὴν περίοδο τοῦ χρόνου ποὺ μετροῦμε. Προνοητὴς εἶναι μὲ τὸν ἀριθμὸ δέκα κι ἀκόμα μὲ τὴν ἁγία δεκάδα τῶν ἐντολῶν, ποὺ φέρνει τοὺς ἀνθρώπους στὴν περιοχὴ τοῦ ἀγαθοῦ κι ἐπειδὴ μ' αὐτὸ τὸ γράμμα[38] ἀρχίζει μὲ τρόπο μυστικὸ τὸ ὄνομα τοῦ Κυρίου, ὅταν ἔγινε ἄνθρωπος. Ὅταν ἀθροίσεις λοιπὸν τὸ πέντε, τὸ ἑπτά, τὸ ὀχτὼ καὶ τὸ δέκα συμπληρώνεις τὸν ἀριθμὸ τρίαντα. Ὅποιος λοιπὸν γνωρίζει ν' ἀκολουθεῖ σωστὰ τὸν Κύριο ὡς ἀρχηγό του, δὲ θὰ παραβλέψει τὸ λόγο ποὺ λέει ὅτι καὶ ὁ ἴδιος ἐμφανήστηκε τριάντα χρόνων καὶ μποροῦσε νὰ κηρύττει τὸ εὐαγγέλιο τῆς βασιλείας. Ὅταν δηλαδή, σὰν μιὰ ὁρατὴ φύση, δημιουργήσει μὲ τὶς πράξεις του ἄψογο τὸν κόσμο τῶν ἀρετῶν, χωρὶς ν' ἀλλοιώσει τὴν περίοδο ποὺ γίνεται στὴν ἴδια τὴν ψυχὴ σὰν κάποιο χρονικὸ διάστημα διαμέσου τῶν ἀντίθετων κι ὅταν μὲ τὴ θεωρία μαζέψει ἀλάθητα τὴ γνώση τῶν νοητῶν καὶ μπορέσει μὲ τὴν πρόνοιά του νὰ δημιουργήσει καὶ σὲ ἄλλους τὴν ἴδια ἕξη, τότε κι αὐτός, σὲ ὅποια ἡλικία κι ἂν βρίσκεται σωματικά, στὸ πνεῦμα εἶναι τριάντα χρόνων, συνεμφανίζοντας τὴν ἐνέργεια τῶν δικῶν του ἀγαθῶν σὲ ἄλλους.

80 Ὁ ἐξαντλημένος ἀπὸ τὶς σωματικὲς ἡδονὲς οὔτε γιὰ τὴν κατόρθωση τῆς ἀρετῆς εἶναι ἀκούραστος οὔτε στὴν ἀπόκτηση τῆς γνώσης εὔστροφος. Γι' αὐτὸ δὲν ἔχει μήτε ἄνθρωπο, δηλαδὴ φρόνιμο λογισμό, γιὰ νὰ τὸν βάλει, ὅταν ταραχτεῖ τὸ νερό, μέσα στὴν κολυμπήθρα, δηλαδὴ στὴν ἀρετὴ ποὺ ἐπιδέχεται τὴ γνώση καὶ ποὺ θεραπεύει κάθε ἀρρώστια. Ἐκτὸς ἂν ὁ ἄρρωστος ἀναβάλει ἀπὸ ἀμέλεια καὶ τὸν προλάβει ἄλλος ἐμποδίζοντάς τον νὰ φτάσει καὶ νὰ θεραπευθεῖ. Γι' αὐτὸ καὶ εἶναι κατάκοιτος μὲ τὴν ἀρρώστια του τριάντα ὀκτὼ ἔτη. Ὅποιος δηλαδὴ δὲν παρατηρεῖ τὴν ὁρατὴ φύση γιὰ νὰ δοξολογεῖ τὸ Θεὸ καὶ

*ἀναβιβάζων τὴν ἔννοιαν, εἰκότως νοσῶν διαμένει τὸν εἰρημένον τῶν ἐτῶν ἀριθμόν. Ὁ γὰρ τριάκοντα φυσικῶς λαμβαλόμενος ἀριθμὸς τὴν αἰσθητὴν σημαίνει φύσιν· ὥσπερ καὶ πρακτικῶς σκοπούμενος, τὴν πρακτικὴν ἀρετήν. Ὁ δὲ ὀκτὼ φυσικῶς κατανοούμενος, τὴν νοητὴν τῶν ἀσωμάτων παραδηλοῖ φύσιν· ὥσπερ καὶ γνωστικῶς θεωρούμενος, τὴν πάνσοφον θεολογίαν· αἷς ὁ μὴ κινούμενος πρὸς Θεόν, πάρετος μένει, μέχρις ἂν ἐλθὼν ὁ Λόγος, διδάξῃ αὐτὸν τὸν σύντομον τῆς ἰάσεως τρόπον, φάσκων· «ἔγειραι· ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει», διαναστῆναι τὸν νοῦν τῆς κατεχούσης φιληδονίας, καὶ ἆραι τὸ σῶμα τοῖς ὤμοις τῶν ἀρετῶν, καὶ ἀπελθεῖν εἰς τὸν οἶκον, δηλαδὴ τὸν οὐρανόν, ἐγκελευόμενος. Καλὸν γὰρ ὑπὸ τοῦ κρείττονος τοῖς ὤμοις τῆς πράξεως, τὸ χεῖρον αἴρεσθαι πρὸς ἀρετήν, ἢ τὸ κρεῖττον διὰ θρύψεως πρὸς φιληδονίαν ὑπὸ τοῦ χείρονος φέρεσθαι.*

*81* *Ἕως τῆς ἡμῶν τε καὶ πάντων τῶν μετὰ Θεὸν οὐσίας κατὰ διάνοιαν καθαρῶς οὐκ ἐκβεβήκαμεν, οὔπω τὴν τῆς κατ᾽ ἀρετὴν ἀτρεψίας ἕξιν ἐλάβομεν. Ὁπηνίκα δὲ τοῦτο δι᾽ ἀγάπης ἡμῖν κατορθωθῇ τὸ ἀξίωμα, τότε γνωσόμεθα τῆς θείας ἐπαγγελίας τὴν δύναμιν. Ἐκεῖ γὰρ εἶναι χρὴ πιστεύειν καθ᾽ ἵδρυσιν ἀμετάθετον τοὺς ἀξίους, ἔνθα προλαβὼν ὁ νοῦς δι᾽ ἀγάπης τὴν σφετέραν ἐνερρίζωσε δύναμιν. Ὁ γὰρ μὴ ἐκβὰς ἑαυτοῦ καὶ πάντων τῶν ὁπωσοῦν νοεῖσθαι δυναμένων, καὶ εἰς τὴν ὑπὲρ νόησιν σιγὴν καταστάς, οὐ δύναται τροπῆς εἶναι πάμπαν ἐλεύθερος.*

*82* *Πᾶσα νόησις, πλήθους, ἢ τουλάχιστον δυάδος πάντως ἔμφασιν ἔχει. Μέση γάρ ἐστι τινῶν ἀκροτήτων σχέσις, ἀλλήλοις συνάπτουσα, τό τε νοοῦν καὶ τὸ νοούμενον. Οὐδέτερον δὲ διόλου τὴν ἁπλότητα πέφυκε σώζειν. Τό τε γὰρ νοοῦν, ὑποκείμενόν τι ἐστι, πάντως συνεπινοουμένην αὐτῷ τὴν τοῦ νοεῖν ἔχον δύναμιν. Καὶ τὸ νοούμενον ὑποκείμενόν τι πάντως ἐστίν, ἢ ἐν ὑποκειμένῳ· συνεπι-*

δὲν ἀνεβάζει μ' εὐλάβεια τὴ σκέψη του στὴ νοητὴ φύση, εἶναι εὔλογο νά μένει ἄρρωστος ὅσα χρόνια εἴπαμε. Γιατὶ ὁ ἀριθμὸς τριάντα μὲ νόημα φυσικὸ σημαίνει τὴν αἰσθητὴ φύση, καθὼς κι ὅταν ἐξεταστεῖ ἀπὸ τὴν ἀποψη τῆς γνώσης, δηλώνει τὴν πάνσοφη θεολογία. Αὐτὸς ποὺ ἐξαιτίας τῶν ἡδονῶν δὲν κινεῖται πρὸς τὸ Θεὸ μένει παράλυτος, ὡσότου ἔρθει ὁ Λόγος καὶ τὸν διδάξει τὸ σύντομο τρόπο τῆς θεραπείας, λέγοντάς του· «σῆκω, πάρε τὸ κρεβάτι σου καὶ περπάτα»[39]· δίνει ἐντολὴ νά σηκωθεῖ ὁ νοῦς ἀπὸ τὴ φιληδονία ποὺ τὸν ἁλυσοδένει, νά σηκώσει τὸ σῶμα μὲ τοὺς ὤμους τῶν ἀρετῶν καὶ νὰ φύγει στὸ σπίτι του, δηλαδὴ στὸν οὐρανό. Γιατὶ εἶναι ὡραῖο μὲ τοὺς ὤμους τῆς πράξης τὸ ἀνώτερο νά ὑψώνει τὸ κατώτερο πρὸς τὴν ἀρετὴ κι ὄχι νὰ σέρνεται τὸ ἀνώτερο ἀξαιτίας τῆς τρυφηλότητας πρὸς τὴ φιληδονία ἀπὸ τὸ κατώτερο.

81 Ὅσο δὲν ἔχομε βγεῖ μὲ τὴν καθαρότητα τῆς διάνοιας ἔξω ἀπὸ τὴν οὐσία τὴ δική μας καὶ ὅλων τῶν ἔπειτ' ἀπὸ τὸ Θεό, δὲν ἐλάβαμε ἀκόμα τὴν ἀμετάβλητη ἕξη στὴν ἀρετή. Ὅταν ὅμως κατορθώσομε μὲ τὴν ἀγάπη τὸ προσὸν αὐτό, τότε θὰ καταλάβομε τὴ δύναμη τῆς θεϊκῆς ὑπόσχεσης. Γιατὶ πρέπει νὰ πιστεύομε ὅτι ἐκεῖ βρίσκονται οἱ ἄξιοι μ' ἐγκατάσταση ἀμετάθετη, ὅπου προηγούμενα ὁ νοῦς φύτεψε μὲ ἀγάπη τὴ δύναμή του. Ὅποιος δηλαδὴ δὲ βγῆκε ἀπὸ τὸν ἑαυτό του καὶ ἀπὸ ὅσα μποροῦν κατὰ κάποιο τρόπο νὰ νοηθοῦν καὶ δὲν ἔχει ἐγκατασταθεῖ στὴν ὑπέρνοη σιγή, δὲ μπορεῖ νά εἶναι ὁλότελα ἐλεύθερος ἀπὸ τὴ μεταβολή.

82 Κάθε νόηση ἀναφέρεται σὲ πλῆθος· ἢ τουλάχιστο φανερώνει ὁπωσδήποτε τὴ δυάδα. Γιατὶ εἶναι μιὰ μέση σχέση ἀνάμεσα σὲ μερικὲς ἀκρότητες καὶ συνάπτει μεταξὺ τους αὐτὸ ποὺ νοεῖ μ' αὐτὸ ποὺ νοεῖται. Καὶ οὔτε τὸ ἕνα οὔτε τὸ ἄλλο γενικὰ διασώζει ἀπὸ τὴ φύση του τὴν ἁπλότητα. Γιατὶ κι αὐτὸ ποὺ νοεῖ εἶναι ὑποκείμενο ποὺ ἔχει συνεπινοούμενή του τὴ δύναμη νὰ νοεῖ. Κι αὐτὸ ποὺ νοεῖται εἶναι ὁπωσδήποτε ἕνα ὑποκείμενο ἢ

39. Ἰω. 5,8.

*νοουμένην αὐτῷ τὴν τοῦ νοεῖσθαι δύναμιν ἔχον· ἢ προϋποκειμένην τὴν οὗ ἐστι δύναμις, οὐσίαν. Οὐ γάρ τι τῶν ὄντων τὸ σύνολον αὐτὸ καθ' αὑτὸ ἁπλῆ τις οὐσία ἢ νόησίς ἐστιν, ἵνα καὶ μονὰς ἀδιαίρετος. Τὸν δὲ Θεόν, εἴτε οὐσίαν εἴπωμεν, οὐκ ἔχει φυσικῶς συνεπινοουμένην αὐτῷ τὴν τοῦ νοεῖσθαι δύναμιν, ἵνα μὴ σύνθετος· εἴτε νόησιν, οὐκ ἔχει φυσικῶς δεκτικὴν τῆς νοήσεως ὑποκειμένην οὐσίαν· ἀλλ' αὐτὸς κατ' οὐσίαν νόησίς ἐστιν ὁ Θεός· καὶ ὅλος νόησις, καὶ μόνον· καὶ αὐτὸς κατὰ τὴν νόησιν οὐσία. καὶ ὅλος οὐσία καὶ μόνον· καὶ ὑπὲρ οὐσίαν ὅλος, καὶ ὑπὲρ νόησιν ὅλος, διότι καὶ μονὰς ἀδιαίρετος καὶ ἀμερὴς καὶ ἁπλῆ. Ὁ τοίνυν καθ' ὁτιοῦν νόησιν ἔχων, οὔπω τῆς δυάδος ἐξῆλθεν, ὁ δὲ ταύτην πάμπαν ἀπολιπών, γέγονε ποσῶς ἐν τῇ μονάδι, τὴν τοῦ νοεῖν ὑπεροχικῶς ἀποθέμενος δύναμιν.*

83 *Ἐν μὲν τοῖς πολλοῖς ἑτερότης καὶ ἀνομοιότης ἐστὶ καὶ διαφορά, ἐν δὲ τῷ Θεῷ κυρίως ἑνὶ καὶ μόνῳ τυγχάνοντι, ταυτότης καὶ ἁπλότης μόνον ἐστί, καὶ ὁμοιότης. Οὐκ ἀσφαλὲς οὖν πρὶν ἔξω γενέσθαι τῶν πολλῶν, ἐπιβάλλειν ταῖς περὶ Θεοῦ θεωρίαις· καὶ δηλοῖ τοῦτο Μωϋσῆς, ἔξω τῆς παρεμβολῆς πηγνύμενος τὴν σκηνὴν τῆς διανοίας, καὶ τότε προσομιλῶν τῷ Θεῷ. Τὸ γὰρ μετὰ λόγου τοῦ κατὰ προφορὰν πειρᾶσθαι φάναι τὸν ἄρρητον, ἐπικίνδυνον· ὅτι δυάς, καὶ πλέον ἐστὶν ὁ κατὰ προφορὰν λόγος. Τὸ δὲ ἄνευ φωνῆς μόνῃ τῇ ψυχῇ τὸ ὂν θεωρεῖν, ἰσχυρότατον· ὅτι κατὰ τὴν ἀδιαίρετον ἵσταται μονάδα καὶ οὐκ ἐν τοῖς πολλοῖς. Ὁ γὰρ ἀρχιερεύς, ἅπαξ τοῦ ἐνιαυτοῦ εἰς τὰ Ἅγια τῶν ἁγίων εἴσω τοῦ καταπετάσματος εἰσιέναι μόλις προστεταγμένος, διδάσκει μόνον δεῖν ἐκεῖνον τὸν τὴν αὐλὴν καὶ τὰ ἅγια διαβάντα καὶ εἰς τὰ Ἅγια τῶν ἁγίων εἴσω γενόμενον· τουτέστι, τὴν ἅπασαν τῶν αἰσθητῶν τε καὶ νοητῶν παρελθόντα φύσιν καὶ πάσης τῆς κατὰ γένεσιν ἰδιότητος γενό-*

40. Ἐξ. 33,7. 41. Ἑβρ. 9,17.

μέσα σὲ ὑποκείμενο κι ἔχει συνεπινοούμενή του τὴ δύναμη νὰ νοεῖται· ἢ ἔχει προϋποκείμενή του τὴν ὕπαρξη ἐκείνου τοῦ ὁποίου ἀποτελεῖ δύναμη. Δηλαδὴ κανένα γενικὰ ἀπὸ τὰ ὄντα δὲν εἶναι αὐτὸ καθαυτὸ μιὰ ἁπλὴ οὐσία ἢ νόηση, γιὰ νὰ εἶναι καὶ μονάδα ἀδιαίρετη. Ὁ Θεὸς ὅμως, εἴτε τὸν χαρακτηρίσομε οὐσία, δὲν ἔχει ἀπὸ τὴ φύση του συνεπινοούμενή του τὴ δύναμη νὰ εἶναι νοητός, ἀλλιῶς θὰ ἦταν σύνθετος· εἴτε τὸν χαρακτηρίσομε νόηση, δὲν ἔχει ὑποκειμενή του μία οὐσία μὲ τὴν ἱκανότητα νά νοεῖ, ἀλλ' ὁ ἴδιος ὁ Θεός εἶναι κατὰ τὴν οὐσία του νόηση καὶ ὅλος νόηση καὶ μόνο. Καὶ ὁ ἴδιος κατὰ τὴ νόηση εἶναι οὐσία καὶ ὅλος οὐσία καὶ μόνο. Καὶ ὅλος εἶναι πάνω ἀπὸ τὴν οὐσία καὶ ὅλος πάνω ἀπὸ τὴ νόηση, διότι εἶναι καὶ μονάδα ἀδιαίρετη, ἀσύνθετη, καὶ ἁπλή. Ὅποιος λοιπὸν ἔχει νόηση γιὰ ἕνα ὁποιοδήποτε πράγμα δὲν ἔχει βγεῖ ἀπὸ τὴ δυάδα· κι ὅποιος τὴν ἔχει ἐγκαταλείψει ὁλότελα περνάει στὴ μονάδα, προσπερνώντας μὲ ὑπεροχὴ τὴ δύναμη νὰ νοεῖ.

83 Στὰ πολλὰ ὑπάρχει ἑτερότητα καὶ ἀνομοιότητα καὶ διαφορά· στὸ Θεὸ ποὺ εἶναι ὁ ἀληθινὸς ἕνας καὶ μόνος ὑπάρχει μόνο ταυτότητα καὶ ἁπλότητα καὶ ὁμοιότητα. Δὲν ἔχει λοιπὸν ἀσφάλεια κανένας προτοῦ βγεῖ ἔξω ἀπὸ τὰ πολλὰ νὰ ἐπιδιώξει τὶς θεωρίες ποὺ ἀφοροῦν τὸ Θεό. Τὸ δείχνει τοῦτο ὁ Μωϋσῆς[40], στήνοντας τὴ σκηνὴ τοῦ νοῦ ἔξω ἀπὸ τὸ στρατόπεδο κι ἐπικοινωνώντας ἔτσι μὲ τὸ Θεό. Γιατὶ εἶναι ἐπικίνδυνο ν' ἀποπειραθεῖς νὰ πεῖς τὸ ἀνείπωτο μὲ τὸν προφορικὸ λόγο· ἐπειδὴ ὁ προφορικὸς λόγος ἐμπίπτει στὴ δυάδα καὶ σὲ πλῆθος μεγαλύτερο. Ἐνῶ εἶναι ἀσφαλέστατο νὰ θεωρεῖς τὸ ὂν χωρὶς λόγια μόνο μὲ τὴν ψυχή, γιατὶ βρίσκεσαι τότε στὴν ἀδιαίρετη μονάδα καὶ ὄχι στὰ πολλά. Γιατὶ ὁ ἀρχιερέας, ποὺ ἔχει διαταγὴ νὰ μπαίνει[1] στὰ Ἅγια τῶν ἁγίων μόλις μιὰ φορὰ τὸ χρόνο, διδάσκει ὅτι μόνο ἐκεῖνος ποὺ ἔχει περάσει τὴν αὐλὴ καὶ τὰ ἅγια πρέπει νὰ μπαίνει καὶ στὰ Ἅγια τῶν ἁγίων. Τοῦτο θέλει νὰ πεῖ· ἀφοῦ προσπεράσει στὸ σύνολό της τὴ φύση τόσο τῶν αἰσθητῶν ὅσο καὶ τῶν νοητῶν κι ἀφοῦ γίνει καθαρὸς ἀπὸ κάθε ἰδιότητα ποὺ προῆλθε

*μενον καθαρόν, ἀνείμονι καὶ γυμνῇ τῇ διανοίᾳ προσβάλλειν ταῖς περὶ Θεοῦ φαντασίαις.*

84 *Μωϋσῆς ὁ μέγας, ἔξω τῆς παρεμβολῆς πηξάμενος ἑαυτοῦ τὴν σκηνήν, τουτέστι, τὴν γνώμην καὶ τὴν διάνοιαν ἱδρυσάμενος ἔξω τῶν ὁρωμένων, προσκυνεῖν τὸν Θεὸν ἄρχεται· καὶ εἰς τὸν γνόφον εἰσελθών, τὸν ἀειδῆ καὶ ἄϋλον τῆς γνώσεως τόπον, ἐκεῖ μένει τὰς ἱερωτάτας τελούμενος τελετάς.*

85 *Ὁ γνόφος ἐστὶν ἡ ἀειδὴς καὶ ἄϋλος καὶ ἀσώματος κατάστασις, ἡ τὴν παραδειγματικὴν τῶν ὄντων ἔχουσα γνῶσιν, ἐν ᾗ ὁ γενόμενος ἐντός, καθάπερ τις ἄλλος Μωϋσῆς, φύσει θνητῇ κατανοεῖ τὰ ἀθέατα, δι' ἧς τῶν θείων ἀρετῶν ἐν ἑαυτῷ ζωγραφήσας τὸ κάλλος, ὥσπερ γραφὴν εὐμιμήτως ἔχουσαν τοῦ ἀρχετύπου κάλλους τὸ ἀπεικόνισμα, κάτεισιν· ἑαυτὸν προβαλλόμενος τοῖς βουλομένοις μιμεῖσθαι τὴν ἀρετὴν καὶ ἐν τούτῳ δεικνύς, ἧς μετειλήφει χάριτος, τὸ φιλάνθρωπόν τε καὶ ἄφθονον.*

86 *Οἱ ἀσπίλως τὴν κατὰ Θεὸν μετερχόμενοι φιλοσοφίαν, μέγιστον ἐκ τῆς κατ' αὐτὴν ἐπιστήμης κέρδος εὑρίσκουσι, τό, μηκέτι τὴν γνώμην τοῖς πράγμασι συμμεταβάλλεσθαι, ἀλλὰ μετ' εὐσταθοῦς βεβαιότητος πᾶσιν ἐγχειρεῖν προθύμως τοῖς ἁρμόζουσι τῷ λόγῳ τῆς ἀρετῆς.*

87 *Τὴν κατὰ σάρκα πρώτην ἐν Χριστῷ διὰ Πνεύματος βαπτισθέντες ἀφθαρσίαν, τὴν ἐσχάτην κατ' αὐτὸν ἐν Πνεύματι, δι' ἐπιδόσεως ἔργων ἀγαθῶν δηλονότι, καὶ τοῦ κατὰ πρόθεσιν θανάτου, τὴν προτέραν φυλάξαντες ἀκηλίδωτον, ἐκδεχόμεθα· καθ' ἣν τῶν ἐχόντων, οὐδεὶς ἀποβολὴν δέδοικε τῶν κτηθέντων ἀγαθῶν.*

88 *Τοῖς ἐπὶ γῆς, τῆς θείας ἀρετῆς ἀπ' οὐρανοῦ δι' ἔλεον τὸν πρὸς ἡμᾶς τὴν χάριν καταπέμψαι βουληθεὶς ὁ Θεός, συμβολικῶς τὴν ἱε-*

---

42. Ἐξ. 33,7 . 20,21.

ἀπὸ τὸν ἐρχομό του στὸν κόσμο, μὲ ἄντυτη καὶ γυμνὴ διάνοια νὰ ἐπιδοθεῖ στὶς φαντασίες σχετικὰ μὲ τὸ Θεό.

84 Ὁ μέγας Μωϋσῆς ἀφοῦ ἔστησε τὴ σκηνή του ἔξω ἀπὸ τὸ στρατόπεδο, ἀφοῦ δηλαδὴ σταθεροποίησε τὸ φρόνημα καὶ τὴ σκέψη του ἔξω ἀπὸ ὅσα βλέπομε, ἔκανε ἀρχὴ τῆς λατρείας του πρὸς τὸ Θεό· κι ἀφοῦ μπῆκε στὸ γνόφο, τὸν ἀόριστο καὶ ἄϋλο δηλαδὴ τόπο τῆς γνώσης, μένει πιὰ ἐκεῖ κι ἐκεῖ τελεῖ τὰ πανίερα μυστήρια[42].

85 Ὁ γνόφος εἶναι ἡ δίχως μορφή, ἄϋλη καὶ ἀσώματη κατάσταση, ποὺ περιέχει τὴ γνώση τῶν παραδειγμάτων τῶν ὄντων. Ὅποιος βρεθεῖ στὴν κατάσταση αὐτή, σὰν ἕνας ἄλλος Μωϋσῆς, ἐνῶ εἶναι φύση θνητὴ κατανοεῖ τὰ ἀθέατα. Ἀφοῦ ζωγραφίσει ἔτσι μέσα του τὴν ὀμορφιὰ τῶν θείων ἀρετῶν, ζωγραφιὰ ποὺ ἀποδίδει πιστὰ τὸ ἀρχέτυπο κάλλος, κατεβαίνει ἀπὸ ἐκεῖ. Προβάλλει τότε τὸν ἑαυτό του παράδειγμα σ' ὅποιους θέλουν νὰ μιμηθοῦν τὴν ἀρετὴ καὶ μὲ τοῦτο δείχνει τὴ χάρη ποὺ ἔχει λάβει καὶ τὴν ἄφθονη φιλανθρωπία του.

86 Ὅσοι ἀσκοῦν ἀνεπίληπτα τὴ θεϊκὴ φιλοσοφία, ἀποκομίζουν πολὺ μεγάλο κέρδος ἀπὸ τὴ γνώση της, ἐπειδὴ δὲ συμμεταβάλλεται πιὰ ἡ γνώμη τους μὲ τὰ πράγματα, ἀλλὰ μὲ ἀκλόνητη βεβαιότητα ἐπιδίδονται πρόθυμα σὲ ὅσα ἁρμόζουν στὴν ἀρετή.

87 Μὲ τὸ βάπτισμα στ' ὄνομα τοῦ Χριστοῦ μέσω τοῦ Πνεύματος πήραμε τὴν πρώτη κατὰ σάρκα ἀφθαρσία· στὴ συνέχεια περιμένομε ἀνώτατη τὴν ἔσχατη πνευματικὴ ἀφθαρσία στὸ ὄνομά του, φυλάγοντας τὴν πρώτη ἀκηλίδωτη, μὲ προκοπὴ ἐννοῶ σὲ ἀγαθὰ ἔργα καὶ μὲ τὸ θεληματικὸ θάνατο. Στὴ δεύτερη κανένας ἀπὸ ὅσους τὴν ἔχουν δὲ φοβᾶται νὰ χάσει τὰ ἀγαθὰ ποὺ ἔχει κερδίσει.

88 Ὅταν ὁ Θεὸς ἀποφάσισε νὰ στείλει ἀπὸ τὸν οὐρανὸ σὲ ὅσους ζοῦμε στὴ γῆ ἀπὸ εὐσπλαγχνία σ' ἐμᾶς τὴ χάρη τῆς θείας ἀρετῆς, κατασκεύασε τὴν ἱερὴ σκηνὴ καὶ ὅλα ὅσα περιέ-

*ρὰν σκηνὴν καὶ τὰ ἐν αὐτῇ πάντα κατεσκεύασε, σοφίας οὖσαν ἀπεικόνισμα καὶ τύπον καὶ μίμημα.*

89 *Ἡ χάρις τῆς Νέας Διαθήκης, μυστικῶς τῷ τῆς Παλαιᾶς κέκρυπται γράμματι, διό φησιν ὁ ἀπόστολος, ὅτι ὁ νόμος πνευματικῶς ἐστιν. Ὁ οὖν νόμος, τῷ μὲν γράμματι παλαιοῦται καὶ γηράσκει καταργούμενος, τῷ δὲ πνεύματι νεάζει διαπαντὸς ἐνεργούμενος. Ἡ γὰρ χάρις παντελῶς ἀπαλαίωτος.*

90 *Ὁ μὲν νόμος σκιὰν ἔχει τοῦ Εὐαγγελίου, τὸ δὲ Εὐαγγέλιον εἰκών ἐστι τῶν μελλόντων ἀγαθῶν. Ὁ μὲν γὰρ κωλύει τὰς τῶν κακῶν ἐνεργείας, τὸ δὲ τὰς πράξεις τῶν ἀγαθῶν παρατίθεται.*

91 *Τὴν ἁγίαν ὅλην Γραφὴν σαρκὶ διαιρεῖσθαι λέγομεν καὶ πνεύματι, καθάπερ τινὰ πνευματικὸν ἄνθρωπον οὖσαν. Ὁ γὰρ τὸ ῥητὸν τῆς Γραφῆς εἰπὼν εἶναι σάρκα, τὸν δὲ ταύτης νοῦν πνεῦμα, ἤγουν ψυχήν, τῆς ἀληθείας οὐν ἁμαρτήσεται. Σοφὸς δὲ προδήλως, ὁ τὸ μὲν φθειρόμενον ἀφείς, ὅλος δὲ τοῦ ἀφθάρτου γενόμενος.*

92 *Ὁ μὲν νόμος σάρξ ἐστι τοῦ κατὰ τὴν ἁγίαν Γραφὴν πνευματικοῦ ἀνθρώπου, αἴσθησις δὲ οἱ προφῆται, τὸ δὲ Εὐαγγέλιον ψυχὴ νοερά, διὰ σαρκὸς τοῦ νόμου καὶ δι' αἰσθήσεως τῶν προφητῶν ἐνεργοῦσα καὶ τὴν ἑαυτῆς δύναμιν ταῖς ἐνεργείαις ἐμφαίνουσα.*

93 *Σκιὰν μὲν εἶχεν ὁ νόμος, εἰκόνα δὲ οἱ προφῆται τῶν ἐν τῷ Εὐαγγελίῳ θείων καὶ πνευματικῶν ἀγαθῶν. Αὐτὸ δὲ τὸ Εὐαγγέλιον, αὐτὴν παροῦσαν ἡμῖν διὰ τῶν γραμμάτων ἔδειξε τὴν ἀλήθειαν, τὴν τῷ νόμῳ προσκιασθεῖσαν καὶ τοῖς προφήταις προεικονισθεῖσαν.*

94 *Ὁ τὸν νόμον διὰ βίου καὶ πολιτείας ἐπιτελῶν, μόνων τῶν τῆς κακίας ἀργεῖ συμπερασμάτων, καταθύων τῷ Θεῷ τῶν ἀλόγων παθῶν τὴν ἐνέργειαν· καὶ τούτῳ πρὸς σωτηρίαν ἀρκεῖται τῷ τρόπῳ, διὰ τὴν ἐν αὐτῷ πνευματικὴν νηπιότητα.*

---

43. Ρωμ. 7,14. 44. Ἑβρ. 8,13.

χει δίνοντάς της συμβολικὸ νόημα· ἀποτελοῦσε ἀπεικόνισμα καὶ τύπο καὶ ὁμοίωμα τῆς σοφίας.

89 Ἡ χάρη τῆς Νέας Διαθήκης εἶναι κρυμμένη μυστικὰ στὸ γράμμα τῆς Παλαιᾶς· γι' αὐτὸ λέει ὁ Ἀπόστολος ὅτι ὁ νόμος εἶναι πνευματικός[43]. Ὁ νόμος λοιπὸν κατὰ τὸ γράμμα παλιώνει καὶ γηράσκει καὶ καταργεῖται[44], κατὰ τὸ πνεῦμα ὅμως εἶναι νέος καὶ ἰσχύει γιὰ πάντα. Γιατὶ ἡ χάρη δὲ δέχεται κανένα πάλιωμα.

90 Ὁ νόμος ἔχει τὴ σκιὰ τοῦ Εὐαγγελίου, ἐνῶ τὸ Εὐαγγέλιο εἶναι εἰκόνα τῶν μελλοντικῶν ἀγαθῶν. Ὁ ἕνας ἐμποδίζει τὴ διάπραξη τῶν κακῶν· τὸ Εὐαγγέλιο παραθέτει τὰ ἀγαθὰ ποὺ πρέπει νὰ πράττομε.

91 Ὅλη ἡ ἁγία Γραφὴ λέμε ὅτι διακρίνεται σὲ σάρκα καὶ πνεῦμα σὰ νὰ εἶναι πνευματικὸς ἄνθρωπος. Αὐτὸς λοιπὸν ποὺ θὰ πεῖ ὅτι τὰ λόγια τῆς Γραφῆς εἶναι σάρκα καὶ τὸ νόημά της πνεῦμα, δηλαδὴ ψυχή, δὲ θ' ἀστοχήσει τὴν ἀλήθεια. Κι εἶναι σοφὸς ὁλοφάνερα ὅποιος ἀφήνει αὐτὸ ποὺ φθείρεται καὶ προσκολλᾶται ὁλόκληρος στὸ ἄφθαρτο.

92 Ὁ νόμος εἶναι ἡ σάρκα τοῦ πνευματικοῦ ἀνθρώπου τῆς ἁγίας Γραφῆς· ἡ αἴσθηση εἶναι οἱ προφῆτες· τὸ Εὐαγγέλιο εἶναι ἡ νοερὴ ψυχὴ ποὺ ἐνεργεῖ μὲ τὴ σάρκα τοῦ νόμου καὶ μὲ τὴν αἴσθηση τῶν προφητῶν καὶ μὲ τὶς ἐνέργειες φανερώνει τὴ δύναμή τους.

93 Ὁ νόμος εἶχε τὴ σκιὰ καὶ οἱ προφῆτες τὴν εἰκόνα τῶν θείων καὶ πνευματικῶν ἀγαθῶν τοῦ Εὐαγγελίου. Τὸ ἴδιο τὸ Εὐαγγέλιο μᾶς ἔδειξε τὴν ἀλήθεια τὴν ἴδια μὲ τὰ γράμματα παρούσα σ' αὐτὸ ποὺ προηγούμενα ὁ νόμος μᾶς ἔδωσε τὴ σκιά της καὶ οἱ προφῆτες τὴν προεικόνισαν.

94 Ὅποιος ἐνεργεῖ σύμφωνα μὲ τὸ νόμο στὸ βίο καὶ τὴν πολιτεία του, ἀργεῖ μόνο ἀπὸ τὰ ἀποτελέσματα τῆς κακίας, κάνοντας θυσία στὸ Θεὸ τὴν ἐνέργεια τῶν ἄλογων παθῶν καὶ περιορίζεται σ' αὐτὸν τὸν τρόπο γιὰ νὰ ἐπιτύχει τὴ σωτηρία του ἐξαιτίας τῆς πνευματικῆς του νηπιότητας.

95 *Ὁ τῷ προφητικῷ λόγῳ παιδαγωγούμενος, πρὸς τῇ ἀποβολῇ τῆς τῶν παθῶν ἐνεργείας καὶ τὰς κατὰ ψυχὴν συνισταμένας αὐτῶν ἐκτίθεται συγκαταθέσεις, ἵνα μὴ τῷ χείρονι, φημὶ δὴ τῇ σαρκί, δοκῶν κακίας ἀπέχεσθαι, τῷ κρείττονι, λέγω δὲ τῇ ψυχῇ λάθῃ ταύτην δαψιλῶς ἐνεργούμενος.*

96 *Ὁ τὴν εὐαγγελικὴν ζωὴν γνησίως ἀσπαζόμενος καὶ ἀρχὴν καὶ τέλος ἑαυτοῦ τῆς κακίας ἐξέτεμε καὶ πᾶσαν ἀρετὴν ἔργῳ τε καὶ λόγῳ μετέρχεται, θύων θυσίας αἰνέσεως καὶ ἐξομολογήσεως, πάσης τῆς κατ' ἐνέργειαν τῶν παθῶν ἀπηλλαγμένος ὀχλήσεως καὶ τῆς κατὰ νοῦν πρὸς αὐτὰ μάχης ὑπάρχων ἐλεύθερος, καὶ μόνην ἔχων τὴν ἐπ' ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τὴν ψυχὴν διατρέφουσαν ἀκόρεστον ἡδονήν.*

97 *Τοῖς σπουδαιοτέροις τῶν θείων Γραφῶν ἐπιμεληταῖς δύο ἔχων ἀναφαίνεται μορφὰς ὁ κατὰ Κύριον Λόγος· τὴν μὲν κοινὴν καὶ δημωδεστέραν καὶ οὐκ ὀλίγοις θεατήν, καθ' ἣν λέγεται, τὸ «εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος», τὴν δὲ κρυφιωτέραν καὶ ὀλίγοις ἐφικτήν, τοῖς ἤδη κατὰ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, τοὺς ἁγίους ἀποστόλους γεγονόσιν, ἐφ' ὧν ὁ Κύριος μετεμορφώθη πρὸς δόξαν νικῶσαν τὴν αἴσθησιν, καθ' ἣν «ἔστιν ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Τούτων δὲ τῶν δύο μορφῶν, ἡ μὲν προτέρα τοῖς εἰσαγομένοις ἁρμόδιος, ἡ δευτέρα δὲ τοῖς κατὰ τὴν γνῶσιν ὡς ἐφικτὸν τελειωθεῖσιν ἀνάλογος. Καὶ ἡ μὲν τῆς πρώτης τοῦ Κυρίου παρουσίας ἐστὶν εἰκών, ἐφ' ἧς τὸ ρητὸν τοῦ Εὐαγγελίου θετέον τῆς διὰ παθημάτων καθαιρούσης τοὺς πρακτικούς, ἡ δὲ τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας ἐστὶ προδιατύπωσις, ἐφ' ἧς τὸ πνεῦμα νοεῖται, τῆς διὰ σοφίας τοὺς γνωστικοὺς μεταμορφούσης πρὸς θέωσιν, ἐκ τῆς ἐν αὐτοῖς τοῦ λόγου μεταμορφώσεως, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζομένους.*

98 *Ὁ μὲν ἀκατασείστως ὑπὲρ ἀρετῆς ἐγκαρτερῶν τοῖς δεινοῖς,*

45 Ἡσ. 53,2. 46. Ψαλμ. 44,3. 47. Β' Κορ. 3,18.

95 Ὅποιος παιδαγωγεῖται ἀπὸ τὸν προφητικὸ λόγο μαζὶ μὲ τὴν ἀποβολὴ τῆς ἐνέργειας τῶν παθῶν ἀποβάλλει καὶ τὶς ψυχικὲς συγκαταθέσεις γι' αὐτά· μήπως νομίζοντας ὅτι ἀπέχει ἀπὸ τὴν κακία ὡς πρὸς τὸ χειρότερο, ἐννοῶ τὴ σάρκα, βρεθεῖ νὰ τὴν πραγματοποιεῖ πλούσια μὲ τὸ καλύτερο, κι ἐννοῶ τὴν ψυχή.

96 Ὅποιος ἀσπάζεται γνήσια τὴν εὐαγγελικὴ ζωή, κόβει καὶ τὴν ἀρχὴ καὶ τὸ τέλος τῆς κακίας ποὺ ἔχει καὶ ἀσκεῖ κάθε ἀρετὴ μὲ τὰ ἔργα καὶ τοὺς λόγους του· προσφέρει θυσίες δοξολογίας κι ἐξομολόγησης ἀπολλαγμένος κατὰ τὴν πράξη ἀπὸ κάθε ἐνόχληση τῶν παθῶν κι ἐλεύθερος ἀπὸ τὸ νοερὸ πόλεμο ἐναντίον τους κι ἔχει μονάχα τὴν ἀκόρεστη ἡδονὴ ποὺ θρέφει τὴν ψυχὴ μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν.

97 Στοὺς πιὸ σπουδαίους μελετητὲς τῶν θείων Γραφῶν παρουσιάζεται ὁ Λόγος τοῦ Κυρίου νὰ ἔχει δύο ὄψεις· ἡ μία εἶναι κοινὴ καὶ πιὸ λαϊκὴ καὶ ὄχι σὲ λίγους μόνο ὁρατὴ καὶ σύμφωνα μ' αὐτὴν λέγεται ὁ λόγος, «τὸν εἴδαμε καὶ δὲν ἔχει μορφὴ οὔτε κάλλος»[45]· ἡ ἄλλη εἶναι πιὸ μυστικὴ καὶ τὴ φτάνουν λίγοι, ὅσοι ἔχουν διαμορφωθεῖ κατὰ τοὺς ἁγίους ἀποστόλους Πέτρο καὶ Ἰάκωβο καὶ Ἰωάννη, ποὺ μπροστά τους μεταμορφώθηκε ὁ Κύριος μὲ μιὰ λάμψη ποὺ νικᾶ τὴν αἴσθηση· ἡ λάμψη αὐτὴ τὸν κάνει νὰ εἶναι «στὴν ὀμορφιὰ πιὸ ὡραῖος ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων»[46]. Ἀπὸ αὐτὲς τὶς δύο ὄψεις ἡ πρώτη ἁρμόζει στοὺς ἀρχάριους· ἡ δεύτερη ἀναλογεῖ σ' ἐκείνους ποὺ τελειοποιήθηκαν κατὰ τὸ δυνατὸ στὴ γνώση. Καὶ ἡ μία εἶναι εἰκόνα τῆς πρώτης παρουσίας τοῦ Κυρίου, καὶ σ' αὐτὴν ποὺ μὲ παθήματα καθαρίζει ὅσους ἀσκοῦνται στὴν ἀρετή, πρέπει ν' ἀποδώσομε τοὺς λόγους τοῦ Εὐαγγελίου. Καὶ ἡ ἄλλη ὄψη εἶναι προδιατύπωση τῆς δεύτερης καὶ ἔνδοξης παρουσίας, ποὺ μ' αὐτὴν νοοῦμε τὸ πνεῦμα καὶ ποὺ μὲ τὴ σοφία μεταμορφώνει τοὺς γνωστικοὺς πρὸς θέωση. Ἀπὸ τὴ μεταμόρφωση τοῦ Λόγου σ' αὐτοὺς ἀντανακλοῦν μὲ ξεσκέπαστο πρόσωπο τὴ δόξα τοῦ Κυρίου[47].

98 Ὅποιος δείχνει ἀκλόνητη ὑπομονὴ στὰ δεινὰ γιὰ χάρη τῆς

*ἐνεργουμένην ἐφ' ἑαυτὸν ἔχει τὴν πρώτην τοῦ Λόγου παρουσίαν, πάσης αὐτὸν κηλῖδος καθαίρουσαν, ὁ δὲ τὸν νοῦν πρὸς τὴν τῶν ἀγγέλων διὰ θεωρίας μεταβιβάσας κατάστασιν, τῆς δευτέρας ἔχει παρουσίας τὴν δύναμιν, ἐνεργοῦσαν αὐτῷ τὸ ἀπαθὲς καὶ ἀνάλωτον.*

99 *Αἴσθησις μὲν ἕπεται τῷ πρακτικῷ, διὰ πόνον κατορθοῦντι τὰς ἀρετάς, ἀναισθησία δὲ τῷ γνωστικῷ, τὸν νοῦν ἀπὸ τῆς σαρκὸς καὶ τοῦ κόσμου συστείλαντι πρὸς Θεόν. Ὁ μὲν γὰρ λῦσαι τὴν ψυχὴν τῶν κατὰ φύσιν τῆς σχέσεως πρὸς τὴν σάρκα δεσμῶν διὰ τῆς πρακτικῆς ἀγωνιζόμενος, ἔχει τὴν γνῶμην τοῖς πόνοις συνεχῶς ἐποκλάζουσαν, ὁ δέ, ταύτης τῆς σχέσεως ἀνασπάσας διὰ τῆς θεωρίας τοὺς ἥλους, οὐδενὶ τὸ σύνολόν ἐστι καθεκτός· καθαρὸς ἤδη τοῦ πάσχειν τε καὶ κρατεῖσθαι πεφυκότος παρὰ τῶν ἑλεῖν βουλομένων, γενόμενος.*

100 *Τὸ μάννα δοθὲν τῷ Ἰσραὴλ κατὰ τὴν ἔρημον, ὁ τοῦ Θεοῦ λόγος ἐστι, πρὸς πᾶσαν ἡδονὴν πνευματικὴν ἀρκῶν τοῖς ἐσθίουσιν αὐτόν, καὶ πρὸς πᾶσαν γεῦσιν κατὰ τὴν διαφορὰν τῆς τῶν ἐσθιόντων ἐπιθυμίας, μετακιρνώμενος. Πάσης γὰρ ἔχει πνευματικῆς βρώσεως ποιότητα. Διὸ τοῖς μὲν ἄνωθεν ἐκ σπόρου ἀφθάρτου διὰ πνεύματος γεννηθεῖσι, λογικὸν ἄδολον γίνεται γάλα, τοῖς δὲ ἀσθενοῦσι, λάχανον, τὴν παθοῦσαν τῆς ψυχῆς παραμυθούμενος δύναμιν, τοῖς δὲ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα ἔχουσι πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, στερεὰν ἑαυτὸν δίδωσι τροφήν. Ἔχει δὲ καὶ ἄλλας ἀπείρους δυνάμεις ὁ τοῦ Θεοῦ λόγος, ἐνταῦθα μὴ χωρουμένας· ἀναλύσας δέ τις, καὶ ἄξιος γενόμενος ἐπὶ πολλῶν, ἢ ἐπὶ πάντων κατασταθῆναι, λήψεται κἀκείνας ὅλας, ἤ τινας τοῦ λόγου τὰς δυνάμεις, διὰ τὸ ἐν ἐλαχίστῳ αὐτὸν ἐνταῦθα πιστὸν γεγονέναι. Πᾶσα γὰρ τῶν ἐνταῦθα διδομένων θείων χαρισμάτων ἀκρότης, συγκρίσει τῶν μελλόντων ἐλάχιστόν τι καὶ μέτριόν ἐστιν.*

---

**48. Σοφ. Σολ. 16,20. 49. Α' Πέτρ. 2,2. 50. Ρωμ. 14,2.**

ἀρετῆς, ἔχει ἐπάνω του ἐνεργὸ τὴν πρώτη παρουσία τοῦ Λόγου, ποὺ τὸν καθαρίζει ἀπὸ κάθε κηλίδα. Κι αὐτὸς ποὺ μετέφερε τὸ νοῦ του μὲ τὴ θεωρία στὴν κατάσταση τῶν ἀγγέλων ἔχει τὴ δύναμη τῆς δεύτερης παρουσίας, ποὺ πραγματοποιεῖ σ' αὐτὸν τὴν ἀπάθεια καὶ τὸ ἀνάλωτο.

99 Ἡ αἴσθηση ἀκολουθεῖ ὅποιον ἐπιδίδεται στὴν ἄσκηση ποὺ κατορθώνει μὲ κόπους τὶς ἀρετές· ἡ ἔλλειψη αἴσθησης συνοδεύει τὸ γνωστικὸ ποὺ περιμάζεψε τὸ νοῦ του ἀπὸ τὴ σάρκα καὶ τὸν κόσμο πρὸς τὸ Θεό. Ὅποιος ἀγωνίζεται νὰ ἐλευθερώσει τὴν ψυχὴ ἀπὸ τὰ δεσμὰ τῆς φυσικῆς σχέσης πρὸς τὴ σάρκα, ἀπὸ τοὺς κόπους ἔχει τὸ φρόνημά του ἀδιάκοπα γονατισμένο. Ὅποιος μὲ τὴ θεωρία ἔχει ἀποσπάσει τὰ καρφιὰ τῆς σχέσης αὐτῆς δὲ δεσμεύεται ἀπὸ τίποτα ἀπολύτως, ἐπειδὴ ἔχει γίνει καθαρὸς ἀπὸ τὸ νὰ δέχεται καὶ νὰ ἐξουσιάζεται ὅπως θὰ ἦταν φυσικὸ ἀπὸ ἐκείνους ποὺ θέλουν νὰ τὸν συλλάβουν.

100 Τὸ μάννα ποὺ δόθηκε στοὺς Ἰσραηλίτες μέσα στὴν ἔρημο εἶναι ὁ λόγος τοῦ Θεοῦ, ἀρκετὸς γιὰ κάθε πνευματικὴ ἡδονὴ γιὰ ὅσους τὸν τρῶνε καὶ ποὺ μεταπίπτει σὲ κάθε γεύση κατὰ τὴ διαφορὰ τῆς ἐπιθυμίας ὅσων τὸν τρώνε. Γιατὶ ἔχει τὴν ποιότητα κάθε πνευματικῆς βρώσης[48]. Γι' αὐτὸ γιὰ ὅποιους γεννήθηκαν μέσω τοῦ Πνεύματος ἀπὸ τὸν οὐρανὸ ἀπὸ σπορὰ ἄφθαρτη γίνεται γάλα ἄδολο καὶ λογικό[49], γιὰ τοὺς ἀσθενεῖς λάχανο[50], παρηγορώντας ἔτσι τὴν τραυματισμένη δύναμη τῆς ψυχῆς, καὶ σ' ὅσους ἔχουν ἀπὸ συνήθεια γυμνασμένα τὰ αἰσθητήρια τῆς ψυχῆς, γιὰ νὰ διακρίνουν τὸ καλὸ καὶ τὸ κακό[51], παρέχει τὸν ἑαυτό του ὡς τροφὴ στερεά. Ἔχει κι ἄλλες ἄπειρες δυνάμεις ὁ λόγος τοῦ Θεοῦ, ποὺ δὲν ἐπιτυγχάνονται ἐδῶ. Κι ὅταν φτάσει κάποιος στὸ τέλος καὶ γίνει ἄξιος νὰ τοῦ δοθοῦν πολλὰ ἢ καὶ ὅλα[52], θ' ἀποκτήσει κι ἐκεῖνες ὅλες ἢ μερικὲς ἀπὸ τὶς δυνάμεις τοῦ λόγου, ἐπειδὴ στάθηκε πιστὸς ἐδῶ στὸ ἐλάχιστο. Γιατὶ τὸ σύνολο τῶν θείων χαρισμάτων ποὺ δίνονται ἐδῶ σὲ σύγκριση μὲ τὰ μελλοντικὰ εἶναι κάτι ἐλάχιστο καὶ μέτριο.

51. Ἑβρ. 5,14. 52. Ματθ. 24,4 . 25,21.

## *ΓΝΩΣΤΙΚΑ ΚΕΦΑΛΑΙΑ*

### *ΕΚΑΤΟΝΤΑΣ Β'*

*1. Εἷς Θεός, ὅτι μία θεότης· μονὰς ἄναρχος καὶ ἁπλῆ καὶ ὑπερούσιος καὶ ἀμερὴς καὶ ἀδιαίρετος· ἡ αὐτὴ μονὰς καὶ Τριάς· ὅλη μονὰς ἡ αὐτή, καὶ ὅλη Τριὰς ἡ αὐτή· μονὰς ὅλη κατὰ τὴν οὐσίαν ἡ αὐτή, καὶ Τριὰς ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐτή. Πατὴρ γὰρ καὶ Υἱὸς καὶ Πνεῦμα ἅγιον ἡ θεότης, καὶ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι ἡ θεότης. Ὅλη ἐν ὅλῳ τῷ Πατρὶ ἡ αὐτή, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Πατήρ, καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός. Καὶ ὅλη ἐν ὅλῳ τῷ Πνεύματι τῷ ἁγίῳ ἡ αὐτή, καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ Πνεῦμα τὸ ἅγιον. Ὅλη Πατὴρ καὶ ἐν ὅλῳ τῷ Πατρί, καὶ ὅλος ἐν ὅλῃ ὁ Πατήρ, καὶ ὅλη ὅλος ὁ Πατήρ. Καὶ ὅλη ὅλος ὁ Υἱὸς ἡ αὐτή, καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή· καὶ ὅλος ὅλη, καὶ ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός. Καὶ ὅλη Πνεῦμα ἅγιον ἡ αὐτὴ καὶ ἐν ὅλῳ τῷ Πνεύματι τῷ ἁγίῳ· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅλον ὅλη, καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ γὰρ ἐκ μέρους ἡ θεότης ἐν τῷ Πατρί, ἢ ἐκ μέρους Θεὸς ὁ Πατήρ· οὔτε ἐκ μέρους ἐν τῷ Υἱῷ ἡ θεότης, ἢ ἐκ μέρους Θεὸς ὁ Υἱός· οὔτε ἐκ μέρους ἐν τῷ ἁγίῳ Πνεύματι ἡ θεότης, ἢ ἐκ μέρους Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Οὔτε γὰρ μεριστὴ ἡ θεότης, οὔτε ἀτελὴς Θεὸς ὁ Πατήρ, ἢ ὁ Υἱός, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὅλη ἐστὶν ἡ αὐτὴ τελεία τελείως ἐν τελείῳ τῷ Πατρί· καὶ ὅλη τελεία τελείως ἐν τελείῳ τῷ Υἱῷ ἡ αὐτή·*

## ΚΕΦΑΛΑΙΑ ΓΝΩΣΤΙΚΑ

### ΕΚΑΤΟΝΤΑΔΑ Β'

1 Ὁ Θεὸς εἶναι ἕνας, ἐπειδὴ ἡ θεότητα εἶναι μία μονάδα χωρὶς ἀρχή, ἁπλή, ὑπερούσια, ἀσύνθετη, ἀδιαίρετη. Μονάδα ἡ ἴδια καὶ τριάδα· ὅλη μονάδα ἡ ἴδια καὶ πάλι ἡ ἴδια ὅλη τριάδα. Κατὰ τὴν ουσία της ὅλη μονάδα ἡ ἴδια καὶ τριάδα ὅλη ἡ ἴδια στὶς ὑποστάσεις της. Γιατὶ ἡ θεότητα εἶναι Πατέρας καὶ Υἱὸς καὶ ἅγιο Πνεῦμα καὶ ἡ θεότητα ὑπάρχει στὸν Πατέρα, τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα. Ἡ ἴδια ὅλη σὲ ὅλο τὸν Πατέρα καὶ σὲ ὅλη αὐτὴ τὴν ἴδια ὁ Πατέρας· ἡ ἴδια ὅλη σὲ ὅλο τὸν Υἱὸ καὶ σὲ ὅλη αὐτὴ τὴν ἴδια ὁ Υἱός· καὶ ἡ ἴδια ὅλη σὲ ὅλο τὸ ἅγιο Πνεῦμα καὶ σὲ ὅλη αὐτὴν τὴν ἴδια ὅλο τὸ ἅγιο Πνεῦμα. Ὅλη Πατέρας καὶ σὲ ὅλο τὸν Πατέρα καὶ ὁ Πατέρας ὅλος σὲ ὅλη καὶ ὅλη ὅλος ὁ Πατέρας. Ἡ ἴδια ὅλη ὅλος ὁ Υἱὸς καὶ ἡ ἴδια ὅλη σὲ ὅλο τὸν Υἱὸ καὶ ὁ Υἱὸς ὅλος ὅλη καὶ σὲ ὅλη αὐτὴν τὴν ἴδια. Καὶ ἡ ἴδια ὅλη εἶναι Πνεῦμα ἅγιο καὶ σὲ ὅλο τὸ ἅγιο Πνεῦμα· καὶ ὅλη εἶναι ὅλο τὸ ἅγιο Πνεῦμα καὶ σὲ ὅλη αὐτὴν τὴν ἴδια εἶναι ὅλο τὸ ἅγιο Πνεῦμα. Δὲν εἶναι μ' ἕνα μέρος της ἡ θεότητα στὸν Πατέρα οὔτε μ' ἕνα μέρος του ὁ Πατέρας εἶναι Θεός· οὔτε μ' ἕνα μέρος της ἡ θεότητα εἶναι Υἱὸς οὔτε μ' ἕνα μέρος του ὁ Υἱὸς εἶναι Θεός· οὔτε μ' ἕνα μέρος της ἡ θεότητα εἶναι μέσα στὸ ἅγιο Πνεῦμα οὔτε μ' ἕνα μέρος του εἶναι Θεὸς τὸ ἅγιο Πνεῦμα. Γιατὶ οὔτε σὲ μέρη χωρίζεται ἡ θεότητα οὔτε εἶναι ἀτελὴς Θεὸς ὁ Πατέρας ἢ ὁ Υἱὸς ἢ τὸ ἅγιο Πνεῦμα, ἀλλὰ εἶναι ἡ ἴδια ὅλη τέλεια καὶ εἶναι τελείως μέσα στὸν τέλειο Πατέρα· καὶ ἡ ἴδια ὅλη

*καὶ ὅλη τελεία τελείως ἡ αὐτὴ ἐν τελείῳ τῷ ἁγίῳ Πνεύματι. Ὅλος γὰρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Πατήρ· καὶ ὅλος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Υἱός· καὶ ὅλον ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ τελείως ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ εἷς Θεὸς ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μία γὰρ καὶ ἡ αὐτὴ οὐσία καὶ δύναμις καὶ ἐνέργεια Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· οὐκ ὄντος οὐδενὸς τοῦ ἑτέρου χωρὶς ἢ νοουμένου.*

2 *Πᾶσα νόησις τῶν νοούντων καὶ νοουμένων ἐστίν, ὁ δὲ Θεὸς οὔτε τῶν νοούντων ἐστίν, οὔτε τῶν νοουμένων· ὑπὲρ ταῦτα γάρ· ἐπεὶ περιγράφεται, τῆς τοῦ νοουμένου σχέσεως, ὡς νοῶν, προσδεόμενος· ἢ τῷ νοοῦντι φυσικῶς ὑποπίπτων, διὰ τὴν σχέσιν νοούμενος. Λείπεται γοῦν, μήτε νοεῖν, μήτε νοεῖσθαι τὸν Θεὸν ὑπολαμβάνειν, ἀλλ' ὑπὲρ τὸ νοεῖν εἶναι καὶ νοεῖσθαι. Τῶν γὰρ μετ' αὐτόν, φυσικῶς ἐστι τὸ νοεῖν καὶ τὸ νοεῖσθαι.*

3 *Πᾶσα νόησις, ὥσπερ ἐν οὐσίᾳ πάντως ἔχει τὴν θέσιν ὡς ποιότης, οὕτω καὶ περὶ οὐσίαν πεποιωμένην ἔχει τὴν κίνησιν. Οὐ γὰρ ἄφετόν τι καθόλου καὶ ἁπλοῦν καθ' ἑαυτὸ ὑφεστὼς δυνατόν ἐστιν αὐτὴν ὑποδέξασθαι, ὅτι μὴ ἄφετός ἐστι καὶ ἁπλῆ. Ὁ δὲ Θεὸς κατ' ἄμφω πάμπαν ὑπάρχων ἁπλοῦς, καὶ οὐσία τοῦ ἐν ὑποκειμένῳ χωρίς, καὶ νόησις μὴ ἔχουσά τι καθάπαξ ὑποκείμενον· οὐκ ἔστι τῶν νοούντων καὶ νοουμένων, ὡς ὑπὲρ οὐσίαν ὑπάρχων δηλονότι καὶ νόησιν.*

4 *Ὥσπερ ἐν τῷ κέντρῳ τῶν ἐξ αὐτοῦ κατ' εὐθεῖαν ἐκτεταμένων γραμμῶν ἀδιαίρετος θεωρεῖται παντελῶς ἡ θέσις, οὕτως ὁ ἀξιωθεὶς ἐν τῷ Θεῷ γενέσθαι, πάντας εἴσεται τοὺς ἐν αὐτῷ τῶν γεγονότων προϋφεστῶτας λόγους, καθ' ἁπλῆν τινα ἀδιαίρετον γνῶσιν.*

5 *Μορφουμένη τοῖς νοουμένοις νόησις, πολλαὶ νοήσεις ἢ μία*

τέλεια τελείως μέσα στὸν τέλειο Υἱὸ καὶ τέλεια ἡ ἴδια ὅλη τελείως μέσα στὸ τέλειο ἅγιο Πνεῦμα. Γιατὶ ὅλος ὁ Πατέρας εἶναι τελείως μέσα σὲ ὅλο τὸν Υἱὸ καὶ τὸ Πνεῦμα· καὶ εἶναι τέλεια ὁ Υἱὸς ὅλος μέσα σὲ ὅλο τὸν Πατέρα καὶ τὸ Πνεῦμα καὶ ὅλο τὸ Πνεῦμα τὸ ἅγιο εἶναι τέλεια μέσα σὲ ὅλο τὸν Πατέρα καὶ τὸν Υἱό. Γι' αὐτὸ καὶ εἶναι ἕνας Θεὸς ὁ Πατέρας, ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα. Γιατὶ εἶναι μία καὶ ἡ ἴδια ἡ οὐσία καὶ ἡ δύναμη καὶ ἡ ἐνέργεια τοῦ Πατέρα, τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ κανένας ἀπὸ τοὺς τρεῖς οὔτε εἶναι οὔτε νοεῖται χωριστά.

2 Κάθε νόηση σχετίζεται μὲ ὅσα νοοῦν καὶ ὅσα νοοῦνται, ὁ Θεὸς ὅμως οὔτε σὲ ὅσα νοοῦν ἀνήκει οὔτε σὲ ὅσα νοοῦνται, γιατὶ εἶναι πάνω ἀπὸ αὐτά. Ἂν, ἐπειδὴ νοεῖ, χρειάζεται τὴ σχέση μ' αὐτὸ ποὺ νοεῖται, περιορίζεται ἢ ὑποτάσσεται φυσικὰ σ' ὅ,τι νοεῖ, ἐπειδὴ μέσα στὴ σχέση θὰ νοεῖται. Ἀπομένει λοιπὸν νὰ θεωροῦμε ὅτι ὁ Θεὸς μήτε νοεῖ μήτε νοεῖται ἀλλὰ εἶναι πάνω κι ἀπὸ τὰ δύο. Γιατὶ τὸ νὰ νοοῦν καὶ νὰ νοοῦνται εἶναι φυσικὸ γνώρισμα τῶν ἔπειτ' ἀπ' αὐτόν.

3 Κάθε νόηση, ὅπως ἔχει θέση σὲ μιὰ οὐσία ὡς ἰδιότητά της, ἔτσι κινεῖται καὶ γύρω ἀπὸ μιὰ οὐσία μὲ ὁρισμένο ποιό. Γιατὶ δὲν εἶναι δυνατὸ κάτι ποὺ εἶναι ὁλότελα ἀπόλυτο καὶ ἁπλὸ στὴν καθεαυτὸ ὑπόστασή του νὰ τὴ δεχτεῖ, γιατὶ δὲν εἶναι ἀπόλυτη καὶ ἁπλή. Ὁ Θεὸς ὅμως εἶναι καὶ στὰ δύο ὁλότελα ἁπλὸς καὶ οὐσία δίχως ὑποκείμενο καὶ νόηση πάλι ποὺ δὲν ἔχει ἕνα δεδομένο ὑποκείμενο. Καὶ δὲν εἶναι οὔτε ἀπὸ ὅσα νοοῦν οὔτε ἀπὸ ὅσα νοοῦνται, ἐπειδὴ ὁλοφάνερα εἶναι πάνω ἀπὸ οὐσία καὶ νόηση.

4 Ὅπως μέσα στὸ κέντρο θεωρεῖται ὁλότελα ἀδιαίρετη ἡ θέση τῶν γραμμῶν ποὺ ξεκινοῦν κατ' εὐθείαν ἀπὸ αὐτό, ἔτσι κι ὁποιος ἀξιώθηκε νὰ φτάσει στὸ Θεό, θὰ γνωρίσει μὲ μιὰ ἁπλὴ κι ἀδιαίρετη γνώση ὅλους τοὺς λόγους τῶν δημιουργημάτων ποὺ προϋπάρχουν σ' αὐτόν.

5 Ὅταν ἡ νόηση πάρει τὴ μορφὴ αὐτῶν ποὺ νοεῖ, τότε ἡ μία

*καθίσταται νόησις, κατ' εἶδος ἕκαστον μορφουμένη τῶν νοουμένων. Ὁπηνίκα δὲ τῶν μορφούντων αὐτὴν αἰσθητῶν τε καὶ νοητῶν τὸ πλῆθος περάσασα, γένηται πάμπαν ἀνείδεος, τηνικαῦτα προσφυῶς αὐτὴν ὁ ὑπὲρ νόησιν οἰκειοῦται Λόγος, καταπαύων τῶν ἀλλοιοῦν αὐτὴν ταῖς τῶν νοημάτων μορφαῖς πεφυκότων· ὅπερ ὁ παθών, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.*

6 *Ὁ τὴν ἐφικτὴν ἀνθρώποις ἐνταῦθα τελειότητα φθάσας καρποφορεῖ τῷ Θεῷ ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, πρὸς δὲ τὸ μέλλον ἀφθαρσίαν καὶ ἀϊδιότητα καὶ τὰ τούτοις ὅμοια· καὶ μήποτε τὰ μὲν πρῶτα προσήκει τῷ τὴν πρακτικὴν τελειώσαντι, τὰ δεύτερα δὲ τῷ διὰ γνώσεως ἀληθοῦς ἐκστάντι τῶν πεποιημένων.*

7 *Ὥσπερ ἴδιον παρακοῆς ἔργον ἐστὶν ἡ ἁμαρτία, οὕτως ἴδιον ὑπακοῆς ἔργον ἐστὶν ἡ ἀρετή· καὶ ὥσπερ τῇ μὲν παρακοῇ παρακολουθεῖ παράβασις ἐντολῶν, καὶ τοῦ ἐντειλαμένου διαίρεσις, οὕτω τῇ ὑπακοῇ ἐφέπεται συντήρησις ἐντολῶν καὶ ἡ πρὸς τὸν ἐντειλάμενον ἕνωσις. Ὁ γοῦν συντηρήσας δι' ὑπακοῆς ἐντολὴν καὶ δικαιοσύνην εἰργάσατο καὶ πρὸς τὸν ἐντειλάμενον ἕνωσιν διὰ τῆς ἀγάπης ἐτήρησεν ἀδιαίρετον, ὁ δὲ παραβὰς διὰ παρακοῆς ἐντολὴν καὶ τὴν ἁμαρτίαν εἰργάσατο καὶ τῆς κατ' ἀγάπην ἑαυτὸν πρὸς τὸν ἐντειλάμενον διεῖλεν ἑνώσεως.*

8 *Ὁ ἐκ τῆς κατὰ τὴν παράβασιν διαιρέσεως συναγόμενος, πρῶτον χωρίζεται τῶν παθῶν· ἔπειτα τῶν ἐμπαθῶν λογισμῶν· εἶτα φύσεως καὶ τῶν περὶ φύσιν λόγων· εἶτα νοημάτων καὶ τῶν περὶ αὐτὰ γνώσεων· καὶ τελευταῖον, τῶν περὶ Προνοίας λόγων διαδρὰς τὸ ποικίλον, εἰς αὐτὸν ἀγνώστως καταντᾷ τὸν περὶ μονάδος λόγον, καθ' ὃν μόνον θεωρήσας ἑαυτοῦ ἀτρεψίαν ὁ νοῦς, χαίρει τὴν ἀνεκλάλητον χαράν, ὡς τὴν εἰρήνην εἰληφὼς τοῦ Θεοῦ, τὴν*

νόηση γίνεται πολλές, παίρνοντας τὶς μορφὲς καθενὸς ἀπὸ αὐτὰ ποὺ νοεῖ. Ὅταν ὅμως διασχίσει τὸ πλῆθος τῶν αἰσθητῶν καὶ τῶν νοητῶν ποὺ τῆς δίνουν μορφὴ καὶ καταντήσει ὁλότελα ἄμορφη, τότε τὴν οἰκειώνεται ταιριαστὰ ὁ πάνω ἀπό τὴ νόηση Λόγος, ἀπαλλάσσοντάς την ἀπὸ ὅσα τὴν ἀλλοιώνουν μὲ τὶς μορφὲς τῶν νοημάτων. Κι ὅποιος ὑποστεῖ αὐτὴ τὴν ἀπαλλαγὴ ἀναπαύεται κι αὐτὸς ἀπὸ τὰ ἔργα του, ὅπως ὁ Θεὸς ἀπὸ τὰ δικά του.

6 Ὅποιος ἔφτασε ἐδῶ στὴν τελειότητα τὴ δυνατὴ στοὺς ἀνθρώπους, προσφέρει στὸ Θεὸ τοὺς καρποὺς τῆς ἀγάπης, τῆς χαρᾶς, τῆς εἰρήνης, τῆς μακροθυμίας, καὶ γιὰ τὸ μέλλοντα αἰώνα ἑτοιμάζει ἀφθαρσία καὶ ἀϊδιότητα καὶ τὰ ὅμοιά τους. Καὶ ἴσως ταιριάζουν τὰ πρῶτα σ' ὅποιον ἔχει ὁλοκληρώσει τὴν ἐργασία τῆς ἀρετῆς, ἐνῶ τὰ δεύτερα σ' ὅποιον μὲ τὴν ἀληθινὴ γνώση βγῆκε ἔξω ἀπὸ τὴ δημιουργία.

7 Ὅπως ἀποκλειστικὸ ἀποτέλεσμα τῆς παρακοῆς εἶναι ἡ ἁμαρτία, ἔτσι ἀποκλειστικὸ ἔργο τῆς ὑπακοῆς εἶναι ἡ ἀρετή. Καὶ ὅπως στὴν παρακοὴ ἐπακολουθεῖ ἡ παράβαση τῶν ἐντολῶν καὶ ὁ χωρισμὸς ἀπὸ τὸν ἐντολοδότη, ἔτσι καὶ τὴν ὑπακοὴ τὴν ἀκολουθεῖ ἡ τήρηση τῶν ἐντολῶν καὶ ἡ ἕνωση μὲ τὸν ἐντολέα. Ὅποιος λοιπὸν τήρησε μὲ τὴν ὑπακοή του μιὰ ἐντολὴ κι ἔπραξε πράξη δικαιοσύνης, διατήρησε ἀδιαίρετη μὲ τὴν ἀγάπη τὴν ἕνωσή του μὲ τὸν ἐντολοδότη, ἐνῶ ὅποιος ἐπάτησε μὲ τὴν παρακοὴ μιὰ ἐντολὴ καὶ ἁμαρτία ἔπραξε καὶ τὸν ἑαυτό του χώρισε ἀπὸ τὴν ἕνωση τῆς ἀγάπης πρὸς τὸν ἐντολέα.

8 Ὅποιος συγκεντρώνεται ἔπειτ' ἀπὸ τὴ διαίρεση τῆς παράβασης, πρῶτα–πρῶτα χωρίζεται ἀπὸ τὰ πάθη, ἔπειτα ἀπὸ τοὺς ἐμπαθεῖς λογισμούς, ἔπειτα ἀπὸ τὴ φύση καὶ τοὺς σχετικοὺς μὲ τὴ φύση λόγους, ἔπειτα ἀπὸ τὰ νοήματα καὶ τὶς σχετικὲς μ' αὐτὰ γνώσεις. Καὶ τελευταῖα, ἀφοῦ περάσει ἀνάμεσα ἀπὸ τὴν ποικιλία τῶν λόγων περὶ προνοίας, καταλήγει μὲ τρόπο ἄγνωστο στὸν ἴδιο τὸ λόγο γιὰ τὴ μονάδα. Κι ἐκεῖ μόνο ὁ νοῦς βλέποντας τὴν ἀτρεψία του δοκιμάζει τὴν ἀνεκλάλητη χαρά, ἐπει-

*ὑπερέχουσαν πάντα νοῦν καὶ φρουροῦσαν διηνεκῶς ἄπτωτον τὸν αὐτῆς ἀξιούμενον.*

9 *Ὁ τῆς γεέννης φόβος κακίαν φεύγειν παρασκευάζει τοὺς εἰσαγομένους, ὁ δὲ πόθος τῆς τῶν ἀγαθῶν ἀντιδόσεως τοῖς προκόπτουσι τὴν ἐπ' ἐνεργείᾳ τῶν ἀρετῶν χαρίζεται προθυμίαν· τὸ δὲ τῆς ἀγάπης μυστήριον πάντων ὑπεραίρει τῶν γεγονότων τὸν νοῦν, πρὸς πάντα τὰ μετὰ Θεὸν τυφλὸν ἀπεργαζόμενον. Μόνους γὰρ τοὺς τυφλοὺς πρὸς πάντα τὰ μετὰ Θεὸν γεγενημένους ὁ Κύριος σοφίζει, δεικνὺς τὰ θειότερα.*

10 *Ὁ τοῦ Θεοῦ λόγος κόκκῳ σινάπεως ἐοικώς, πρὸ τῆς γεωργίας πάνυ εἶναι δοκεῖ μικρός, ἐπειδὰν δὲ γεωργηθῇ δεόντως, τοσοῦτον διαδείκνυται μέγας, ὥστε τοὺς τῶν αἰσθητῶν καὶ τῶν νοητῶν κτισμάτων μεγαλοφυεῖς λόγους πτηνῶν δίκην αὐτῷ ἐπαναπαύεσθαι. Πάντων γὰρ οἱ λόγοι καθεστήκασιν αὐτῷ χωρητοί, αὐτὸς δὲ τῶν ὄντων ἐστὶν οὐδενὶ χωρητός. Διὸ τὸν ἔχοντα πίστιν ὡς κόκκον σινάπεως δύνασθαι μεταθεῖναι λόγῳ τὸ ὄρος ὁ Κύριος ἔφη· τουτέστι, τὸ καθ' ἡμῶν τοῦ διαβόλου κράτος ἀποδιώκειν καὶ μετατιθέναι τῆς βάσεως.*

11 *Κόκκος τοῦ σινάπεώς ἐστιν ὁ Κύριος, κατὰ πίστιν ἐν Πνεύματι σπειρόμενος ἐν ταῖς καρδίαις τῶν δεχομένων, ὃν ὁ ἐπιμελῶς διὰ τῶν ἀρετῶν γεωργήσας, τὸ μὲν ὄρος τοῦ χοϊκοῦ φρονήματος μετατίθησι, τὴν δυσκίνητον ἕξιν ἑαυτοῦ τῆς κακίας κατ' ἐξουσίαν ἀπωθούμενος, τοὺς δὲ λόγους ἑαυτῷ τῶν ἐντολῶν καὶ τοὺς τρόπους, ἢ καὶ τὰς θείας δυνάμεις, ὥσπερ πετεινὰ οὐρανοῦ ἐπαναπαύει.*

12 *Τῷ Κυρίῳ καθάπερ τινὶ θεμελίῳ πίστεως τὸ ὕψος ἐποικοδομοῦντες τῶν ἀγαθῶν, χρυσίον, ἀργύριον, λίθους τιμίους ἐπιθώμεθα· τουτέστι, θεολογίαν καθαρὰν καὶ ἀκίβδηλον, καὶ βίον διαφανῆ καὶ λαμπρὸν καὶ θείους λογισμοὺς τὰ μαργαρώδη νοήματα, ἀλλὰ*

---

1. Ματθ. 13,31. 2. Ματθ. 17,19.

δὴ ἔχει λάβει τὴν εἰρήνη τοῦ Θεοῦ, ποὺ ξεπερνᾶ κάθε νοῦ καὶ ποὺ προφυλάγει ἀδιάκοπα νὰ μὴν πέσει ὅποιον τὴν ἀξιώνεται.

9 Ὁ φόβος τῆς γέεννας κάνει τοὺς ἀρχάριους νὰ ἀποφεύγουν τὴν κακία. Ὁ πόθος τῆς ἀνταπόδοσης τῶν ἀγαθῶν χαρίζει σ' ὅσους προκόβουν τὴν προθυμία γιὰ τὴν ἄσκηση τῶν ἀρετῶν. Τὸ μυστήριο τῆς ἀγάπης ὑψώνει τὸ νοῦ πάνω ἀπὸ ὅλα τὰ δημιουργήματα, κάνοντάς τον τυφλὸ σ' ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεό. Γιατὶ μόνον αὐτοὺς ποὺ ἔγιναν τυφλοὶ γιὰ ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεό, τοὺς κάνει ὁ Κύριος σοφούς, δείχνοντάς τους τὰ θεϊκότερα.

10 Ὁ λόγος τοῦ Θεοῦ, ποὺ μοιάζει μὲ κόκκο σιναπιοῦ, προτοῦ καλλιεργηθεῖ δείχνει νὰ εἶναι πολὺ μικρός. Ὅταν ὅμως καλλιεργηθεῖ σωστά, παρουσιάζεται τόσο μεγάλος, ὥστε ν' ἀναπαύονται[1] ἐπάνω του ὅμοια μὲ πουλιὰ οἱ μεγαλοπρεπεῖς λόγοι τῶν αἰσθητῶν καὶ τῶν νοητῶν δημιουργημάτων. Γιατὶ αὐτὸς μπορεῖ νὰ περιλάβει ὅλους τοὺς λόγους, ὁ ἴδιος ὅμως δὲν μπορεῖ νὰ περιληφθεῖ σὲ κανένα ἀπὸ τὰ ὄντα. Γι' αὐτὸ ὅποιος ἔχει πίστη σὰν κόκκο σιναπιοῦ εἶπε ὁ Κύριος ὅτι μπορεῖ μὲ τὸ λόγο του νὰ μετατοπίσει βουνό[2]. Ὁ λόγος θέλει νὰ πεῖ ν' ἀποδιώξομε ἀπὸ πάνω μας τὴ δύναμη τοῦ διαβόλου καὶ νὰ τὴ μετατοπίσομε ἀπὸ τή βάση.

11 Κόκκος τοῦ σιναπιοῦ εἶναι ὁ Κύριος ποὺ σπείρεται πνευματικὰ μὲ πίστη στὶς καρδιὲς ὅποιων τὸν δέχονται. Αὐτὸν ὅποιος τὸν καλλιεργήσει φροντισμένα μὲ τὶς ἀρετὲς μετακινεῖ ἀπὸ τὴ μιὰ τὸ βουνὸ τοῦ χοϊκοῦ φρονήματος, ἀπωθώντας μ' ἐξουσία ἀπὸ τὸν ἑαυτό του τὴ δυσμετακίνητη συνήθεια τῆς κακίας, κι ἀπὸ τὴν ἄλλη ἀναπαύει ἐπάνω του σὰν τὰ πουλιὰ τοῦ οὐρανοῦ τοὺς λόγους καὶ τοὺς τρόπους τῶν ἐντολῶν ἢ καὶ τὶς θεῖες δυνάμεις.

12 Χτίζοντας ἐπάνω στὸν Κύριο ὅπως σὲ θεμέλιο τῆς πίστης τὸ ψηλὸ οἰκοδόμημα τῶν ἀγαθῶν, ἃς ἀποθέσομε χρυσάφι, ἀσήμι καὶ πολύτιμες πέτρες· αὐτὰ θέλουν νὰ ποῦν, θεολογία καθαρὴ καὶ γνήσια, καὶ βίο διάφανο καὶ λαμπρὸ καὶ – θεϊκοὺς λογι-

*μὴ ξύλα, μὴ χόρτον, μήτε καλάμην· τουτέστι, μήτε εἰδωλολατρίαν, ἤγουν τὴν περὶ τὰ αἰσθητὰ πτόησιν, μήτε βίον ἀλόγιστον, μήτε λογισμοὺς ἐμπαθεῖς, καὶ τῆς κατὰ σοφίαν συνέσεως ὥσπερ ἀσταχύων ἐστερημένους.*

13 *Ὁ γνώσεως ἐφιέμενος ἀμετακινήτους τὰς βάσεις τῆς ψυχῆς ἐρεισάτω παρὰ τῷ Κυρίῳ, καθά φησιν ὁ Θεὸς τῷ Μωϋσῇ· «σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ». Ἰστέον δέ, ὅτι καὶ ἐν αὐτοῖς τοῖς ἱσταμένοις παρὰ τῷ Κυρίῳ ἐστὶ διαφορά· εἴπερ ἐκεῖνο μὴ παρέργως ἀναγινώσκεται τοῖς φιλομαθέσι, τό, «εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει». Οὐ γὰρ πᾶσιν ἀεὶ μετὰ δόξης ὁ Κύριος ἐπιφαίνεται τοῖς παρ' αὐτῷ ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις, ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος, ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι. Δυνατὸν οὖν ἐστι μὴ κατὰ τὸ αὐτὸ τὸν αὐτὸν πᾶσι τοῖς παρ' αὐτῷ τυγχάνουσι ἐπιφαίνεσθαι Κύριον, ἀλλὰ τοῖς μὲν οὕτω, τοῖς δὲ ἑτέρως, κατὰ τὸ μέτρον τῆς ἐν ἑκάστῳ πίστεως, δηλονότι ποικίλλων τὴν θεωρίαν.*

14 *Ὅταν περιφανὴς καὶ λαμπρὸς ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γένηται λόγος καὶ τὸ πρόσωπον αὐτοῦ λάμψοι καθάπερ ἥλιος, τότε καὶ τὰ ἱμάτια αὐτοῦ φαίνεται λευκά· τουτέστι, τὰ ῥήματα τῆς ἁγίας τῶν Εὐαγγελίων Γραφῆς, τρανὰ καὶ σαφῆ καὶ μηδὲν ἔχοντα κεκαλυμμένον. Ἀλλὰ καὶ Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ παραγίνονται· τουτέστιν, οἱ τοῦ νόμου καὶ τῶν προφητῶν πνευματικώτεροι λόγοι.*

15 *Ὥσπερ ἔρχεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὡς γέγραπται, μετὰ τῶν ἀγγέλων αὐτοῦ ἐν τῇ δόξῃ τοῦ Πατρός, οὕτω καθ' ἑκάστην προκοπὴν ἀρετῆς μεταμορφοῦται τοῖς ἀξίοις ὁ τοῦ Θεοῦ λόγος, ἐρχόμενος μετὰ τῶν ἀγγέλων αὐτοῦ ἐν τῇ δόξῃ τοῦ Πατρός. Οἱ γὰρ*

3. Α' Κορ. 3,12. 4. Ἐξ. 33,2. 5. Μάρκ. 9,39.

σμοὺς – τ' ἀστραφτερὰ νοήματα. Νὰ μὴν ἀποθέσομε οὔτε ξύλα, οὔτε χόρτα, οὔτε καὶ καλάμια[3]· τοῦτα πάλι σημαίνουν οὔτε εἰδωλολατρία, δηλαδὴ τὴν τρέλα μὲ τὰ αἰσθητά, μήτε ἀστόχαστο βίο, μήτε λογισμοὺς ἐμπαθεῖς καὶ στερημένους ἀπὸ τὴ σοφὴ σύνεση, σὰ φυτὰ δίχως στάχυα.

13 Ὅποιος ἐπιθυμεῖ τὴ γνώση στήριξε τὰ θεμέλια τῆς πίστης ἀμετακίνητα κοντὰ στὸν Κύριο, σύμφωνα μ' αὐτὰ ποὺ λέει ὁ Θεὸς στὸ Μωϋσῆ· «ἐσὺ στάσου ἐδῶ κοντά μου»[4]. Καὶ πρέπει νὰ ξέρομε ὅτι κι ἀνάμεσα σ' αὐτοὺς ποὺ στέκονται κοντὰ στὸν Κύριο ὑπάρχει διαφορά, ἂν δὲν εἶναι ἀνώφελη ἡ ἀνάγνωση τοῦ λόγου· «εἶναι μερικοὶ ἀπὸ αὐτοὺς ποὺ στέκονται ἐδῶ ποὺ δὲ θὰ δοκιμάσουν τὸ θάνατο, ὥσπου νὰ δοῦν τὴ βασιλεία τοῦ Θεοῦ νὰ ἔρχεται ἀκατανίκητη»[5]. Γιατὶ ὁ Κύριος δὲν παρουσιάζεται πάντοτε σ' ὅλους μὲ δόξα, ἀλλὰ στοὺς ἀρχάριους φτάνει μὲ μορφὴ δούλου, καὶ μόνο σ' ὅποιους μποροῦν νὰ τὸν ἀκολουθήσουν στὸ ἀνέβασμά του πάνω στὸ ψηλὸ βουνὸ τῆς μεταμόρφωσής του παρουσιάζεται μὲ μορφὴ Θεοῦ, ποὺ τὴν εἶχε πρὶν ἀπὸ τὴ δημιουργία. Εἶναι λοιπὸν δυνατὸ νὰ μὴν παρουσιάζεται μὲ τὸν ἴδιο τρόπο ὁ ἴδιος Κύριος σ' ὅλους ποὺ βρίσκονται κοντά του, ἀλλὰ σὲ ἄλλους ἔτσι καὶ σ' ἄλλους διαφορετικά, μεταβάλλοντας θέλω νὰ πῶ τὴν ἐμφάνισή του κατὰ τὸ μέτρο τῆς πίστης τοῦ καθενός.

14 Ὅταν γίνεται μέσα μας φανερὸς καὶ φωτεινὸς ὁ λόγος τοῦ Θεοῦ καὶ λάμπει σὰν τὸν ἥλιο τὸ πρόσωπό του, τότε φαίνονται λευκὰ καὶ τὰ ροῦχα του, δηλαδὴ τὰ λόγια τοῦ ἱεροῦ κειμένου τῶν Εὐαγγελίων ξεκάθαρα καὶ σαφὴ καὶ χωρὶς νὰ ἔχουν τίποτε σκεπασμένο. Ἀλλὰ μαζί του φτάνουν κι ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας, δηλαδὴ οἱ πιὸ πνευματικοὶ λόγοι τοῦ νόμου καὶ τῶν προφητῶν.

15 Ὅπως ἔρχεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, καθὼς ἔχει γραφεῖ, μαζὶ μὲ τοὺς ἀγγέλους μέσα στὴ δόξα τοῦ Πατέρα του, ἔτσι καὶ σὲ κάθε πρόοδο στὴν ἀρετὴ μεταμορφώνεται γιὰ τοὺς ἄξιους ὁ λόγος τοῦ Θεοῦ καθῶς ἔρχεται μαζὶ μὲ τοὺς ἀγγέλους του μέσα

*ἐν νόμῳ καὶ προφήταις πνευματικώτεροι λόγοι, οὓς Μωϋσῆς καὶ Ἠλίας δι' ἑαυτῶν προτυποῦσι, μετὰ τοῦ Κυρίου φαινόμενοι, κατὰ τὴν μεταμόρφωσιν τοῦ Κυρίου, τὴν ἀναλογίαν σώζουσι τῆς ἐν αὐτοῖς δόξης, τὴν τέως χωρητὴν τοῖς ἀξίοις ἀποκαλύπτοντες δύναμιν.*

16 *Ὁ τὸν περὶ μονάδος ποσῶς μυηθεὶς λόγον πάντως καὶ τοὺς περὶ προνοίας καὶ κρίσεως ἐπέγνω λόγους, συνόντας αὐτῷ. Διὸ καὶ τρεῖς γενέσθαι σκηνὰς παρ' ἑαυτῷ κατὰ τὸν ἅγιον Πέτρον, τοῖς ὁραθεῖσι καλὸν εἶναι ψηφίζεται, τουτέστι, τὰς τρεῖς ἕξεις τῆς σωτηρίας· τὴν τῆς ἀρετῆς λέγω καὶ τὴν τῆς γνώσεως καὶ τὴν τῆς θεολογίας. Ἡ μὲν γὰρ δεῖται τῆς κατὰ πρᾶξιν ἀνδρείας καὶ σωφροσύνης, ἧς ὁ μακάριος τύπος ὑπῆρχεν Ἠλίας, ἡ δὲ τῆς κατὰ φυσικὴν θεωρίαν δικαιοσύνης, ἣν ὁ μέγας ἐμήνυε δι' ἑαυτοῦ Μωϋσῆς· ἡ δὲ τῆς κατὰ τὴν φρόνησιν ἀκραιφνοῦς τελειότητος, ἣν ὁ Κύριος ἐδήλου. Σκηναὶ δὲ προσηγορεύθησαν, διὰ τὸ ἄλλας εἶναι τούτων κρείττους καὶ περιφανεστέρας, τὰς τοὺς ἀξίους κατὰ τὸ μέλλον διαδεξομένας λήξεις.*

17 *Ὁ μὲν πρακτικὸς ἐν σαρκὶ λέγεται παροικεῖν, ὡς τῆς ψυχῆς τὴν πρὸς τὴν σάρκα σχέσιν διὰ τῶν ἀρετῶν ἐκτέμνων καὶ τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος τὴν ἀπάτην, ὁ δὲ γνωστικὸς καὶ ἐν αὐτῇ τῇ ἀρετῇ λέγεται παροικεῖν, ὡς ἐν ἐσόπτροις ἔτι καὶ αἰνίγμασι θεωρῶν τὴν ἀλήθειαν. Οὔπω γὰρ αὐτῷ τὰ τῶν ἀγαθῶν αὐθυπόστατα εἴδη καθώς εἰσιν ἐθεάσθησαν, διὰ τῆς πρόσωπον πρὸς πρόσωπον ἀπολαύσεως. Ἐν εἰκόνι γὰρ τῶν ἀγαθῶν, ὡς πρὸς τὸ μέλλον, πᾶς ἅγιος διαπορεύεται, βοῶν· «πάροικός εἰμι καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου».*

18 *Τὸν εὐχόμενον οὐ δεῖ στῆναί ποτε τῆς ἐπὶ Θεὸν ἀγούσης ὑψηλῆς ἀναβάσεως. Ὡς γὰρ ἀναβάσεις χρὴ νοεῖσθαι κατὰ τὴν ἐκ δυνά-*

6. Ψαλμ. 38,13.

στὴ δόξα τοῦ Πατέρα του. Γιατὶ οἱ πνευματικότεροι λόγοι τοῦ νόμου καὶ τῶν προφητῶν, ποὺ συμβολίζουν ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας, μὲ τὴν ἐμφανισή τους μαζὶ μὲ τὸν Κύριο κατὰ τὴ μεταμόρφωση τοῦ Κυρίου διασώζουν στὸν ἑαυτό τους τὴν ἀναλογία τῆς δόξας, φανερώνοντας τὴ δύναμη γιὰ τὴν ὁποία εἶναι ἱκανοὶ οἱ ἄξιοι.

16 Ὅποιος ἔχει μυηθεῖ σ' ἕνα βαθμὸ τὸ λόγο περὶ τῆς μονάδας, ἔχει ὁπωσδήποτε καταλάβει ὅτι ὑπάρχουν σ' αὐτὸν καὶ οἱ λόγοι περὶ πρόνοιας καὶ κρίσης. Γι' αὐτὸ καὶ προτείνει ὁ ἅγιος Πέτρος νὰ σταθοῦν κοντά του τρεῖς σκηνὲς γιὰ χάρη αὐτῶν ποὺ παρουσιάστηκαν, δηλαδὴ οἱ τρεῖς συνήθειες τῆς σωτηρίας, ποὺ εἶναι ἡ ἀρετή, ἡ γνώση, καὶ ἡ θεολογία. Ἐπειδὴ ἡ μία χρειάζεται τὴν ἀνδρεία καὶ τὴ σωφροσύνη κατὰ τὴν πράξη, καὶ σύμβολό της ἦταν ὁ Ἠλίας· ἡ ἄλλη τὴ δικαιοσύνη κατὰ τὴ φυσικὴ θεωρία, ποὺ τόπος της ἔγινε ὁ μέγας Μωϋσῆς· καὶ ἡ τρίτη τὴν ἀληθινὴ τελειότητα τῆς φρόνησης ποὺ δήλωνε ὁ Κύριος. Καὶ χαρακτηρίστηκαν σκηνές, ἐπειδὴ ὑπάρχουν ἄλλες ἀνώτερες καὶ λαμπρότερες ἀπὸ αὐτές, οἱ κλῆροι ποὺ θὰ δεχτοῦν μελλοντικὰ τοὺς ἄξιους.

17 Ὅποιος ἀσκεῖ τὴν πράξη λέγεται ὅτι εἶναι πάροικος τῆς σάρκας, ἐπειδὴ κόβει μὲ τὶς ἀρετὲς τὴ σχέση τῆς ψυχῆς πρὸς τὴ σάρκα κι ἀποδιώχνει ἀπὸ τὸν ἑαυτό του τὴν ἀπάτη τῶν ὑλικῶν πραγμάτων. Ἐνῶ ὅποιος ἐπιδιώκει τὴ γνώση λέγεται ὅτι εἶναι πάροικος στὴν ἴδια τὴν ἀρετή, ἐπειδὴ θεωρεῖ ἀκόμα τὴν ἀλήθεια σὲ καθρέφτη μέσα σὲ αἰνίγματα. Γιατὶ ἀκόμα δὲν ἔγιναν ὁρατὰ ἀπὸ αὐτὸν ὅπως εἶναι πράγματι τὰ αὐτοϋπόστατα εἴδη τῶν ἀγαθῶν μὲ μιὰ ἀπόλαυση πρόσωπο πρὸς πρόσωπο. Γιατὶ κάθε ἅγιος βαδίζει τὸ δρόμο του ἔχοντας στὰ μάτια του τὴν εἰκόνα τῶν ἀγαθῶν σχετικὰ μὲ τὸ μέλλον καὶ φωνάζοντας· «εἶμαι πάροικος καὶ παρεπίδημος ὅπως ὅλοι οἱ πρόγονοί μου»[6].

18 Ὅποιος προσεύχεται δὲν πρέπει νὰ σταματήσει ποτὲ τὸ ἀνέβασμα πρὸς τὸ ὕψος ποὺ ὁδηγεῖ στὸ Θεό. Ὅπως μὲ τὰ ἀνε-

*μεως εἰς δύναμιν τὴν ἐν τῇ πρακτικῇ τῶν ἀρετῶν προκοπήν, καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν τῶν πνευματικῶν τῆς θεωρίας γνώσεων ἐπανάβασιν, καὶ τὴν ἀπὸ τοῦ ρητοῦ τῆς ἁγίας καὶ θείας Γραφῆς ἐπὶ τὸ πνεῦμα μετάβασιν· οὕτω καὶ ἐν τῷ περὶ εὐχῶν τόπῳ γινόμενον χρὴ ποιεῖν· ἐπαίρειν τὸν νοῦν ἀπὸ τῶν ἀνθρωπίνων καὶ τὸ φρόνημα τῆς ψυχῆς ἐπὶ τὰ θειότερα, ἵνα καὶ δυνηθῇ ὁ νοῦς ἀκολουθῆσαι τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ τῷ Υἱῷ τοῦ Θεοῦ, πανταχοῦ ὄντι καὶ πάντα διερχομένῳ δι' ἡμᾶς οἰκονομικῶς, ἵνα καὶ ἡμεῖς, ἀκολουθοῦντες αὐτῷ, πάντα διέλθωμεν τὰ μετ' αὐτὸν καὶ γενώμεθα πρὸς αὐτόν, ἐάν γε νοῶμεν αὐτόν, οὐ κατὰ τὴν σμικρότητα τῆς οἰκονομικῆς συγκαταβάσεως, ἀλλὰ κατὰ τὴν μεγαλειότητα τῆς φυσικῆς ἀοριστίας.*

*19* *Καλὸν ἀεὶ σχολάζειν καὶ ζητεῖν τὸν Θεόν, ὡς προσετάγημεν. Κἂν γὰρ κατὰ τὴν παροῦσαν ζωὴν ζητοῦντες ἐπὶ τὸ πέρας ἐλθεῖν τοῦ βάθους τοῦ Θεοῦ οὐ δυνάμεθα, ἀλλ' ἴσως καὶ ἐπ' ὀλίγον τοῦ βάθους αὐτοῦ φθάνοντες, θεωροῦμεν ἁγίων ἁγιώτερα καὶ πνευματικῶν πνευματικότερα. Καὶ δηλοῖ τυπικῶς ὁ ἀρχιερεὺς ἀπὸ τῶν ἁγίων τῶν τῆς αὐλῆς ἁγιωτέρων ἐπὶ τὰ ἅγια τῶν Ἁγίων, ἁγιώτερα τῶν ἁγίων εἰσιών.*

*20* *Πᾶς τοῦ Θεοῦ λόγος, οὔτε πολύλογος, οὔτε πολυλογία ἐστίν, ἀλλ' εἷς, συνεστὼς ἐκ διαφόρων θεωρημάτων, ὧν ἕκαστον μέρος ἐστὶ τοῦ λόγου. Ὥστε ὁ λέγων ὑπὲρ ἀληθείας, κἂν οὕτως εἰπεῖν δυνηθῇ ὡς μηδὲν εἰς τὸ ζητούμενον παραλιπεῖν, ἕνα λόγον εἴρηκε τοῦ Θεοῦ.*

*21* *Ἐν μὲν τῷ Χριστῷ, Θεῷ ὄντι καὶ Λόγῳ τοῦ Πατρός, ὅλον κατ' οὐσίαν οἰκεῖ τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἐν ἡμῖν δὲ κατὰ χάριν οἰκεῖ τὸ πλήρωμα τῆς θεότητος, ἡνίκα πᾶσαν ἐν ἑαυτοῖς ἀθροίσωμεν ἀρετὴν καὶ σοφίαν, μηδενὶ τρόπῳ κατὰ τὸ δυ-*

7. Ψαλμ. 8,8. 8. Β' Κορ. 3,18. 9. Ἑβρ. 4,14.
10. Β' Κορ. 5.16. 11. Ψαλμ. 45,11 . 104,4. 12. Κολ. 2,9.

βάσματα πρέπει νὰ ἐννοοῦμε τὴν προκοπὴ ἀπὸ δύναμη σὲ δύναμη κατὰ τὴν ἄσκηση τῶν ἀρετῶν[7]· τὴν ἄνοδο τῶν πνευματικῶν γνώσεων τῆς θεωρίας ἀπὸ δόξα σὲ δόξα[8], καὶ τὴ μετάβαση ἀπὸ τὸ γράμμα τῆς ἁγίας καὶ θείας Γραφῆς στὸ πνεῦμα, ἔτσι πρέπει νὰ κάνομε καὶ στὴ περίπτωση τῶν προσευχῶν· νὰ ὑψώνομε τὸ νοῦ ἀπὸ τὰ ἀνθρώπινα καὶ τὸ φρόνημα τῆς ψυχῆς πρὸς τὰ θεϊκότερα. Κι αὐτὰ γιὰ νὰ μπορέσει ὁ νοῦς ν' ἀκολουθήσει αὐτὸν ποὺ ἀνέβηκε στοὺς οὐρανούς[9], τὸν Ἰησοῦ τὸν Υἱὸ τοῦ Θεοῦ, ποὺ βρίσκεται παντοῦ καὶ ποὺ περνᾶ κατ' οἰκονομία ἀπὸ ὅλα γιὰ χάρη μας, ὥστε ἀκολουθώντας τον κι ἐμεῖς νὰ περάσομε μέσα ἀπὸ ὅλα τὰ ἔπειτ' ἀπὸ αὐτόν, νὰ πᾶμε κοντά του, ἂν βέβαια τὸν ἀντιλαμβανόμαστε, ὄχι σύμφωνα μὲ τὴν ταπείνωση τῆς κατ' οἰκονομίαν συγκατάβασής του, ἀλλὰ σύμφωνα μὲ τὸ μεγαλεῖο τῆς φυσικῆς ἀπειρίας του[10].

19 Εἶναι καλὸ νὰ εἶσαι ἀργὸς πάντοτε καὶ νὰ ζητεῖς τὸ Θεό, ὅπως ἔχομε διαταχθεῖ[11]. Κι ἂν ἀναζητώντας τον κατὰ τὴν παροῦσα ζωὴ δὲν μποροῦμε νὰ φτάσομε στὸ τέλος τοῦ βάθους τοῦ Θεοῦ, ἴσως ὅμως φτάνοντας καὶ σὲ λίγο μόνο βάθος ἀντικρύζομε θεάματα ἁγιότερα ἀπὸ τὰ ἅγια καὶ πνευματικότερα ἀπὸ τὰ πνευματικά. Καὶ τὸ δηλώνει συμβολικὰ ὁ ἀρχιερέας μπαίνοντας ἀπὸ τὰ ἅγια, ποὺ εἶναι ἁγιότερα ἀπὸ τὴν αὐλή, στὰ Ἅγια τῶν ἁγίων, ποὺ εἶναι ἁγιότερα ἀπὸ τὰ ἅγια.

20 Κάθε λόγος τοῦ Θεοῦ οὔτε πολύλογος εἶναι οὔτε πολυλογία, ἀλλὰ εἶναι ἕνας ποὺ ἀποτελεῖται ἀπὸ διάφορα θεωρήματα καὶ καθένα ἀπ' αὐτὰ εἶναι μέρος τοῦ λόγου. Ὥστε ὁποιος μιλάει γιὰ τὴν ἀλήθεια, κι ἂν ἀκόμα μπορέσει νὰ μιλήσει μὲ τρόπο ποὺ νὰ μὴν παραλείψει τίποτα σχετικὰ μὲ τὸ ζητούμενο, εἶπε ἕνα λόγο τοῦ Θεοῦ.

21 Μέσα στὸν Ἰησοῦ Χριστό, ποὺ εἶναι Θεὸς καὶ Λόγος τοῦ Πατέρα, κατοικεῖ κατὰ τὴν οὐσία σωματικὰ ὅλο τὸ πλήρωμα τῆς θεότητας[12]. Ἐνῶ σ' ἐμᾶς κατοικεῖ τὸ πλήρωμα τῆς θεότητας ἀλλὰ κατὰ χάρη, ὅταν μαζέψομε μέσα μας κάθε ἀρετὴ καὶ γνώση, ποὺ νὰ μὴν ὑστερεῖ μὲ κανένα τρόπο ὅσο εἶναι δυνατὸ

*νατὸν ἀνθρώπῳ λειπομένην τῆς πρὸς τὸ ἀρχέτυπον ἀληθοῦς ἐκμιμήσεως. Οὐ γὰρ ἀπεικὸς κατὰ τὸν θέσει λόγον, καὶ ἐν ἡμῖν οἰκῆσαι τὸ πλήρωμα τῆς θεότητος, τὸ ἐκ διαφόρων συνεστηκὸς πνευματικῶν θεωρημάτων.*

22 *Ὥσπερ ὁ παρ' ἡμῖν λόγος, ἐκ τοῦ νοῦ κατὰ φύσιν προερχόμενος, ἄγγελος τῶν κρυπτομένων τοῦ νοῦ κινημάτων ἐστίν, οὕτως ὁ τοῦ Θεοῦ Λόγος, κατ' οὐσίαν ἐγνωκὼς τὸν Πατέρα, καθάπερ Λόγος τὸν γεννήσαντα νοῦν, οὐδενὸς τῶν γεννητῶν προσβάλλειν αὐτῷ χωρὶς αὐτοῦ δυναμένου, ἀποκαλύπτει ὃν ἔγνω Πατέρα, ὡς κατὰ φύσιν Λόγος, καθὸ καὶ μεγάλης βουλῆς ἄγγελος λέγεται.*

23 *Μεγάλη βουλὴ τοῦ Θεοῦ καὶ Πατρός ἐστι τὸ σεσιγημένον καὶ ἄγνωστον τῆς οἰκονομίας μυστήριον, ὅπερ πληρώσας διὰ τῆς σαρκώσεως ὁ μονογενὴς Υἱός, ἀπεκάλυψεν, ἄγγελος γενόμενος τῆς μεγάλης τοῦ Θεοῦ καὶ Πατρὸς καὶ προαιωνίου βουλῆς. Γίνεται δὲ τῆς μεγάλης τοῦ Θεοῦ βουλῆς ἄγγελος ὁ γνοὺς τοῦ μυστηρίου τὸν λόγον, καὶ τοσοῦτον ἔργῳ τε καὶ λόγῳ διὰ πάντων ἀκαταλήκτως ὑψούμενος, μέχρις ἂν φθάσῃ τὸν πρὸς αὐτὸν τοσοῦτον κατελθόντα.*

24 *Εἰ δι' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος οἰκονομικῶς κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς καὶ ἀνῆλθεν ὑπεράνω πάντων τῶν οὐρανῶν, ὁ πάντῃ κατὰ φύσιν ἀκίνητος, ἐν ἑαυτῷ κατ' οἰκονομίαν ὡς ἀνθρώπῳ προενεργῶν τὰ ἐσόμενα, σκοπείτω χαίρων μυστικῶς ὁ τὴν φιλίαν στέργων τῆς γνώσεως, ὁποῖόν ἐστι τὸ κατ' ἐπαγγελίαν τέλος τῶν ἀγαπώντων τὸν Κύριον.*

25 *Εἰ διὰ τοῦτο γέγονεν υἱὸς ἀνθρώπου καὶ ἄνθρωπος ὁ τοῦ Θεοῦ καὶ Πατρὸς Υἱὸς Θεὸς Λόγος, ἵνα ποιήσῃ θεοὺς καὶ υἱοὺς Θεοῦ τοὺς ἀνθρώπους· ἐκεῖ γενήσεσθαι πιστεύσωμεν, ἔνθα νῦν αὐτός ἐστιν ὁ Χριστὸς ὡς κεφαλὴ τοῦ ὅλου σώματος καὶ ὑπὲρ ἡμῶν γε-*

---

13. Ἠσ. 9,6. 14. Ἐφ. 4,9-10. 15. Κολ. 1,18.

στὸν ἄνθρωπο στὴν ἀληθινὴ ἀπομίμηση τοῦ ἀληθινοῦ ἀρχέτυπου. Γιατὶ δὲν εἶναι ἀταίριαστο, κατὰ τὸ θετικὸ λόγο νὰ κατοικήσει καὶ σ' ἐμᾶς τὸ πλήρωμα τῆς θεότητας, ποὺ συνίσταται ἀπὸ διάφορα πνευματικὰ θεωρήματα.

22 Ὅπως ὁ δικός μας λόγος, ποὺ προέρχεται φυσικὰ ἀπὸ τὸ νοῦ, εἶναι ἀγγελιοφόρος τῶν κρυφῶν κινημάτων τοῦ νοῦ, ἔτσι ὁ Λόγος τοῦ Θεοῦ ποὺ ἔχει γνωρίσει τὸν Πατέρα του στὴν οὐσία (σὰν Λόγος ποὺ γνωρίζει τὸ νοῦ ποὺ τὸν γέννησε, καὶ ποὺ δίχως αὐτὸν δὲν μπορεῖ νὰ τὸν ἐννοήσει κανένα γεννητό), φανερώνει τὸν Πατέρα του ποὺ γνώρισε, ἐπειδὴ εἶναι στὴ φύση του Λόγος κι ἔτσι λέγεται καὶ μεγάλης βουλῆς ἄγγελος[13].

23 Μεγάλη βουλὴ τοῦ Θεοῦ καὶ Πατέρα εἶναι τὸ μυστικὸ καὶ ἄγνωστο μυστήριο τῆς οἰκονομίας. Τοῦτο τὸ πραγματοποίησε μὲ τὴ σάρκωσή του ὁ μονογενὴς Υἱὸς καὶ τὸ ἀποκάλυψε κι ἔγινε ἀγγελιοφόρος τῆς μεγάλης καὶ προαιώνιας βουλῆς τοῦ Θεοῦ Πατέρα. Καὶ γίνεται ἀγγελιοφόρος τῆς μεγάλης βουλῆς τοῦ Θεοῦ ὅποιος κατάλαβε τὸ νόημα τοῦ μυστηρίου κι ἀνεβαίνει τόσο ψηλὰ χωρὶς νὰ σταματᾶ, περνώντας ἀνάμεσα ἀπὸ ὅλα μὲ τὰ ἔργα καὶ τοὺς λόγους του, ὥσπου νὰ φτάσει ἐκεῖνον ποὺ τόσο πολὺ κατέβηκε πρὸς αὐτόν.

24 Γιὰ χάρη μας ὁ Λόγος τοῦ Θεοῦ κατέβηκε κατ' οἰκονομία στὰ κατώτερα μέρη τῆς γῆς κι ἀνέβηκε πάνω ἀπὸ ὅλους τοὺς οὐρανούς[14], αὐτὸς ποὺ κατὰ τὴ φύση εἶναι ὁλότελα ἀκίνητος καὶ προενεργοῦσε κατ' οἰκονομία στὸν ἑαυτό του ὡς ἄνθρωπο ὅσα ἦταν νὰ συμβοῦν. Ἀφοῦ εἶναι ἔτσι, ἂς σκεφτεῖ μὲ κρυφὴ χαρὰ ὅποιος δέχεται τὴ φιλία τῆς γνώσης ποιὸ εἶναι τὸ ὑποσχόμενο τέλος ὅσων ἀγαποῦν τὸν Κύριο.

25 Ἂν γι' αὐτὸ ἔχει γίνει υἱὸς τοῦ ἀνθρώπου καὶ ἄνθρωπος ὁ Υἱὸς Θεὸς Λόγος τοῦ Θεοῦ καὶ Πατέρα, γιὰ νὰ κάνει δηλαδὴ θεοὺς καὶ παιδιὰ τοῦ Θεοῦ τοὺς ἀνθρώπους, ἂς πιστέψομε ὅτι θὰ φτάσομε ἐκεῖ, ὅπου εἶναι τώρα ὁ ἴδιος ὁ Χριστὸς ὡς κεφαλὴ ὅλου τοῦ σώματος[15], κι ἔχει γίνει γιὰ χάρη μας πρόδρομός μας

*νόμενος πρόδρομος πρὸς τὸν Πατέρα, τὸ καθ' ἡμᾶς. Ἐν γὰρ συναγωγῇ θεῶν, τῶν σωζομένων, ἔσται Θεὸς μέσος ἱστάμενος, διανέμων τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος, τοπικὴν οὐκ ἔχων ἀπὸ τῶν ἀξίων διάστασιν.*

26 *Ὁ τὰς ἐμπαθεῖς τῆς σαρκὸς ὀρέξεις ἔτι πληρῶν, ὡς εἰδωλολάτρης καὶ εἰδωλοποιὸς τὴν γῆν οἰκεῖ τῶν Χαλδαίων. Ἐπὰν δὲ μικρὸν τὰ πράγματα διακρίνας, αἴσθησιν λάβῃ τῶν καθηκόντων τῆς φύσεως τρόπων, τὴν γῆν τῶν Χαλδαίων ἀφείς, ἔρχεται εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὴν μεταίχμιον ἀρετῆς καὶ κακίας λέγω κατάστασιν, τὴν μήπω τῆς κατ' αἴσθησιν πλάνης καθαρὰν γενομένην. Τοῦτο γὰρ ἡ Χαρράν. Εἰ δὲ καὶ τὴν δι' αἰσθήσεως γενομένην σύμμετρον τοῦ καλοῦ σύνεσιν ὑπερκύψῃ, πρὸς τὴν γῆν ἐπείξεται τὴν ἀγαθήν, τοῦτ' ἔστιν, εἰς τὴν πάσης κακίας καὶ ἀγνωσίας ἐλευθέραν κατάστασιν, ἣν ὁ ἀψευδὴς Θεὸς δείκνυσι καὶ ἐπαγγέλλεται δώσειν ὥσπερ ἔπαθλον ἀρετῆς τοῖς ἀγαπῶσιν αὐτόν.*

27 *Εἰ ἐσταυρώθη δι' ἡμᾶς ἐξ ἀσθενείας ὁ τοῦ Θεοῦ Λόγος καὶ ἠγέρθη ἐκ δυνάμεως Θεοῦ, δῆλον ὅτι πνευματικῶς δι' ἡμᾶς ἀεὶ τοῦτο καὶ ποιεῖ καὶ πάσχει, ὡς πᾶσι πάντα γινόμενος, ἵνα σώσῃ τοὺς πάντας. Οὐκοῦν καλῶς ὁ θεῖος ἀπόστολος ἐν τοῖς Κορινθίοις ἀσθενοῦσιν οὐδὲν ἔκρινεν εἰδέναι, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. Ἐφεσίοις δὲ γράφει, τελείοις οὖσι, τὸ «συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ὁ Θεὸς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ», κατὰ τὴν ἀναλογοῦσαν ἑκάστῳ δύναμιν τὸν τοῦ Θεοῦ Λόγον γίνεσθαι φάσκων. Σταυροῦται τοίνυν τοῖς ἔτι πρὸς εὐσέβειαν πρακτικῶς εἰσαγομένοις, τὰς ἐμπαθεῖς αὐτῶν τῷ θείῳ φόβῳ προσηλῶν ἐνεργείας. Ἀνίσταται δὲ καὶ ἄνεισιν εἰς οὐρανούς, τοῖς ὅλον τὸν παλαιὸν ἀπεκδυσαμένοις ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· καὶ ὅλον τὸν νέον ἐνδυσαμένοις, τὸν διὰ τοῦ*

16. Ἑβρ. 6,20. 17. Ψαλμ. 81,1. 18. Γεν. 11,28-31.
19. Β' Κορ. 13,4. 20. Α' Κορ. 2,2. 21. Ἐφ. 2,6.

πρὸς τὸν Πατέρα[16] μὲ τὴ δική μας φύση. Γιατὶ στὴ σύναξη τῶν θεῶν, δηλαδὴ ὅσων σῴζονται, θὰ εἶναι Θεὸς ποὺ στέκεται ἀνάμεσά τους[17], μοιράζοντας ὅ,τι τοὺς ἀξίζει ἀπὸ τὴν ἐκεῖ μακαριότητα, χωρὶς νὰ ἔχει καμιὰ ἀπόσταση τοπικὴ ἀπὸ τοὺς ἄξιους.

26 Ὅποιος ἱκανοποιεῖ τὶς ἐμπαθεῖς ἐπιθυμίες τῆς σάρκας, κατοικεῖ τὴ γὴ τῶν Χαλδαίων ὡς εἰδωλολάτρης καὶ εἰδωλοποιός. Ὅταν ὅμως ξεχωρίσει κάπως τὰ πράγματα καὶ καταλάβει τοὺς τρόπους ποὺ ταιριάζουν στὴ φύση του, ἐγκαταλείποντας τὴ γῆ τῶν Χαλδαίων, ἔρχεται στὴ Χαρρὰν τῆς Μεσοποταμίας[18], ἐννοῶ τὴν κατάσταση μεταίχμιο ἀνάμεσα στὴν ἀρετὴ καὶ τὴν κακία, ποὺ δὲν ἔχει ἀκόμα καθαρθεῖ ἀπὸ τὴν πλάνη τῶν αἰσθήσεων. Αὐτὸ εἶναι ἡ Χαρράν. Ἂν ξεπεράσει καὶ τὴ συμμετρικὴ κατανόηση τοῦ καλοῦ ποὺ προκαλεῖ ἡ αἴσθηση, θὰ πορευτεῖ γρήγορα πρὸς τὴν ἀγαθὴ γῆ, δηλαδὴ στὴν ἐλεύθερη ἀπὸ κάθε κακία καὶ ἄγνοια κατάσταση· τὴν κατάσταση αὐτὴ ὁ Θεὸς ποὺ δὲν ψεύδεται μᾶς τὴ δείχνει καὶ ὑπόσχεται νὰ τὴ χαρίσει, ἔπαθλο ἀρετῆς, σὲ ὅσους τὸν ἀγαποῦν.

27 Ἂν σταυρώθηκε γιὰ χάρη μας ἀπὸ ἀσθένεια ὁ Λόγος τοῦ Θεοῦ καὶ ἀναστήθηκε μὲ τὴ δύναμη τοῦ Θεοῦ[19], εἶναι φανερὸ ὅτι πάντοτε ἐνεργεῖ καὶ τὸ πάσχει αὐτὸ πνευματικὰ γιὰ χάρη μας πάντοτε· γιατὶ γίνεται τὰ πάντα γιὰ τοὺς πάντες, γιὰ νὰ σώσει τοὺς πάντες. Καλὰ λοιπὸν ὁ θεῖος ἀπόστολος στοὺς Κορινθίους θεωροῦσε ὅτι δὲν ἤξερε τίποτα ἄλλο παρὰ τὸ Χριστὸ κι αὐτὸν σταυρωμένο[20]. Ἐνῶ στοὺς Ἐφεσίους ποὺ ἦταν τέλειοι γράφει τοῦτο· «μᾶς συνανάστησε ὁ Θεὸς καὶ μᾶς ἔβαλε νὰ καθίσομε μαζὶ μὲ τὸ Χριστὸ στὰ ἐπουράνια»[21]· ἔλεγε ὅτι ὁ Λόγος τοῦ Θεοῦ γινόταν ἀνάλογος μὲ τὴ δύναμη καθενός. Σταυρώνεται λοιπὸν γιὰ χάρη ἐκείνων ποὺ ἀκόμα εἰσάγονται μὲ τὴν ἄσκηση στὴν εὐσέβεια, καρφώνοντας τὶς ἐμπαθεῖς ἐνέργειές τους μὲ τὸ θεῖο φόβο. Καὶ ἀνασταίνεται κι ἀνεβαίνει στοὺς οὐρανοὺς γι' αὐτοὺς ποὺ ἔχουν ἀποβάλει ὁλόκληρο τὸν παλαιὸ ἄνθρωπο, ποὺ φθείρεται γεμάτος ἀπὸ τὶς ἀπατηλὲς ἐπιθυμίες, κι ἔχουν φορέσει ὁλόκληρο τὸ νέο ποὺ χτίζεται πνευματικὰ κατὰ

*Πνεύματος κατ' εἰκόνα Θεοῦ κτιζόμενον, καὶ πρὸς τὸν Πατέρα τῆς ἐν αὐτοῖς χάριτος γενομένοις· «ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου, εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι». Πάντα γὰρ τὰ μετὰ Θεόν, καὶ πράγματα καὶ ὀνόματα καὶ ἀξιώματα, ὑπὸ τὸν ἐν τῷ Θεῷ διὰ τῆς χάριτος γενησόμενον ἔσται.*

28 *Ὥσπερ πρὸ τῆς ἐμφανοῦς καὶ κατὰ σάρκα παρουσίας νοητῶς ὁ τοῦ Θεοῦ Λόγος τοῖς πατριάρχαις καὶ προφήταις ἐνεδήμει, προτυπῶν τὰ μυστήρια τῆς αὐτοῦ παρουσίας, οὕτω καὶ μετὰ ταύτην τὴν ἐνδημίαν, οὐ μόνον ἐν τοῖς ἔτι νηπίοις παραγίνεται, διατρέφων πνευματικῶς καὶ ἄγων πρὸς ἡλικίαν τῆς κατὰ Θεὸν τελειότητος, ἀλλὰ καὶ ἐν τοῖς τελείοις, προδιαγράφων αὐτοῖς κρυφίως τῆς μελλούσης αὐτοῦ παρουσίας ὡς ἐν εἰκόνι τοὺς χαρακτῆρας.*

29 *Ὥσπερ οἱ τοῦ νόμου καὶ τῶν προφητῶν λόγοι, πρόδρομοι τυγχάνοντες τῆς κατὰ σάρκα τοῦ Λόγου παρουσίας, τὰς ψυχὰς εἰς Χριστὸν ἐπαιδαγώγουν, οὕτω καὶ αὐτὸς ὁ δεδοξασμένος τοῦ Θεοῦ Λόγος σαρκωθείς, πρόδρομος τῆς πνευματικῆς αὐτοῦ παρουσίας γεγένηται, παιδαγωγῶν τὰς ψυχὰς διὰ τῶν οἰκείων λόγων, πρὸς ὑποδοχὴν τῆς ἐμφανοῦς αὐτοῦ θεϊκῆς παρουσίας, ἣν ἀεὶ μὲν ποιεῖται, μεταβάλλων ἀπὸ τῆς σαρκὸς πρὸς τὸ πνεῦμα διὰ τῶν ἀρετῶν τοὺς ἀξίους, ποιήσει δὲ καὶ ἐπὶ τέλει τοῦ αἰῶνος, ἐμφανῶς ἀποκαλύπτων τὰ τέως πᾶσιν ἀπόρρητα.*

30 *Ὅσον ἐγὼ εἰμι ἀτελὴς καὶ ἀνυπότακτος, μὴ ὑπακούων τοῦ Θεοῦ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, μήτε γινόμενος κατὰ τὴν γνῶσιν τέλειος ταῖς φρεσίν, ἀτελὴς καὶ ἀνυπότακτος τὸ κατ' ἐμὲ καὶ Χριστὸς νομίζεται δι' ἐμέ· μειῶ γὰρ αὐτὸν καὶ κολοβῶ, μὴ συναυξάνων αὐτῷ κατὰ πνεῦμα, ὡς σῶμα Χριστοῦ τυγχάνων καὶ μέλη ἐκ μέρους.*

31 *«Ἀντατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος», φησὶν ἡ Γραφή. Οὐ-*

---

22. Ἐφ. 4,22-24. Κολ. 3,9-10. 23. Ἐφ. 1,21.

τὴν εἰκόνα τοῦ Θεοῦ[22], κι ἔχουν φτάσει στὸν Πατέρα τῆς χάριτος ποὺ ἔχουν λάβει «πάνω ἀπὸ κάθε Ἀρχὴ καὶ ἐξουσία καὶ Δύναμη καὶ Κυριότητα καὶ κάθε ὄνομα ποὺ ἀναφέρεται εἴτε σὲ τοῦτο τὸν αἰώνα εἴτε στὸ μελλοντικό[23]. Γιατὶ ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεὸ καὶ πράγματα καὶ ὀνόματα καὶ ἀξιώματα θὰ ρθοῦν στὴν ἐξουσία ἐκείνου ποὺ μέσω τῆς χάρης ἑνώθηκε μὲ τὸ Θεό.

28 Πρὶν ἀπὸ τὴ φανερὴ καὶ σαρκικὴ παρουσία του, ὑπῆρχε πνευματικὰ ὁ Λόγος τοῦ Θεοῦ στοὺς πατριάρχες καὶ τοὺς προφῆτες κάνοντας προτύπωση τῶν μυστηρίων τῆς παρουσίας του. Ἔτσι ἔπειτ' ἀπὸ αὐτὴ τὴν ἐνδημία του, δὲν πηγαίνει μόνο σὲ ὅσους εἶναι νήπια ἀκόμα, τρέφοντάς τους πνευματικὰ καὶ φέροντάς τους στὴν ἡλικία τῆς θείας τελειότητας, ἀλλὰ καὶ στοὺς τέλειους, προδιαγράφοντας σ' αὐτοὺς κρυφά, ὅπως σὲ εἰκόνα, τὰ σημάδια τῆς παρουσίας του.

29 Ὅπως οἱ λόγοι τοῦ νόμου καὶ τῶν προφητῶν εἶναι πρόδρομοι τῆς ἔνσαρκης παρουσίας τοῦ Λόγου καὶ παιδαγωγοῦσαν τὶς ψυχὲς στὸ Χριστό, ἔτσι κι ὁ ἴδιος ὁ Λόγος ὁ δοξασμένος ὅταν σαρκώθηκε ἔγινε πρόδρομος τῆς πνευματικῆς του παρουσίας. Παιδαγωγεῖ τὶς ψυχὲς μὲ τοὺς λόγους του, γιὰ νὰ δεχτοῦν τὴ φανερῆ θεϊκὴ παρουσία του, ποὺ τὴν κάνει πάντοτε μεταβάλλοντας μὲ τὶς ἀρετὲς τοὺς ἄξιους ἀπὸ σάρκα ποὺ εἶναι σὲ πνεῦμα καὶ θὰ τὴν πραγματοποιήσει στὸ τέλος τοῦ αἰώνα τούτου ἀποκαλύπτοντας πέρα – πέρα ὅσα ἦταν ὡς τότε ἀπόρρητα.

30 Ὅσο ἐγὼ εἶμαι ἀτελὴς καὶ ἀνυπότακτος καὶ ὅσο δὲν ὑπακούω στὸ Θεὸ μὲ τὴν ἐργασία τῶν ἐντολῶν του καὶ δὲ γίνομαι κατὰ τὴ γνώση τέλειος στὸ νοῦ, ἀτελὴς καὶ ἀνυπότακτος, ὅπως κι ἐγώ, νομίζεται καὶ ὁ Χριστὸς ἐξαιτίας μου. Τὸν μειώνω καὶ τὸν κολοβώνω, ἂν δὲν αὐξάνομαι στὰ μέτρα ἐκείνου κατὰ τὸ πνεῦμα, ἀφοῦ εἶμαι σῶμα τοῦ Χριστοῦ καὶ ἐπὶ μέρους μέλος[24].

31 Ὁ ἥλιος ἀνατέλλει καὶ ὁ ἥλιος δύει, λέει ἡ Γραφή[25]. Ἐπο-

24. Α΄ Κορ. 12,27. 25. Ἐκκλ. 1,5.

*κοῦν καὶ ὁ Λόγος, ποτὲ μὲν νομίζεται ἄνω, ποτὲ δὲ κάτω, κατὰ τὴν ἀξίαν δηλονότι, καὶ αὐτὸν τὸν λόγον ἢ τὸν τρόπον, τῶν μετερχομένων τὴν ἀρετήν καὶ περὶ τὴν θείαν κινουμένων γνῶσιν. Μακάριος δὲ ὁ κρατῶν ἄδυτον ἐν ἑαυτῷ, κατὰ τὸν τοῦ Ναυῆ Ἰησοῦν, τὸν τῆς δικαιοσύνης ἥλιον· ὅλον τὸ μέτρον τῆς κατὰ τὴν παροῦσαν ζωὴν ἡμέρας, κακίας ἑσπέρᾳ καὶ ἀγνωσίας μὴ περιγραφόμενον, ἵνα δυνηθῇ νομίμως τροπώσασθαι τοὺς ἐπανισταμένους αὐτοῦ πονηροὺς δαίμονας.*

32 *Ὑψούμενος ἐν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος διὰ πράξεως καὶ θεωρίας, πάντας ἕλκει πρὸς ἑαυτόν, τούς τε περὶ σάρκα καὶ ψυχὴν καὶ φύσιν τῶν ὄντων ἡμετέρους λογισμούς τε καὶ λόγους καὶ αὐτὰ τὰ μέλη τοῦ σώματος καὶ τὰς αἰσθήσεις κατ' ἀρετὴν καὶ γνῶσιν ἁγιάζων καὶ ὑπὸ τὸν αὐτοῦ ζυγὸν ποιούμενος. Ὁ τοίνυν θεατὴς τῶν θείων ἀναβαινέτω κατὰ σπουδήν, ἀκολουθῶν τῷ Λόγῳ, μέχρις οὗ φθάσῃ τὸν τόπον, οὗ ἐστιν. Ἐκεῖ γὰρ ἕλκει, καθώς φησιν ὁ ἐκκλησιαστής, «καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει», δηλονότι τοὺς ἀκολουθοῦντας αὐτῷ, ὡς μεγάλῳ ἀρχιερεῖ, καὶ εἰσάγοντι εἰς τὰ Ἅγια τῶν ἁγίων, ἔνθα τὸ καθ' ἡμᾶς αὐτὸς «ὑπὲρ ἡμῶν πρόδρομος εἰσῆλθεν».*

33 *Ὁ τὴν κατ' εὐσέβειαν μετιὼν φιλοσοφίαν καὶ πρὸς τὰς ἀοράτους παρατασσόμενος δυνάμεις, εὐχέσθω, τήν τε φυσικὴν διάκρισιν αὐτῷ παραμεῖναι (φῶς ἔχουσαν σύμμετρον) καὶ τὴν φωτιστικὴν τοῦ Πνεύματος χάριν. Ἡ μὲν γὰρ παιδαγωγεῖ τὴν σάρκα πρὸς ἀρετὴν διὰ πράξεως, ἡ δὲ φωταγωγεῖ τὸν νοῦν, τὴν τῆς σοφίας πάντων προκρῖναι συμβίωσιν, καθ' ἣν, «τῶν τε τῆς κακίας ὀχυρωμάτων καὶ παντὸς ὑψώματος ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, ποιεῖται τὴν καθαίρεσιν». Καὶ δηλοῖ δι' εὐχῆς αἰτῶν ὁ τοῦ Ναυῆ Ἰησοῦς, «στῆναι τὸν ἥλιον κατὰ Γαβαώ», τουτέστιν,*

---

26. Ἰησ. Ναυῆ 10,12. 27. Ἰω. 12,32. 28. Ἐκκλ. 1,5.
29. Ἑβρ. 6,20. 30. Σοφ. Σολ. 8,2. 31. Β' Κορ. 10,4.

μένως καὶ ὁ Λόγος πότε νομίζεται πὼς εἶναι ἐπάνω καὶ πότε κάτω, κατὰ τὴν ἀξία βέβαια καὶ κατὰ τὸ λόγο ἢ τὸν τρόπο ἐκείνων ποὺ ἀσκοῦν τὴν ἀρετὴ καὶ κινοῦνται γύρω ἀπὸ τὴ θεία γνώση. Καὶ εἶναι μακάριος ὅποιος κρατάει μέσα του ἀβασίλευτο, κατὰ τὸν Ἰησοῦ τοῦ Ναυῆ[26], τὸν ἥλιο τῆς δικαιοσύνης, κι ὅλη τὴ διάρκεια τῆς ἡμέρας κατὰ τὴν παροῦσα ζωὴ νὰ μὴν περιορίζεται ἀπὸ τὸ βράδυ τῆς κακίας καὶ τῆς ἀγνωσίας, γιὰ νὰ μπορέσει νὰ κατατροπώσει νόμιμα τοὺς πονηροὺς δαίμονες ποὺ σηκώνονται ἐναντίον του.

32 Ὅταν ὑψώνεται μέσα μας μὲ τὴν πράξη καὶ τὴ θεωρία ὁ Λόγος τοῦ Θεοῦ, τραβάει τοὺς πάντες πρὸς τὸν ἑαυτό του[27], καὶ τοὺς λογισμούς μας γύρω ἀπὸ τὴ σάρκα καὶ τὴν ψυχὴ καὶ τὴ φύση τῶν ὄντων καὶ τὰ ἴδια τὰ μέλη τοῦ σώματός μας καὶ τὶς αἰσθήσεις ἁγιάζοντάς τα μὲ τὴν ἀρετὴ καὶ τὴ γνώση. Ὅποιος λοιπὸν εἶναι θεατὴς τῶν θείων πραγμάτων ἂς ἀνεβαίνει σπουδαχτικὰ ἀκολουθώντας τὸ Λόγο, ὥσπου νὰ φτάσει στὸν τόπο ποὺ αὐτὸς εἶναι. Ἐκεῖ εἶναι ποὺ μᾶς ἕλκει, ὅπως λέει ὁ ἐκκλησιαστής· «καὶ ἕλκει στὸν τόπο του»[28], ἐννοεῖ ὅσους τὸν ἀκολουθοῦν ὡς μεγάλο ἀρχιερέα καὶ τοὺς εἰσάγει στὰ Ἅγια τῶν ἁγίων, ὅπου ὁ ἴδιος κατὰ τὸ ἀνθρώπινο καὶ γιὰ χάρη μας μπῆκε ὡς πρόδρομος[29].

33 Ὅποιος ἀσχολεῖται μὲ τὴν εὐσεβὴ φιλοσοφία καὶ ἀντιπαρατάσσεται στὶς ἀόρατες δυνάμεις νὰ προσεύχεται νὰ παραμείνει μέσα του καὶ ἡ φυσικὴ δύναμη γιὰ διάκριση (μὲ τὸ σύμμετρο φῶς της) καὶ ἡ φωτιστικὴ χάρη τοῦ Πνεύματος. Ἡ πρώτη παιδαγωγεῖ τὴ σάρκα μὲ τὴν πράξη καὶ τὴν ὁδηγεῖ στὴν ἀρετή· ἡ ἄλλη φωτίζει τὸ νοῦ νὰ προκρίνει ἀντὶ ὅλα τὰ ἄλλα τὴ συμβίωση μὲ τὴ σοφία[30]. Μ' αὐτὴν πραγματοποιεῖ τὸ γκρέμισμα τῶν ὀχυρωμάτων τῆς κακίας καὶ κάθε ὑψώματος ποὺ ὀρθώνεται κατὰ τῆς γνώσης τοῦ Θεοῦ[31]. Καὶ τὸ φανερώνει ὁ Ἰησοῦς τοῦ Ναυῆ μὲ τὴν προσευχή του ζητώντας «νὰ σταματήσει ὁ ἥλιος πρὸς τὸ μέρος τῆς Γαβαὼν»[32], δηλαδὴ νὰ φυλαχτεῖ γι' αὐτὸν

32. Ἰησ. Ναυῆ 10,12.

*ἄδυτον αὐτῷ τὸ φῶς τῆς γνώσεως τοῦ Θεοῦ, κατὰ τὸ ὅρος τῆς κατὰ νοῦν θεωρίας φυλαχθῆναι, καὶ τὴν σελήνην κατὰ φάραγγα, τουτέστι, τὴν φυσικὴν διάκρισιν ἐπὶ τῆς σαρκικῆς ἀσθενείας κειμένην, ἀπὸ τῆς ἀρετῆς ἀναλλοίωτον διαμεῖναι.*

34 *Ἡ Γαβαὼν ἐστιν ὁ ὑψηλὸς νοῦς, ἡ δὲ φάραγξ ἐστὶν ἡ τῷ θανάτῳ τεπεινωθεῖσα σάρξ. Καὶ ὁ μὲν ἥλιός ἐστιν ὁ φωτίζων τὸν νοῦν Λόγος, καὶ χορηγῶν αὐτῷ θεωρημάτων δύναμιν καὶ πάσης ἀγνοίας αὐτὸν ἀπαλλάσων, ἡ δὲ σελήνη ὁ κατὰ φύσιν νόμος ἐστίν, ὁ πείθων τὴν σάρκα νομίμως ὑποταγῆναι τῷ Πνεύματι, πρὸς τὸ δέξασθαι τῶν ἐντολῶν τὸν ζυγόν. Φύσεως δὲ σύμβολον ἡ σελήνη, διὰ τὸ τρεπτόν· ἀλλ' ἐν τοῖς ἁγίοις ἄτρεπτος διαμένει, διὰ τὴν ἀναλλοίωτον ἕξιν τῆς ἀρετῆς.*

35 *Οὐκ ἔξω τῶν ζητούντων χρὴ ζητεῖσθαι τὸν Κύριον, ἀλλ' ἐν ἑαυτοῖς, διὰ τῆς ἐν ἔργοις πίστεως αὐτὸν χρὴ ζητεῖν τοὺς ζητοῦντας. «Ἐγγὺς γάρ σου», φησί, «τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι τὸ ῥῆμα τῆς πίστεως», ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ καὶ ῥήματος τοῦ ζητουμένου.*

36 *Μήτε τὸ ὕψος τῆς θεϊκῆς ἀπειρίας ἐννοήσαντες, ἀπελπίσωμεν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὡς οὐ φθάνουσαν διὰ τὸ ὕψος μέχρις ἡμῶν· μήτε ἄπειρον βάθος τῆς ἡμῶν διὰ τὴν ἁμαρτίαν πτώσεως ἐνθυμηθέντες, ἀνάστασιν γίνεσθαι τῆς ἐν ἡμιν νεκρωθείσης ἀρετῆς ἀπιστήσωμεν. Ἀμφότερα γὰρ δυνατὰ τῷ Θεῷ· καὶ τὸ κατελθεῖν καὶ φωτίσαι τὸν νοῦν ἡμῶν διὰ γνώσεως, καὶ τὸ ἀναστῆναι πάλιν τὴν ἀρετὴν ἐν ἡμῖν καὶ ἑαυτῷ συνυψῶσαι διὰ τῶν ἔργων τῆς δικαιοσύνης. «Μὴ γὰρ εἴπῃς», φησίν, «ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν· ἤ, τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν». Τυχὸν δὲ κατ' ἄλλην ἐκδοχήν, ἄβυσσός ἐστι πάντα τὰ μετὰ Θεόν, ἐν οἷς ὅλος ὅλοις κατὰ πρόνοιαν ὁ τοῦ Θεοῦ γίνεται Λόγος, ὡς ζωὴ*

---

33. Ρωμ. 10,8. 34. Ρωμ. 10,6-7.

ἀνέσπερο τὸ φῶς τῆς γνώσης τοῦ Θεοῦ στὸ ὄρος τῆς νοερῆς θεωρίας «καὶ ἡ σελήνη πάνω ἀπὸ τὸ φαράγγι», δηλαδὴ ἡ φυσικὴ ἱκανότητα γιὰ διάκριση ποὺ λειτουργεῖ πάνω στὴ σαρκικὴ ἀσθένεια νὰ παραμείνει δίχως παραποίηση τῆς ἀρετῆς.

34 Ἡ Γαβαὼν εἶναι ὁ ὑψωμένος νοῦς, ἐνῶ τὸ φαράγγι εἶναι ἡ σάρκα ποὺ δέχτηκε τὴν ταπείνωση τοῦ θανάτου. Καὶ ὁ ἥλιος εἶναι ὁ Λόγος ποὺ φωτίζει τὸ νοῦ, ποὺ τοῦ παρέχει δύναμη γιὰ ὅσα θεωρεῖ καὶ τὸν ἀπαλλάσσει ἀπὸ κάθε ἄγνοια. Ἡ σελήνη εἶναι ὁ φυσικὸς νόμος ποὺ πείθει τὴ σάρκα νὰ ὑποταχτεῖ νόμιμα στὸ πνεῦμα καὶ νὰ δεχτεῖ τὸ ζυγὸ τῶν ἐντολῶν. Ἡ σελήνη μὲ τὶς μεταβολές της εἶναι σύμβολο τῆς φύσης. Μένει ὅμως ἀμετάβλητη στοὺς ἁγίους, ἐπειδὴ ἔχουν ἀποκτήσει ἀναλλοίωτη ἕξη τῆς ἀρετῆς.

35 Ὁ Κύριος δὲν πρέπει ν' ἀναζητεῖται ἔξω ἀπὸ ὅσους τὸν ζητοῦν· πρέπει ὅσοι τὸν ζητοῦν νὰ τὸν ἀναζητοῦν μέσα τους μὲ πράξεις πίστης. Γιατὶ ἡ Γραφὴ λέει «κοντά σου εἶναι ὁ λόγος, μέσα στὸ στόμα σου καὶ στὴν καρδιά σου»[33], ἐννοεῖται ὁ λόγος τῆς πίστης, γιατὶ ὁ ἴδιος ὁ Χριστὸς εἶναι καὶ ὁ ζητούμενος λόγος.

36 Καὶ βάζοντας στὸ νοῦ μας τὸ ὕψος τῆς θείας ἀπειρίας ἂς μὴν ἀπελπιστοῦμε γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, πὼς ἐξαιτίας τοῦ ὕψους δὲ φτάνει ὡς ἐμᾶς. Μήτε πάλι ἀναλογιζόμενοι τὸ βάθος τῆς πτώσης μας ἀπὸ τὶς ἁμαρτίες μας ν' ἀμφισβητήσομε ὅτι μπορεῖ νὰ γίνει ἀνάσταση τῆς ἀρετῆς ποὺ νεκρώθηκε μέσα μας. Καὶ τὰ δύο εἶναι στὴν ἐξουσία τοῦ Θεοῦ· τόσο τὸ νὰ κατεβεῖ καὶ μὲ τὴ γνώση νὰ φωτίσει τὸ νοῦ μας, ὅσο καὶ τὸ ν' ἀναστήσει πάλι τὴν ἀρετὴ μέσα μας καὶ νὰ μᾶς συνανυψώσει μαζί του μὲ τὰ ἔργα τῆς δικαιοσύνης. Γιατὶ μᾶς λέει· «μὴν πεῖς μὲ τὸ νοῦ σου, ποιὸς θ' ἀνεβεῖ στὸν οὐρανό;», δηλαδὴ νὰ κατεβάσει τὸ Χριστό, ἢ «ποιὸς θὰ κατεβεῖ στὴν ἄβυσσο;»[34], δηλαδὴ ν' ἀναστήσει τὸ Χριστὸ ἀπὸ τοὺς νεκρούς. Κατὰ μιὰ ἄλλη ἑρμηνεία ἄβυσσος εἶναι ἴσως ὅλα τὰ ἔπειτ' ἀπὸ τὸ Θεό, ποὺ μέσα σ' αὐτὰ ὅλα κινεῖται προνοητικὰ ὁ λόγος τοῦ Θεοῦ ἐρχόμενος ὡς ζωὴ

*νεκροῖς ἐπιφοιτῶσα τοῖς οὖσι. Νεκρὰ γὰρ πάντα τὰ ζῶντα μεθέξει ζωῆς. Οὐρανὸν δέ, τὴν φυσικὴν τοῦ Θεοῦ κρυφιότητα, καθ' ἣν πᾶσίν ἐστιν ἀκατάληπτος. Εἰ δέ τις ἐκλάβοι πάλιν, οὐρανὸν μὲν εἶναι τὸν τῆς θεολογίας λόγον, ἄβυσσον δὲ τὸ τῆς οἰκονομίας μυστήριον, οὐκ ἀπεικότως ἐρεῖ κατὰ τὸν ἐμὸν λόγον. Ἀμφότερα γὰρ δυσεπίβατα τοῖς ἀποδεικτικῶς ζητεῖν ἐπιχειροῦσι· μᾶλλον δὲ παντελῶς ἄβατα, δίχα πίστεως ἐρευνώμενα.*

*37* *Ἐν μὲν πρακτικῷ, τοῖς τῶν ἀρετῶν τρόποις παχυνόμενος ὁ λόγος, γίνεται σάρξ, ἐν δὲ τῷ θεωρητικῷ, τοῖς πνευματικοῖς νοήμασι λεπτυνόμενος, γίνεται ὥσπερ ἦν ἐν ἀρχῇ, Θεὸς Λόγος.*

*38* *Ποιεῖ σάρκα τὸν λόγον ὁ παραδείγμασι καὶ ῥήμασι παχυτέροις, διὰ τὴν ἀνάλογον τῶν ἀκουόντων δύναμιν, ἠθικὴν τοῦ λόγου τὴν διδασκαλίαν ποιούμενος· καὶ πάλιν ποιεῖ πνεῦμα τὸν λόγον ὁ τοῖς ὑψηλοῖς θεωρήμασι τὴν μυστικὴν ἐκτιθέμενος θεολογίαν.*

*39* *Ὁ μὲν ἐκ τῶν θέσεων καταφατικῶς θεολογῶν, σάρκα ποιεῖ τὸν λόγον, οὐκ ἔχων ἄλλοθεν, ἢ ἐκ τῶν ὁρωμένων καὶ ψηλαφωμένων τὸν Θεὸν γινώσκειν ὡς αἴτιον, ὁ δὲ ἀποφατικῶς ἐκ τῶν ἀφαιρέσεων θεολογῶν, πνεῦμα ποιεῖ τὸν λόγον, ὡς ἐν ἀρχῇ Θεὸν ὄντα, καὶ πρὸς Θεὸν ὄντα, ἐξ οὐδενὸς τὸ παράπαν τῶν γνωσθῆναι δυναμένων, καλῶς γινώσκων τὸν ὑπεράγνωστον.*

*40* *Ὁ μαθὼν ὀρρύσσειν κατὰ τοὺς πατριάρχας διὰ πράξεως καὶ θεωρίας τὰ ἐν αὐτῷ τῆς ἀρετῆς καὶ τῆς γνώσεως φρέατα, τὸν Χριστὸν ἔνδον εὑρήσει τὴν πηγὴν τῆς ζωῆς, ἀφ' ἧς πίνειν ἡμᾶς ἡ σοφία παρακελεύεται, λέγουσα· «πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων καὶ ἀπὸ σῶν φρεάτων πηγῆς», ὅπερ ποιοῦντες, εὑρήσομεν ἔνδον ἡμῶν ὄντας τοὺς αὐτῆς θησαυρούς.*

*41* *Οἱ κτηνωδῶς πρὸς μόνην τὴν αἴσθησιν ζῶντες, ἐπισφαλῶς*

35. Παροιμ. 5,15.

σὲ ὅσους εἶναι νεκροί. Γιατὶ εἶναι νεκρὰ ὅλα ὅσα ζοῦν ὅταν μετέχουν τὴ ζωή. Οὐρανὸς πάλι εἶναι ἡ φυσικὴ κρυφιότητα τοῦ Θεοῦ, ποὺ ἐξαιτίας της εἶναι ἀκατάληπτος σὲ ὅλους. Ἂν ὅμως θεωρήσει πάλι κανένας ὅτι οὐρανὸς εἶναι ὁ λόγος τῆς θεολογίας καὶ ἄβυσσος τὸ μυστήριο τῆς θείας οἰκονομίας δὲ θὰ μιλήσει ἀβάσιμα κατὰ τὴν κρίση μου. Γιατὶ καὶ τὰ δύο εἶναι δύσκολα νὰ τὰ συλλάβουν ὅποιοι ἐπιδιώκουν ἀπόδειξη μὲ τὴ λογική· ἢ μᾶλλον εἶναι ὁλότελα ἀπλησίαστα, ὅταν ἐξετάζονται δίχως τὴν πίστη.

37 Σ' αὐτὸν ποὺ ἐπιδίδεται στὴν πράξη ὁ λόγος ὑλοποιεῖται μὲ τοὺς τρόπους τῶν ἀρετῶν καὶ γίνεται σάρκα. Σ' ὅποιον ἀσχολεῖται μὲ τὴ θεωρία, ὁ λόγος λεπτύνεται μὲ τὰ πνευματικὰ νοήματα καὶ γίνεται ὅπως ἦταν στὴν ἀρχή, Θεὸς Λόγος.

38 Κάνει σάρκα τὸ λόγο ὅποιος μὲ παραδείγματα καὶ μὲ λόγους παχύτερους, ὥστε ν' ἀναλογοῦν στὴ δύναμη ὅσων ἀκοῦνε, κάνει ἠθικὴ πράξη τὴ διδασκαλία. Καὶ πάλι κάνει τὸ λόγο πνεῦμα ὅποιος μὲ ὑψηλὰ θεωρήματα παρουσιάζει τὴ μυστικὴ θεολογία.

39 Ὅποιος θεολογεῖ μὲ καταφατικὲς διατυπώσεις κάνει τὸ λόγο σάρκα μὴ μπορώντας ἀπὸ πουθενὰ ἀλλοῦ παρὰ μόνο ἀπὸ ὅσα βλέπομε καὶ ψηλαφοῦμε νὰ ἐννοεῖ τὸ Θεὸ ὡς αἴτιο. Ἐνῶ, ὅποιος θεολογεῖ μὲ ἀποφατικὸ τρόπο καὶ ἀφαιρέσεις κάνει τὸ λόγο πνεῦμα ὡς Θεὸ ποὺ ὑπάρχει ἀπὸ τὴν ἀρχὴ καὶ εἶναι κοντὰ στὸ Θεό· ἔτσι γνωρίζει καλὰ τὸν ὑπεράγνωστο, ἀλλὰ ἀπὸ κανένα ὁλότελα ἀπὸ ὅσα εἶναι δυνατὸ νὰ γνωστοῦν.

40 Αὐτὸς ποὺ ἔμαθε νὰ σκάβει μέσα του μὲ τὸν τρόπο τῶν πατριαρχῶν μὲ τὴν πράξη καὶ τὴ θεωρία τὰ πηγάδια τῆς ἀρετῆς καὶ τῆς γνώσης, θὰ βρεῖ μέσα σ' αὐτὰ τὸ Χριστό, τὴν πηγὴ τῆς ζωῆς. Ἀπὸ αὐτὴν μᾶς προτρέπει ἡ σοφία νὰ πίνομε λέγοντας· «πίνε νερὸ ἀπὸ τὶς στάμνες σου, ἀπὸ τὶς πηγὲς τῶν πηγαδιῶν σου»[35]. Ὅταν τὸ κάνομε αὐτὸ θὰ βροῦμε νὰ ὑπάρχουν μέσα μας οἱ θησαυροί της.

41 Ὅποιοι ζοῦνε μόνο μὲ τὶς αἰσθήσεις τους σὰν τὰ ζῶα κά-

*ἑαυτοῖς σάρκα ποιοῦσι τὸν λόγον, εἰς ὑπηρεσίαν μὲν παθῶν, τοῖς τοῦ Θεοῦ καταχρώμενοι κτίσμασι, τὸν δὲ τῆς σοφίας τῆς πᾶσιν ἐμφαινομένης, οὐ κατανοοῦντες λόγον, πρὸς τὸ γνῶναι καὶ δοξάσαι τὸν Θεὸν ἐκ τῶν αὐτοῦ ποιημάτων· καὶ συνιέναι πόθεν καὶ τί καὶ ἐπὶ τίνι καὶ ποῦ φέρεσθαι διὰ τῶν ὁρωμένων γεγόναμεν· ἀλλ' ἐν σκότει τὸν αἰῶνα τοῦτον διαπορευόμενοι, μόνην τὴν περὶ Θεὸν ἀμφοῖν ταῖν χεροῖν ψηλαφῶσιν ἀγνωσίαν.*

42 *Οἱ μόνῳ τῷ ῥητῷ τῆς ἁγίας Γραφῆς παρακαθήμενοι καὶ τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ δεσμοῦντες τῆς ψυχῆς τὸ ἀξίωμα, ψεκτῶς ποιοῦσιν ἑαυτοῖς σάρκα τὸν λόγον, ἀλόγων ζώων θυσίαις εὐαρεστεῖσθαι νομίζοντες τὸν Θεόν, οἷς πολὺ τὸ σῶμα πεφρόντισται, τοῖς ἐκτὸς καθαρσίοις· τῆς δὲ ψυχῆς παρημέληται τὸ κάλλος ταῖς τῶν παθῶν κηλίσι στιζόμενον, ὑπὲρ ἧς ἡ πᾶσα τῶν ὁρωμένων προβέβληται δύναμις καὶ πᾶς λόγος θεῖος καὶ νόμος ἐκδέδοται.*

43 *Εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν κεῖσθαι τὸν Κύριον λέγει τὸ ἅγιον Εὐαγγέλιον. Οὐκοῦν σκοπήσωμεν, μήπως εἰς πτῶσιν μὲν τῶν τε πρὸς μόνην τὴν αἴσθησιν τὴν ὁρωμένην θεωρούντων κτίσιν καὶ τῶν μόνῳ τῷ ῥητῷ στοιχούντων τῆς ἁγίας Γραφῆς, ὡς μὴ δυναμένων πρὸς τὸ καινὸν πνεῦμα διαβῆναι τῆς χάριτος διὰ τὴν ἄνοιαν· ἀνάστασιν δὲ τῶν πνευματικῶς τά τε κτίσματα τοῦ Θεοῦ καὶ τὰ ῥήματα θεωρούντων τε καὶ ἀκουόντων καὶ τοῖς καθήκουσι τρόποις μόνης τῆς κατὰ ψυχὴν θείας εἰκόνος ἐπιμελουμένων.*

44 *Τό, κεῖσθαι τὸν Κύριον εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασιν ἐν τῷ Ἰσραήλ, ἐπαινετῶς μόνον νοούμενον, εἰς πτῶσιν μὲν νοεῖται τῶν ἐν ἑκάστῳ τῶν πιστευόντων τῶν παθῶν τε καὶ πονηρῶν λογισμῶν, ἀνάστασιν δέ, τῶν ἀρετῶν καὶ παντὸς θεοφιλοῦς λογισμοῦ.*

45 *Ὁ μόνον τῶν ἐν γενέσει καὶ φθορᾷ δημιουργὸν νομίζων τὸν*

36. Λουκᾶ 2,34.

νουν σάρκα τὸ λόγο ἐπικίνδυνα γιὰ τὸν ἑαυτό τους. Ὑπηρετοῦν ἔτσι τὰ πάθη τους κάνοντας κατάχρηση στὰ κτίσματα τοῦ Θεοῦ, χωρὶς νὰ κατανοοῦν τὸ λόγο τῆς σοφίας ποὺ φανερώνεται σ' ὅλα τὰ ὄντα, γιὰ νὰ γνωρίσομε καὶ νὰ δοξάσομε τὸ Χριστὸ ἀπὸ τὰ δημιουργήματά του κι ἀκόμα νὰ καταλάβομε διὰ μέσου ὅσων βλέπομε ἀπὸ ποῦ ἐρχόμαστε, τί εἶμαστε, γιὰ ποιό σκοπὸ πλαστήκαμε, καὶ γιὰ νὰ καταλήξουμε ποῦ; Ἀλλὰ περπατῶντας τὴ ζωὴ αὐτὴ μέσα στὸ σκοτάδι μόνο τὴν ἀγνωσία τοῦ Θεοῦ ψηλαφοῦν μὲ τὰ δυό τους χέρια.

42 Ὅποιοι ἐπιμένουν μόνο στὸ γράμμα τῆς ἁγίας Γραφῆς καὶ δεσμεύουν τὴν ἀξία τῆς ψυχῆς στὴ σωματικὴ λατρεία τοῦ νόμου κάνουν ἀξιόμεμπτα γιὰ τὸν ἑαυτό τους τὸ λόγο σάρκα. Νομίζουν ὅτι ὁ Θεὸς εὐχαριστεῖται μὲ θυσίες ἄλογων ζώων, μὲ τὶς ὁποῖες πολὺ φροντίσαμε τὸ σῶμα μ' ἐξωτερικοὺς καθαρμοὺς καὶ παραμελήσαμε τὸ κάλλος τῆς ψυχῆς κηλιδωμένο ἀπὸ τὰ στίγματα τῶν παθῶν. Ἐνῶ γιὰ τὴν ψυχὴ δημιουργήθηκε ὅλο τὸ μεγαλεῖο τοῦ ὁρατοῦ κόσμου καὶ διατυπῶθηκε κάθε λόγος θεῖος καὶ νόμος.

43 Τὸ ἅγιο Εὐαγγέλιο λέει ὅτι ὁ Κύριος ἦρθε γιὰ νὰ πέσουν ἢ νὰ σηκωθοῦν πολλοί[36]. Ἂς προσέξομε λοιπὸν μήπως εἶναι γιὰ νὰ πέφτουν ὅσοι βλέπουν τὴν ὁρατὴ κτίση μὲ τὴν αἴσθηση μόνο καὶ προσηλῶνονται στὸ γράμμα μόνο τῆς ἁγίας Γραφῆς, ἐπειδὴ δὲν μποροῦν ἀπὸ ἀνοησία νὰ περάσουν στὸ νέο πνεῦμα τῆς χάρης. Καὶ δεύτερο μήπως εἶναι γιὰ νὰ σηκώνονται ὅσοι ἀντιμετωπίζουν καὶ βλέπουν τὰ δημιουργήματα καὶ τοὺς λόγους τοῦ Θεοῦ κι ἀφιερώνουν τὴν πρέπουσα ἐπιμέλεια γιὰ τὴ θεία εἰκόνα τῆς ψυχῆς.

44 Τὸ ὅτι ἦρθε ὁ Κύριος γιὰ τὴν πτώση καὶ τὴν ἀνάσταση πολλῶν μέσα στοὺς Ἰσραηλίτες, σὲ μιὰ καλὴ ἐκδοχή, τὸ ἐκλαμβάνομε γιὰ τὴν πτώση τῶν παθῶν καὶ τῶν πονηρῶν λογισμῶν σὲ καθέναν ἀπὸ τοὺς πιστοὺς καὶ γιὰ τὴν ἀνάσταση τῶν ἀρετῶν καὶ κάθε εὐσεβοῦς λογισμοῦ.

45 Ὅποιος νομίζει ὅτι ὁ Κύριος εἶναι δημιουργὸς μόνο τῶν

*Κύριον, εἰς κηπουρὸν αὐτὸν παραγνωρίζει, κατὰ τὴν Μαγδαληνὴν Μαρίαν. Διὸ πρὸς ὠφέλειαν φεύγει τοῦ τοιούτου τὴν ἀφὴν ὁ Δεσπότης, μήπω παρ' αὐτῷ δυνηθεὶς ἀναβῆναι πρὸς τὸν Πατέρα, λέγων· «μή μου ἅπτου». Γινώσκει γὰρ βλάπτεσθαι τὸν μετὰ τοιαύτης αὐτῷ προσερχόμενον ταπεινοτέρας προλήψεως.*

46 *Οἱ διὰ τὸν φόβον τῶν Ἰουδαίων κατὰ τὴν Γαλιλαίαν ἐν τῷ ὑπερῴῳ κλείσαντες τὰς θύρας καθήμενοι, τουτέστι, οἱ διὰ τὸν φόβον τῶν πνευμάτων τῆς πονηρίας, κατὰ τὴν χώραν τῶν ἀποκαλύψεων, ἐν τῷ ὕψει τῶν θείων θεωρημάτων ἀσφαλῶς βεβηκότες, θυρῶν δίκην μύσαντες τὰς αἰσθήσεις, παραγινόμενον ἀγνώστως δέχονται τὸν τοῦ Θεοῦ Λόγον, ἄνευ τῆς κατ' αἴσθησιν ἐνεργείας αὐτοῖς ἐπιφαινόμενον, ἀπάθειάν τε διὰ τῆς εἰρήνης καὶ μερισμοὺς Πνεύματος ἁγίου διὰ τῆς ἐμπνεύσεως δωρούμενον καὶ τὴν κατὰ πνευμάτων πονηρῶν ἐξουσίαν παρέχοντα καὶ δεικνύοντα τῶν αὐτοῦ μυστηρίων τὰ σύμβολα.*

47 *Τοῖς μὲν κατὰ σάρκα τὸν περὶ τοῦ Θεοῦ λόγον ἐρευνῶσιν, ὁ Κύριος οὐκ ἀναβαίνει πρὸς τὸν Πατέρα· τοῖς δὲ κατὰ πνεῦμα διὰ τῶν ὑψηλῶν θεωρημάτων ἐκζητοῦσιν αὐτόν, ἀναβαίνει πρὸς τὸν Πατέρα. Μὴ τοίνυν διὰ παντὸς κρατῶμεν κάτω, τὸν ὑπὲρ ἡμῶν κάτω διὰ φιλανθρωπίαν γενόμενον, ἀλλ' ἄνω πρὸς τὸν Πατέρα σὺν αὐτῷ γενώμεθα, τὴν γῆν ἀφέντες καὶ τὰ περὶ τὴν γῆν, ἵνα μὴ καὶ ἡμῖν εἴπῃ τὸ ῥηθὲν τοῖς Ἰουδαίοις ἀδιορθώτοις μείνασιν, «ὑπάγω ὅπου ὑμεῖς οὐ δύνασθε ἐλθεῖν». Χωρὶς γὰρ τοῦ Λόγου, πρὸς τὸν Πατέρα τοῦ Λόγου γενέσθαι, ἀμήχανον.*

48 *Ἡ γῆ τῶν Χαλδαίων ἐστὶν ὁ ἐμπαθὴς βίος, ἐν ᾧ τῶν ἁμαρτημάτων δημιουργεῖται καὶ προσκυνεῖται τὰ εἴδωλα, ἡ δὲ Μέση τῶν ποταμῶν ἐστιν ὁ ἐπαμφοτερίζων τοῖς ἐναντίοις τρόπος. Ἡ δὲ γῆ τῆς ἐπαγγελίας ἐστὶν ἡ παντὸς ἀγαθοῦ πεπληρωμένη κατάστασις. Πᾶς οὖν ὁ ταύτης κατὰ τὸν παλαιὸν Ἰσραὴλ ἀμελῶν τῆς ἕξεως,*

---

37. Ἰω. 20,17. 38. Ἰω. 20,19. 39. Ἰω. 8,21.

πραγμάτων ποὺ γίνονται καὶ φθείρονται, τὸν παραγνωρίζει καὶ τὸν θεωρεῖ κηπουρό, ὅπως ἡ Μαρία ἡ Μαγδαληνή. Καὶ γιὰ νὰ τὸν ὠφελήσει ὁ Κύριος ἀποφεύγει τὸ ἄγγισμα τοῦ ἀνθρώπου αὐτοῦ, ἐπειδὴ εἶχε τὴ γνώμη ὅτι δὲν εἶχε μπορέσει ν' ἀνεβεῖ πρὸς τὸν Πατέρα του καὶ γι' αὐτὸ τοῦ λέει, «μὴ μ' ἀγγίζεις»[37]. Γιατὶ γνωρίζει ὅτι θὰ βλαφτεῖ ὅποιος τὸν πλησίαζε ἔχοντας γι' αὐτὸν τέτοια χαμηλὴ ἰδέα.

46 Ὅποιοι στὴ Γαλιλαία ἀπὸ φόβο τῶν Ἰουδαίων ἔμειναν στὸ ὑπερῶο μὲ κλειστὲς πόρτες[38], δηλαδὴ ὅποιοι ἔμειναν ἀπὸ φόβο τῶν πονηρῶν πνευμάτων στὴ χῶρα τῶν ἀποκαλύψεων στερεωμένοι γιὰ ἀσφάλεια στὸ ὕψος τῶν θείων θεωρημάτων, ἀφοῦ ἔκλεισαν τὶς αἰσθήσεις σὰ νὰ ἦταν πόρτες, δέχονται τὸ Λόγο τοῦ Θεοῦ ποὺ φτάνει μὲ τρόπο ἀκατανόητο. Ἀκατανόητο, ἀφοῦ ἐμφανίζεται σ' αὐτοὺς χωρὶς τὴ λειτουργία τῆς αἴσθησης, ἀφοῦ τοὺς δωρίζει τὴν ἀπάθεια μέσω τῆς εἰρήνης καὶ τοὺς μερισμοὺς τοῦ ἁγίου Πνεύματος μὲ τὴν ἐμπνοή, κι ἀφοῦ παρέχει τὴν ἐξουσία κατὰ τῶν πονηρῶν πνευμάτων καὶ φανερώνει τὰ σύμβολα τῶν μυστηρίων.

47 Γιὰ ὅποιους ἐρευνοῦν κατὰ σάρκα τὸ λόγο περὶ τοῦ Θεοῦ, ὁ Κύριος δὲν ἀνεβαίνει πρὸς τὸν Πατέρα του. Ἀνεβαίνει πρὸς τὸν Πατέρα ὅμως γιὰ ὅποιους τὸν ἀναζητοῦν πνευματικὰ μὲ ὑψηλὰ θεωρήματα. Ἂς μὴν κρατοῦμε λοιπὸν γιὰ πάντα κάτω αὐτὸν ποὺ ἦρθε κάτω γιὰ χάρη μας ἀπὸ φιλανθρωπία. Ἀλλὰ ἂς πάμε ἐπάνω μαζί του στὸν Πατέρα, ἀφήνοντας τὴ γῆ καὶ τὰ γήινα, γιὰ νὰ μὴν πεῖ καὶ σ' ἐμᾶς τὸ λόγο ποὺ εἶπε στοὺς ἀδιόρθωτους Ἰουδαίους, «πηγαίνω ὅπου ἐσεῖς δὲν μπορεῖτε νὰ ρθεῖτε»[39]. Γιατὶ εἶναι ἀδύνατο νὰ πᾶς στὸν Πατέρα τοῦ Λόγου χωρὶς τὸ Λόγο.

48 Ἡ γῆ τῶν Χαλδαίων εἶναι ὁ γεμάτος πάθη βίος, ὅπου δημιουργοῦνται καὶ προσκυνοῦνται τὰ εἴδωλα τῆς ἁμαρτίας. Ἡ Μέση τοῦ ποταμοῦ εἶναι ὁ τρόπος ποὺ ἐπαμφοτερίζει στ' ἀντίθετα. Ἡ γῆ τῆς ἐπαγγελίας εἶναι ἡ κατάσταση ποὺ ἔχει πληρότητα κάθε ἀγαθοῦ. Ὅποιος λοιπὸν ἀμελεῖ αὐτὴ τὴν ἕξη, ὅπως ὁ

*πρὸς δουλείαν πάλιν κατασύρεται παθῶν, τῆς δοθείσης ἐλευθερίας στερούμενος.*

49 *Σημειωτέον, ὡς οὐδεὶς τῶν ἁγίων ἑκουσίως φαίνεται κατελθὼν εἰς τὴν Βαβυλωνίαν. Οὐ γὰρ θέμις, οὔτε συνέσεώς ἐστι λογικῆς, τῶν ἀγαθῶν ἀνθαιρεῖσθαι τὰ χείρονα, τοὺς τὸν Θεὸν ἀγαπῶντας. Εἰ δέ τινες αὐτῶν κατὰ βίαν ἐκεῖ τῷ λαῷ συναπήχθησαν, νοοῦμεν διὰ τούτων τοὺς μὴ προηγουμένως, ἀλλὰ κατὰ περίστασιν, σωτηρίας ἕνεκεν τῶν χρῃζόντων χειραγωγίας, ἀφέντας τὸν ὑψηλότερον τῆς γνώσεως λόγον, καὶ τὴν περὶ παθῶν μετερχομένους διδασκαλίαν, καθ' ἣν καὶ ὁ μέγας ἀπόστολος ἐν σαρκὶ λυσιτελέστερον ἔκρινεν εἶναι, τουτέστι, τῇ ἠθικῇ διδασκαλίᾳ, διὰ τοὺς μαθητάς, ὅλον ἔχων τὸν πόθον ἀναλῦσαι τῆς ἠθικῆς διδασκαλίας καὶ σὺν Χριστῷ γενέσθαι, διὰ τῆς κατὰ νοῦν ὑπερκοσμίου καὶ ἁπλῆς θεωρίας.*

50 *Ὥσπερ πνιγόμενον τῷ πονηρῷ πνεύματι τὸν Σαούλ, ψάλλων μετὰ τῆς κιννύρας ἀνέπαυεν ὁ μακάριος Δαβίδ, οὕτω καὶ πᾶς λόγος πνευματικός, γνωστικοῖς ἡδυνόμενος θεωρήμασιν, ἀναπαύει τὸν ἐπιληπτευόμενον νοῦν, τῆς πνιγούσης αὐτὸν πονηρᾶς ἐλευθερῶν συνειδήσεως.*

51 *Πυρράκης μετὰ κάλλους ὀφθαλμῶν ἐστι κατὰ τὸν μέγαν Δαβίδ, ὁ τῷ φαιδρῷ τοῦ κατὰ Θεὸν βίου, τὸν τῆς γνώσεως λόγον ἔχων συνεπιλάμποντα, καθ' οὓς ἡ πρᾶξίς τε καὶ ἡ θεωρία συνεστήκασιν· ἡ μὲν ἀρετῶν λαμπρυνομένη τρόποις, ἡ δὲ θείοις φωτιζομένη νοήμασιν.*

52 *Ἡ μὲν τοῦ Σαοὺλ βασιλεία τῆς σωματικῆς τοῦ νόμου λατρείας ἐστὶν εἰκών, ἣν ὁ Κύριος κατήργησεν, ὡς μηδὲν τελειώσασαν, «οὐδὲν» γάρ, φησιν, «ἐτελείωσεν ὁ νόμος», ἡ δὲ τοῦ μεγάλου Δαβὶδ βασιλεία τῆς εὐαγγελικῆς ἐστι λατρείας προδιατύπωσις· πάντα γὰρ τὰ ἐν καρδίᾳ τοῦ Θεοῦ θελήματα τελείως περιέχει.*

40. Φιλιπ. 1,23. 41. Α' Βασ. 16,23. 42. Α' Βασ. 16,12.

παλαιὸς Ἰσραήλ, σέρνεται πάλι στὴ δουλεία τῶν παθῶν καὶ στερεῖται τὴν ἐλευθερία ποὺ εἶχε δοθεῖ.

49 Πρέπει νὰ σημειώσομε ὅτι κανένας ἅγιος δὲ φαίνεται νὰ κατέβηκε μὲ θέλημά του στὴ Βαβυλωνία. Δὲν εἶναι θεμιτό, οὔτε μαρτυρεῖ λογικὴ σκέψη νὰ προτιμοῦν ὅσοι ἀγαποῦν τὸ Θεὸ τὰ χειρότερα ἀπὸ τὰ ἀγαθά. Κι ἂν μερικοὶ ἀπὸ αὐτοὺς ἀπάγονται ἐκεῖ βίαια μαζὶ μὲ τὸ λαό, μ᾽ αὐτοὺς ἐννοοῦμε ἐκείνους ποὺ ὄχι ἀπὸ σταθερὴ σκέψη ἀλλὰ περιστασιακὰ γιὰ χάρη τῆς σωτηρίας ἐκείνων ποὺ χρειάζονται χειραγωγία ἄφησαν τὸν ὑψηλὸ τῆς γνώσης λόγο καὶ ἀσκοῦν τὴ διδασκαλία γιὰ τὰ πάθη. Σύμφωνα μ᾽ αὐτὴν ἔκρινε καὶ ὁ μέγας Ἀπόστολος ὅτι εἶναι ὠφελιμότερο νὰ περιοριστεῖ μέσα στὴ σάρκα, δηλαδὴ νὰ κάνει ἠθικὴ διδασκαλία, ἐξαιτίας τῶν μαθητῶν, ἔχοντας ὅλη τὴν ἐπιθυμία νὰ ἀναχωρήσει ἀπὸ τὴν ἠθικὴ διδασκαλία καὶ νὰ πάει μὲ τὸ Χριστὸ μὲ τὴ νοερὴ ὑπερκόσμια καὶ ἁπλὴ θεωρία[40].

50 Ὁ μακάριος Δαβὶδ τραγουδώντας μὲ τὴν κιθάρα του ἀνακούφιζε τὸ Σαοὺλ[41] ποὺ σὰ νὰ τὸν ἔπνιγε τὸ πονηρὸ πνεῦμα. Ἔτσι καὶ κάθε πνευματικὸς λόγος, ὅταν τὸν στολίζουν γνωστικὰ θεωρήματα ξεκουράζει τὸ νοῦ ἀπὸ τὴν ἐπιληψία ποὺ πάσχει, ἐλευθερώνοντάς τον ἀπὸ τὴν πονηρὴ συνείδηση ποὺ τὸν πνίγει.

51 Ξανθὸς μὲ ὡραῖα μάτια εἶναι κατὰ τὸ μεγάλο Δαβὶδ[42] ὅποιος ἔχει τὸ λόγο τῆς γνώσης νὰ λάμπει πάνω στὴ φαιδρότητα τοῦ κατὰ Θεὸν βίου· σ᾽ αὐτοὺς ἀντιστοιχοῦν ἡ θεωρία καὶ ἡ πράξη. Ἡ μιὰ στολίζεται μὲ τὶς διάφορες ἀρετές, ἡ ἄλλη φωτίζεται μὲ θεϊκὰ νοήματα.

52 Ἡ βασιλεία τοῦ Σαοὺλ εἶναι εἰκόνα τῆς σωματικῆς λατρείας τοῦ νόμου· ὁ Κύριος τὴν κατάργησε, γιατὶ δὲν ὁλοκλήρωσε τίποτε· «τίποτε δὲν ὁλοκλήρωσε ὁ νόμος»[43], λέει. Ἐνῶ ἡ βασιλεία τοῦ μεγάλου Δαβὶδ εἶναι προδιατύπωση τῆς εὐαγγελικῆς λατρείας. Γιατὶ περιέχει στὸ σύνολό τους ὅλα τὰ θελήματα τῆς καρδιᾶς τοῦ Θεοῦ[44].

---

43. Ἑβρ. 7,19. 44. Α΄ Βασ. 16,1 . Πράξ. 13,22.

53 *Ὁ Σαοὺλ ὁ φυσικός ἐστι νόμος, ὁ κατ' ἀρχὰς κυριεύειν τῆς φύσεως παρὰ τοῦ Κυρίου λαχών, ὅς, ἐπειδὴ παρέβη τὴν ἐντολὴν διὰ παρακοῆς, φεισάμενος τοῦ Ἀγὰγ βασιλέως Ἀμάληκ, τουτέστι τοῦ σώματος, καὶ πρὸς τὰ πάθη κατώλισθεν· ἐξωθεῖται τῆς βασιλείας, ἵνα παραλάβῃ τὸν Ἰσραὴλ ὁ Δαβίδ, τουτέστιν ὁ νόμος τοῦ Πνεύματος, ὁ γεννῶν τὴν εἰρήνην τὴν οἰκοδομοῦσαν περιφανῶς τῷ Θεῷ τὸν τῆς θεωρίας ναόν.*

54 *Σαμουὴλ «ὑπακοὴ Θεοῦ» ἑρμηνεύεται. Οὐκοῦν ἕως ἂν καθ' ὑπακοὴν ὁ λόγος ἐν ἡμῖν ἱερατεύῃ, κἂν φείσηται τοῦ Ἀγὰγ ὁ Σαοὺλ, τουτέστι, τοῦ χοϊκοῦ φρονήματος, ἀλλ' οὖν ἀποκτενεῖ τοῦτον ζηλώσας ὁ ἱερεὺς Λόγος καὶ πλήττει καταισχύνων τὸν φιλαμαρτήμονα νοῦν, ὡς παραβάτην τῶν θείων δικαιωμάτων.*

55 *Ἐπὰν ὁ νοῦς ὑψηλοφρονήσας τὸν κατὰ παθῶν αὐτὸν χρίσαντα τῆς διδασκαλίας λόγον, διὰ τῆς προσηκούσης ἐρεύνης ἐπερωτῶν περὶ τῶν ποιητέων καὶ οὐ ποιητέων παύσαιτο, τοῖς πάθεσι πάντως ἐξ ἀγνοίας ἁλίσκεται, δι' ὧν κατὰ μέρος τοῦ Θεοῦ χωριζόμενος, ἐν ταῖς ἀκουσίοις περιστάσεσι προσχωρεῖ τοῖς δαίμοσι, τὴν κοιλίαν θεοποιῶν, ἐκεῖθεν εὑρέσθαι θέλων τῶν πιεζόντων παράκλησιν. Καὶ πειθέτω σε Σαούλ, ἐν πᾶσι σύμβουλον μὴ λαμβάνων τὸν Σαμουήλ, ἐξ ἀνάγκης πρὸς εἰδωλολατρίαν μεταστρεφόμενος καὶ τὴν Ἐγγαστρίμυθον ὡς δή τινα Θεὸν ἐπερωτᾶν ἀνεχόμενος.*

56 *Ὁ τὸν ἄρτον εὐχόμενος λαβεῖν τὸν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται καθὼς αὐτὸς ὁ ἄρτος ἐστίν, ἀλλὰ καθὼς αὐτὸς ὁ δεχόμενος δύναται. Πᾶσι μὲν γὰρ ἑαυτὸν δίδωσι τοῖς αἰτοῦσι ὁ τῆς ζωῆς ἄρτος ὡς φιλάνθρωπος, οὐ κατὰ τὸ αὐτὸ δὲ πᾶσιν, ἀλλὰ τοῖς μὲν μεγάλα δικαιοσύνης ἔργα πεποιηκόσι, πλειόνως, τοῖς δὲ τούτων ἥττοσιν, ἡττόνως· ἑκάστῳ καθὼς ἡ κατὰ νοῦν ἀξία δέξασθαι δύναται.*

---

45. Α' Βασ. 15,9. 46. Α' Βασ. 15,17. 47. Φιλιπ. 3,19.
48. Α' Βασ. 28,7 ἑ. 49. Ἰω. 6,33.

53 Ὁ Σαοὺλ εἶναι ὁ φυσικὸς νόμος, ποὺ ἀπὸ τὴν ἀρχὴ τοῦ ἔλαχε ἀπὸ τὸν Κύριο νὰ διέπει τὴ φύση. Αὐτός, ἐπειδὴ πάτησε τὴν ἐντολὴ μὲ τὴν παρακοή του, ὅταν λυπήθηκε τὸν Ἀγάγ, τὸ βασιλιὰ τοῦ Ἀμαλὴκ[45], δηλαδὴ τὸ σῶμα, καὶ γλίστρησε στὰ πάθη, ἐκδιώκεται ἀπὸ τὴ βασιλεία γιὰ ν' ἀναλάβει τὸν Ἰσραηλιτικὸ λαὸ ὁ Δαβίδ, δηλαδὴ ὁ νόμος τοῦ πνεύματος, ποὺ γεννᾶ τὴν εἰρήνη, ποὺ οἰκοδομεῖ ὁλόλαμπρο πρὸς τιμὴ τοῦ Θεοῦ τὸ ναὸ τῆς θεωρίας.

54 Σαμουὴλ ἐξηγεῖται ὑπακοὴ στὸ Θεό. Ἑωσότου λοιπὸν ὁ λόγος λειτουργεῖ σὰν ἱερέας μέσα μας μὲ ὑπακοή, κι ἂν λυπηθεῖ ὁ Σαοὺλ τὸν Ἀγάγ[46], δηλαδὴ τὸ χοϊκὸ φρόνημα, θὰ τὸν σκοτώσει ὡστόσο μὲ ζῆλο ὁ ἱερέας Λόγος καὶ χτυπᾶ τὸ νοῦ ποὺ ἀγαπᾶ τὴν ἁμαρτία, ἐπειδὴ παραβαίνει τὰ θεῖα δικαιώματα.

55 Ὅταν ὁ νοῦς ὑψηλοφρονήσει καὶ τὸ λόγο τῆς διδασκαλίας ποὺ τὸν ἔχρισε κατὰ τῶν παθῶν μὲ τὴν κατάλληλη ἔρευνα παύσει νὰ τὸν ρωτᾶ γιὰ ὅ,τι πρέπει νὰ κάνει καὶ ὅ,τι δὲν πρέπει, αἰχμαλωτίζεται ὁπωσδήποτε ἀπὸ ἄγνοια ἀπὸ τὰ πάθη. Αὐτὰ τὸν ἀπομακρύνουν λίγο λίγο ἀπὸ τὸ Θεὸ καὶ σὲ περιστάσεις ποὺ δὲν ἐπιδίωξε προσχωρεῖ στοὺς δαίμονες, θεοποιώντας τὴν κοιλιά[47], ἐπιδιώκοντας νὰ βρεῖ ἐκεῖ ἀνακούφιση ἀπὸ ὅ,τι τὸν βασανίζει. Κι ἂς σὲ πείσει ὁ Σαούλ, ὅτι ἂν δὲν παίρνεις σὲ ὅλα σύμβουλο τὸ Σαμουήλ, ξαναγυρίζεις στὴν εἰδωλολατρία κι ἀνέχεσαι νὰ συμβουλεύεσαι τὴν κοιλιά σου κατὰ τὸν τρόπο τῶν ἐγγαστρίμυθων, σὰ νὰ εἶναι θεός[48].

56 Ὅποιος προσεύχεται νὰ λάβει τὸν ἄρτο τὸν ἐπιούσιο, δὲ δέχεται βέβαια ὅλον ἔτσι ὅπως εἶναι τὸν ἄρτο, ἀλλὰ κατὰ τὴ δυνατότητά του αὐτὴ ποὺ τὸν δέχεται. Σὲ ὅλους βέβαια ποὺ ζητοῦν δίνει τὸν ἑαυτό του ὡς φιλάνθρωπος ποὺ εἶναι ὁ ἄρτος τῆς ζωῆς[49], ὄχι ὅμως σὲ ὅλους στὸ ἴδιο μέτρο. Ἀλλὰ περισσότερο σὲ ὅσους ἔχουν κάνει μεγάλα ἔργα δικαιοσύνης καὶ λιγότερο στοὺς κατώτερούς τους. Σὲ καθένα δίνει ὅσο μπορεῖ νὰ σηκώσει ἡ πνευματική του δύναμη.

57 *Ὁ Κύριος ποτὲ μὲν ἀποδημεῖ, ποτὲ δὲ ἐνδημεῖ. Ἀποδημεῖ, κατὰ τὴν πρόσωπον πρὸς πρόσωπον θεωρίαν, ἐνδημεῖ, κατὰ τὴν ἐν ἐσόπτρῳ καὶ αἰνίγμασι θεωρίαν.*

58 *Τῷ μὲν πρακτικῷ ἐνδημεῖ διὰ τῶν ἀρετῶν ὁ Κύριος, τοῦ δὲ μηδένα λόγον ποιουμένου τῆς ἀρετῆς, ἀποδημεῖ. Καὶ πάλιν, τῷ μὲν θεωρητικῷ διὰ γνώσεως τῶν ὄντων ἀληθοῦς ἐνδημεῖ, τοῦ δὲ ταύτης κατά τι παρασφαλέντος, ἀποδημεῖ.*

59 *Ἀποδημεῖ σαρκὸς ὁ πρὸς τὴν γνωστικὴν ἕξιν μεταβὰς ἀπὸ τῆς πρακτικῆς, ἁρπαζόμενος ὡς ἐν νεφέλαις, τοῖς ὑψηλοτέροις νοήμασιν, εἰς τὸν διαφανῆ τῆς μυστικῆς θεωρίας ἀέρα, καθ' ὃν σὺν Κυρίῳ εἶναι δυνήσεται πάντοτε. Ἐκδημεῖ δὲ ἀπὸ τοῦ Κυρίου ὁ μήπω δίχα τῶν κατ' αἴσθησιν ἐνεργειῶν καθαρῷ νοΐ θεωρῆσαι κατὰ τὸ ἐφικτὸν τὰ νοήματα δυνάμενος καὶ τὸν περὶ τοῦ Κυρίου λόγον ἁπλοῦν χωρὶς αἰνιγμάτων μὴ χωρῶν.*

60 *Ὁ τοῦ Θεοῦ Λόγος, οὐ μόνον καθότι σεσάρκωται λέγεται σάρξ, ἀλλὰ καθότι Θεὸς Λόγος ἁπλῶς νοούμενος ἐν ἀρχῇ πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ σαφεῖς καὶ γυμνοὺς τοὺς τῆς ἀληθείας περὶ τῶν ὅλων ἔχων τύπους, οὐ περιέχει παραβολὰς καὶ αἰνίγματα, οὐδὲ ἱστορίας δεομένας ἀλληγορίας· ἐπὰν δὲ ἀνθρώποις ἐπιδημήσῃ μὴ δυναμένοις γυμνῷ τῷ νοΐ γυμνοῖς προσβάλλειν τοῖς νοητοῖς, ἀπὸ τῶν αὐτοῖς συνήθων διαλεγόμενος, διὰ τῆς τῶν ἱστοριῶν καὶ αἰνιγμάτων καὶ παραβολῶν καὶ σκοτεινῶν λόγων ποικιλίας συντιθέμενος, γίνεται σάρξ. Κατὰ γὰρ τὴν πρώτην προσβολήν, οὐ γυμνῷ προσβάλλει λόγῳ ὁ ἡμέτερος νοῦς, ἀλλὰ λόγῳ σεσαρκωμένῳ, δηλαδὴ τῇ ποικιλίᾳ τῶν λέξεων· λόγῳ μὲν ὄντι, τῇ φύσει· σαρκὶ δὲ τῇ ὄψει· ὥστε τοὺς πολλούς, σάρκα καὶ οὐ λόγον ὁρᾶν δοκεῖν κἂν εἰ κατὰ ἀλήθειάν ἐστι λόγος. Οὐ γὰρ ὅπερ δοκεῖ τοῖς πολλοῖς, τοῦ-*

50. Α' Κορ. 8,12.

57 Ὁ Κύριος ἄλλοτε ἀποδημεῖ ἀπὸ μᾶς κι ἄλλοτε εἶναι παρών. Ἀποδημεῖ κατὰ τὸ κοίταγμα πρόσωπο μὲ πρόσωπο· εἶναι παρὼν κατὰ τὸ κοίταγμα σὲ καθρέφτη καὶ αἴνιγμα[50].

58 Στὸν πρακτικὸ εἶναι παρὼν ὁ Κύριος μέσω τῶν ἀρετῶν· ἀπουσιάζει ἀπὸ ἐκεῖνον ποὺ δὲ λογαριάζει καθόλου τὴν ἀρετή. Κι ἀπὸ τὴν ἄλλη στὸ θεωρητικὸ εἶναι παρὼν μέσω τῆς ἀληθινῆς γνώσης τῶν ὄντων κι ἀπουσιάζει ἀπὸ ἐκεῖνον ποὺ ἔχει πλανηθεῖ κάπως σ' αὐτή.

59 Ἀποδημεῖ ἀπὸ τὴ σάρκα, ὅποιος ἀπὸ τὴν πρακτικὴ ζωὴ μετακινήθηκε στὴ γνωστικὴ μεταφερμένη ἀπὸ τὰ ὑψηλὰ νοήματα ὅπως ἀπὸ σύννεφα στῆς μυστικῆς θεωρίας τὸ διάφανο ἀέρα. Ἐκεῖ θὰ μπορέσει νὰ εἶναι πάντα μαζὶ μὲ τὸν Κύριο[51]. Ἀπομακρύνεται ἀπὸ τὸν Κύριο ὅποιος δὲν μπορεῖ ἀκόμα νὰ θεαστεῖ τὰ νοήματα ὅσο εἶναι δυνατὸ χωρὶς τὴν ἐνέργεια τῶν αἰσθήσεων μὲ καθαρὸ νοῦ καὶ δὲ δέχεται ἁπλὸ καὶ χωρὶς αἰνίγματα τὸ λόγο γιὰ τὸν Κύριο.

60 Ὁ λόγος τοῦ Θεοῦ δὲ λέγεται σάρκα μόνο γιατὶ ἔχει σαρκωθεῖ. Ἐπειδὴ βέβαια ὡς Θεὸς Λόγος ποὺ νοεῖται ἁπλὰ ἀπὸ τὴν ἀρχὴ κοντὰ στὸ Θεὸ καὶ Πατέρα κι ἔχει σαφὴ καὶ γυμνὰ τὰ πρότυπα τῆς ἀλήθειας γιὰ τὰ πάντα, δὲν περιέχει παραβολὴ κι αἰνίγματα οὔτε ἀλληγορίες ποὺ χρειάζονται ἐξήγηση. Ὅταν ὅμως ἐπιδημήσει στοὺς ἀνθρώπους, ποὺ δὲν μποροῦν μὲ γυμνὸ νοῦ νὰ συλλάβουν γυμνὰ τὰ νοητά, μιλώντας τους ἀπὸ ὅσα εἶναι οἰκεῖα σ' αὐτοὺς συνθέτεται ἀπὸ τὴν ποικιλία τῶν διδασκαλιῶν καὶ τῶν αἰνιγμάτων καὶ τῶν παραβολῶν καὶ τῶν σκοτεινῶν λόγων καὶ τότε γίνεται σάρκα. Κατὰ τὴ πρώτη λοιπὸν ἀντίληψη ὁ ἀνθρώπινος νοῦς δὲν ἀντιλαμβάνεται γυμνὸ τὸ Λόγο ἀλλὰ ὡς Λόγο σαρκωμένο, δηλαδὴ μὲ τὴν ποικιλία τῶν λέξεων, ποὺ εἶναι Λόγος κατὰ τὴ φύση καὶ στὴν ὄψη σάρκα. Ὥστε οἱ πολλοὶ νομίζουν ὅτι βλέπουν σάρκα κι ὄχι Λόγο κι ἂς εἶναι στ' ἀλήθεια Λόγος. Γιατὶ δὲν εἶναι τὸ νόημα τῆς Γραφῆς αὐτὸ ποὺ νο-

51. Α' Θεσ. 4,16.

*το τῆς Γραφῆς ἐστιν ὁ νοῦς, ἀλλ' ἕτερον παρὰ τὸ δοκοῦν. Ὁ γὰρ λόγος δι' ἑκάστου τῶν ἀναγεγραμμένων ρημάτων γίνεται σάρξ.*

61 *Ἡ ἀπαρχὴ τῆς πρὸς εὐσέβειαν μαθητείας τῶν ἀνθρώπων, ὡς πρὸς σάρκα γίνεσθαι πέφυκε. Γράμματι γάρ, ἀλλ' οὐ πνεύματι κατὰ τὴν πρώτην εἰς θεοσέβειαν προσβολὴν ὁμιλοῦμεν. Κατὰ μέρος δὲ προσβαίνοντες τῷ πνεύματι καὶ τὸ παχὺ τῶν ρημάτων τοῖς λεπτοτέροις θεωρήμασιν ἀποξέοντες, ἐν καθαρῷ καθαρῶς τῷ Χριστῷ γινόμεθα κατὰ τὸ δυνατὸν ἀνθρώποις, εἰς τὸ δύνασθαι λέγειν κατὰ τὸν ἀπόστολον, «εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν», διὰ τὴν ἁπλῆν δηλονότι πρὸς τὸν Λόγον χωρὶς τῶν ἐπ' αὐτῷ καλυμμάτων τοῦ νοὸς προσβολήν· ἀπὸ τοῦ σάρκα τὸν Λόγον γινώσκειν, εἰς τήν, ὡς Μονογενοῦς παρὰ Πατρὸς αὐτοῦ δόξαν προκόψαντες.*

62 *Ὁ τὴν ἐν Χριστῷ ζήσας ζωήν, τήν τε τοῦ νόμου καὶ τῆς φύσεως ὑπερέβη δικαιοσύνην, ὅπερ ὁ θεῖος ἐνδεικνύμενος ἀπόστολός φησιν· «ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὔτε περιτομή ἐστιν, οὔτε ἀκροβυστία». Διὰ μὲν τῆς περιτομῆς τὴν νομικὴν δικαιοσύνην δηλώσας, διὰ δὲ τῆς ἀκροβυστίας τὴν φυσικὴν ἰσονομίαν αἰνιξάμενος.*

63 *Οἱ μὲν δι' ὕδατος ἀναγεννῶνται καὶ Πνεύματος, οἱ δὲ ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ τὸ βάπτισμα δέχονται. Τὰ τέσσαρα δὲ ταῦτα, τὸ ὕδωρ τέ φημι, καὶ τὸ πνεῦμα, καὶ τὸ πῦρ, καὶ τὸ Πνεῦμα ἅγιον, τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα νοῶ τοῦ Θεοῦ. Τοῖς μὲν γὰρ ὕδωρ ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ρυπτικὸν τῶν ἐκτὸς περὶ τὸ σῶμα μολυσμῶν, τοῖς δὲ πνεῦμα μόνον, ὡς ἐνεργητικὸν τῶν κατ' ἀρετὴν ἀγαθῶν· τοῖς δὲ πῦρ, ὡς καθαρτικὸν τῶν ἐντὸς κατὰ τὸ βάθος περὶ ψυχὴν κηλίδων· τοῖς δέ, κατὰ τὸν μέγαν Δανιήλ, Πνεῦμα ἅγιον, ὡς σοφίας καὶ γνώσεως χορηγόν. Ἐκ γὰρ τῆς διαφόρου περὶ τὸ ὑποκείμενον ἐνεργείας, διαφόρους λαμβάνει τὸ ἓν καὶ αὐτὸ Πνεῦμα τὰς προσηγορίας.*

---

52. Β' κορ. 5,16. 53. Ἰω. 1,14.

μίζουν οἱ πολλοὶ παρὰ κάτι ἄλλο ἀπὸ αὐτὸ ποὺ νομίζουν. Γιατὶ ὁ Λόγος μὲ καθένα ἀπὸ τὰ γραμμένα λόγια γίνεται σάρκα.

61 Ἡ ἀρχὴ τῆς μαθητείας τῶν ἀνθρώπων γιὰ τὴν ἀπόκτηση τῆς εὐσέβειας εἶναι τέτοια, ὥστε νὰ γίνεται ἀπὸ τὴ σάρκα. Γιατὶ στὴν πρώτη προσπάθεια γιὰ τὴ θεοσέβεια ἐρχόμαστε σ' ἐπαφὴ μὲ τὸ γράμμα καὶ ὄχι μὲ τὸ πνεῦμα. Προχωρώντας λίγο–λίγο στὸ πνεῦμα κι ἀπολεπίζοντας τὴν ὑλικότητα τῶν λόγων μὲ τὰ λεπτότερα θεωρήματα θὰ καταντήσομε καθαροὶ μέσα σὲ καθαρὸ τὸ Χριστό, ὅσο εἶναι δυνατὸ στοὺς ἀνθρώπους. Γιὰ νὰ μποροῦμε νὰ ποῦμε σύμφωνα μὲ τὸν Ἀπόστολο· «ἂν καὶ γνωρίσαμε τὸ Χριστὸ κατὰ σάρκα ἀλλὰ τώρα δὲν τὸν γνωρίζομε πιά»[52]. Εἶναι φανερὸ ὅτι αὐτὸ γίνεται ἐξαιτίας τῆς ἁπλῆς ἐπαφῆς μὲ τὸ Λόγο, χωρὶς δηλαδὴ τὰ παραπετάσματα ποὺ ὑπάρχουν γι' αὐτὸν στὸ νοῦ. Κάνομε ἔτσι μιὰ πρόοδο ἀπὸ τὸ νὰ ξέρομε τὸ Λόγο σάρκα στὴν πίστη ὅτι εἶναι ὁ Μονογενὴς τοῦ Πατέρα του[53].

62 Ὅποιος ἔζησε τὴ ζωὴ τοῦ Χριστοῦ, ξεπέρασε τὴ δικαιοσύνη τοῦ νόμου καὶ τῆς φύσης. Δίνοντας ἔνδειξη γι' αὐτὸ ὁ θεῖος Ἀπόστολος λέει· «στὸν Ἰησοῦ Χριστὸ οὔτε περιτομὴ ἰσχύει οὔτε ἀκροβυστία»[54]. Μὲ τὴν περιτομὴ δήλωσε τὴ δικαιοσύνη τοῦ νόμου, μὲ τὴν ἀκροβυστία ἔκανε ὑπαινιγμὸ γιὰ τὴ φυσικὴ ἰσότητα.

63 Ἄλλοι ξαναγεννιοῦνται μὲ νερὸ καὶ πνεῦμα· ἄλλοι δέχονται τὸ ἅγιο βάπτισμα μὲ πνεῦμα ἅγιο καὶ φωτιά[55]. Αὐτὰ τὰ τέσσερα, δηλαδὴ τὸ νερό, τὸ πνεῦμα, τὴ φωτιὰ καὶ τὸ ἅγιο Πνεῦμα, τὰ λέω ἕνα καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ. Γι' ἄλλους τὸ ἅγιο Πνεῦμα εἶναι νερὸ ποὺ ξεπλένει τοὺς σωματικοὺς μολυσμούς· γι' ἄλλους εἶναι μονάχα πνεῦμα, ποὺ προκαλεῖ τὴν ἀγαθὴ ἐνέργεια τῶν ἀρετῶν· γι' ἄλλους εἶναι φωτιά, ἐπειδὴ καθαρίζει τὶς κηλίδες ποὺ ὑπάρχουν μέσα μας στὸ βάθος τῆς ψυχῆς· γι' ἄλλους, κατὰ τὸ μεγάλο Δανιήλ, εἶναι Πνεῦμα ἅγιο, ἐπειδὴ χορηγεῖ σοφία καὶ γνώση. Γιατὶ ἀνάλογα μὲ τὴ διαφορετική του ἐνέργεια σὲ κάθε περίπτωση παίρνει διάφορες προσηγορίες τὸ ἕνα καὶ τὸ αὐτὸ Πνεῦμα.

54. Γαλ. 6,15. 55. Ματθ. 3,11.

*64 Ὁ νόμος τὸ Σάββατον δέδωκεν «ἵνα», φησίν, «ἀναπαύσηται τὸ ὑποζύγιόν σου καὶ ὁ παῖς σου». Ἀμφότερα δὲ ταῦτα δι' αἰνιγμάτων τὸ σῶμα δηλοῦσι. Τοῦ γὰρ πρακτικοῦ νοὸς ὑποζύγιόν ἐστι τὸ σῶμα, ἀχθοφορεῖν βίᾳ τοῖς τρόποις τῶν ἀρετῶν κατὰ τὴν πρᾶξιν ἀναγκαζόμενον. Τοῦ δὲ θεωρητικοῦ παῖς, ὡς ἤδη λογισθὲν θεωρήμασι καὶ λογικῶς ταῖς γνωστικαῖς ἐπιταγαῖς τοῦ νοὸς ὑπηρετούμενον. Ἀμφοτέροις δὲ Σάββατόν ἐστι, τῶν αὐτοῖς ἐνεργουμένων κατά τε πρᾶξιν καὶ θεωρίαν καλῶν, τὸ πέρας, τὴν πρόσφορον ἑκάστῳ παρέχον ἀνάπαυσιν.*

*65 Ὁ τὴν ἀρετὴν μετὰ τῆς πρεπούσης γνώσεως ἐξανύων, ὑποζύγιον ἔχει τὸ σῶμα, λόγῳ ἐλαύνων πρὸς τὴν τῶν καθηκόντων ἐνέργειαν, παῖδα δὲ τὸν ἐπ' ἀρετῇ κατὰ τὴν πρᾶξιν τρόπον, ἤγουν αὐτὸν τὸν καθ' ὃν ἡ ἀρετὴ πέφυκε γίνεσθαι τρόπον· ὥσπερ ἀργυρίῳ τοῖς διακριτικοῖς ὠνηθέντα λογισμοῖς. Σάββατον δὲ ἡ κατ' ἀρετὴν ἀπαθὴς καὶ εἰρηναία τῆς τε ψυχῆς καὶ τοῦ σώματος κατάστασις, ἤγουν ἀναλλοίωτος ἕξις.*

*66 Ὁ τοῦ Θεοῦ λόγος, τοῖς μὲν ἔτι περὶ τὰ σωματικὰ τῆς ἀρετῆς εἴδη τὸ πλέον ἔχουσι τῆς φροντίδος, ἄχυρον γίνεται καὶ χόρτος, διατρέφων αὐτῶν τὸ παθητικὸν τῆς ψυχῆς μέρος, πρὸς τὴν τῶν ἀρετῶν ὑπηρεσίαν· τοῖς ἀνηγμένοις δὲ τῇ θεωρίᾳ τῆς ἀληθοῦς τῶν θείων κατανοήσεως, ἔστιν ἄρτος διατρέφων αὐτῶν τῆς ψυχῆς τὸ νοερὸν πρὸς θεοειδῆ τελειότητα. Διὸ τοὺς πατριάρχας εὑρίσκομεν ἐπισιτιζομένους ἐν τῇ ὁδῷ, καὶ ἑαυτοῖς ἄρτους καὶ τοῖς ὄνοις αὐτῶν χορτάσματα. Καὶ ὁ ἐν τοῖς Κριταῖς δὲ Λευΐτης, τῷ ἐν Γαβαᾷ ξεναγήσαντι αὐτὸν πρεσβύτῃ φησίν· «εἰσὶ καὶ ἡμῖν ἄρτοι καὶ τοῖς ὄνοις ἡμῶν ἄχυρα· καὶ οὐκ ἔστιν ὑστέρημα τοῖς παισί σου, παντός τινος».*

*67 Ὁ τοῦ Θεοῦ Λόγος καὶ δρόσος λέγεται καὶ ἔστιν, καὶ ὕδωρ καὶ πηγὴ καὶ ποταμός, ὡς γέγραπται, κατὰ τὴν ὑποκειμένην δηλονότι*

---

56. Ἐξ. 23,12. 57. Γεν. 24,32. 58. Κριτ. 19,19.

64 Ὁ νόμος ἔχει δώσει τὸ Σάββατο ὅπως λέει «γιὰ νὰ ἀναπαυθεῖ τὸ ὑποζύγιό σου καὶ ὁ ὑπηρέτης σου»[56]. Καὶ τὰ δύο αὐτὰ ἀποτελοῦν ὑπαινιγμὸ γιὰ τὸ σῶμα. Γιατὶ τὸ σῶμα εἶναι τὸ ὑποζύγιο τοῦ πρακτικοῦ νοῦ κι ἀναγκάζεται μὲ τὴ βία νὰ σηκώνει τὸ βάρος τῶν ἐκδηλώσεων τῶν ἀρετῶν στὴν πράξη. Κι εἶναι τὸ σῶμα στὸ θεωρητικὸ νοῦ ὑπηρέτης, ἐπειδὴ ἔχει ἀποκτήσει λογικὴ δύναμη μὲ τὰ θεωρήματα καὶ ὑπηρετεῖται λογικὰ μὲ τὶς γνωστικὲς ἐπιταγές τοῦ νοῦ. Καὶ γιὰ τὰ δύο Σάββατο εἶναι ἡ ἀποπεράτωση γιὰ ὅσα καλὰ ἐπιτεύγματά τους στὴν πράξη καὶ τὴ θεωρία, ποὺ παρέχει στὸ καθένα τὴν πρόσφορη ἀνάπαυση.

65 Ὅποιος ὁλοκληρώνει τὴν ἀρετὴ μὲ τὴ σωστὴ γνώση, ἔχει ὑποζύγιο τὸ σῶμα, ποὺ τὸ ὁδηγεῖ μὲ τὸ λόγο στὴν ἐργασία ὅσων πρέπει. Κι ἔχει τὸν τρόπο κατὰ τὸν ὁποῖο ἐνεργεῖ γιὰ τὴν ἀρετή, δηλαδὴ αὐτὸν τὸν τρόπο κατὰ τὸν ὁποῖο πραγματοποιεῖται ἡ ἀρετὴ σύμφωνα μὲ τὴ φύση της, ποὺ ἔχει ἀγοραστεῖ μὲ τὸ χρῆμα τῶν διακριτικῶν λογισμῶν. Καὶ Σάββατο εἶναι ἡ ἀπαθὴς καὶ εἰρηνεμένη ὡς πρὸς τὴν ἀρετὴ κατάσταση τόσο τῆς ψυχῆς ὅσο καὶ τοῦ σώματος, δηλαδὴ ἡ ἀμετάβλητη ἕξη.

66 Ὁ λόγος τοῦ Θεοῦ γιὰ ὅσους ἀφιερώνουν ἀκόμα τὴν περισσότερη φροντίδα τους στὰ σωματικὰ εἴδη τῆς ἀρετῆς γίνεται ἄχυρο καὶ χόρτο καὶ διατρέφει τὸ παθητικὸ μέρος τῆς ψυχῆς γιὰ τὴν ὑπηρεσία τῶν ἀρετῶν. Γιὰ ὅσους ὅμως ἔχουν ἀνεβεῖ μὲ τὴ θεωρία τῆς πραγματικῆς κατανόησης τῶν θείων, εἶναι ψωμὶ ποὺ διατρέφει τὸ νοερὸ μέρος τῆς ψυχῆς τους γιὰ τὴν ἀπόκτηση τῆς θείας τελειότητας. Γι' αὐτὸ συναντοῦμε τοὺς πατριάρχας νὰ ἐφοδιάζονται στὸ δρόμο τόσο μὲ ψωμιὰ γιὰ τὸν ἑαυτό τους, ὅσο καὶ γιὰ τὰ ὑποζύγιά τους μὲ χόρτα[57]. Καὶ ὁ Λευΐτης μέσα στοὺς Κριτὲς λέει στὸ γέροντα ποὺ τὸν φιλοξένησε στὴ Γαβαών· «κι ἐμεῖς ἔχομε ψωμιὰ καὶ τὰ ζῶα μας ἄχυρο· καὶ τὰ παιδιά σου δὲ στεροῦνται ἀπὸ ὁτιδήποτε»[58].

67 Ὁ λόγος τοῦ Θεοῦ λέγεται καὶ δροσιὰ καὶ εἶναι. Καὶ νερὸ καὶ πηγὴ καὶ ποταμός, ὅπως ἔχει γραφεῖ[59]. Δηλαδὴ γίνεται καὶ

59. Δευτ. 32,2 . Ἐκκλ. 1,5 . 15,3 . 24,41-43.

*τῶν δεχομένων δύναμιν, ταῦτα καὶ ὢν καὶ γινόμενος. Τοῖς μὲν γάρ ἐστι δρόσος, ὡς τῆς ἔξωθεν ἐπικειμένης αὐτοῖς περὶ τὸ σῶμα τῶν παθῶν πυρώσεώς τε καὶ ἐνεργείας, σβεστικός· τοῖς δὲ τὸ βάθος τῷ ἰῷ τῆς κακίας φρυσσομένοις, ἐστὶν ὕδωρ· οὐ μόνον ὡς δι' ἀντιπαθείας τοῦ ἀντικειμένου φθαρτικός, ἀλλὰ καὶ ὡς μεταδοτικὸς ζωτικῆς πρὸς τὸ εὖ εἶναι δυνάμεως. Πηγὴ δέ, ἀεννάως ἔχουσιν ἀναβλύζουσαν τὴν ἕξιν τῆς θεωρίας, ὡς σοφίας χορηγός. Ποταμὸς δέ, τοῖς τὴν εὐσεβῆ καὶ ὀρθὴν καὶ σωτήριον ποταμηδὸν προχέουσι διδασκαλίαν ὡς ἀνθρώπους καὶ κτήνη καὶ θηρία καὶ φυτὰ δαψιλῶς ποτίζων, ἵνα καὶ ἄνθρωποι θεωθῶσι, τοῖς τῶν λεγομένων ὑψωθέντες νοήμασι, καὶ οἱ κτηνωθέντες τοῖς πάθεσι, διὰ τῆς ἀκριβοῦς τῶν κατ' ἀρετὴν τρόπων ἀποδείξεως ἀνθρωπισθέντες, τὴν φυσικὴν ἐπαναλάβωσι λογιότητα· καὶ οἱ θηριωθέντες ταῖς πονηραῖς ἕξεσι καὶ κακοπραγίαις, διὰ τῆς προσηνοῦς τε καὶ εὐαφοῦς παραινέσεως τιθασσευθέντες, πρὸς τὴν τῆς φύσεως ἐπανέλθωσιν ἡμερότητα· καὶ οἱ φυτῶν δίκην ἀναισθητοῦντες τῶν ἀγαθῶν, διὰ τῆς εἰς βάθος τοῦ λόγου διαβάσεως ἁπαλυνθέντες, λάβωσιν αἴσθησιν πρὸς καρπογονίαν καὶ δύναμιν τὴν αὐτοὺς διατρέφουσαν, τοῦ λόγου ποιότητα.*

68 *Ὁδός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος τοῖς καλῶς κατὰ τὴν πρακτικὴν καὶ εὐτόνως τὸ τῆς ἀρετῆς τρέχουσι στάδιον· καὶ μήτε δεξιὰ διὰ κενοδοξίας, μήτε ἀριστερὰ διὰ τῆς πρὸς τὰ πάθη ῥοπῆς ἐκκλίνουσιν, εὐθύνων κατὰ Θεὸν τὰ διαβήματα, ὅπερ εἰς τέλος μὴ φυλάξας Ἀσὰ ὁ βασιλεὺς Ἰούδα, λέγεται περὶ τὸ γῆρας αὐτοῦ πεπονηκέναι τοὺς πόδας, ὡς περὶ τὸν δρόμον τοῦ κατὰ Θεὸν βίου ἀσθενήσας.*

69 *Θύρα λέγεται ὁ τοῦ Θεοῦ Λόγος, ὡς τοὺς καλῶς πᾶσαν διηνυκότας τὴν ὁδὸν τῶν ἀρετῶν κατὰ τὸν ἄμεμπτον δρόμον τῆς πράξεως πρὸς γνῶσιν εἰσάγων, καὶ ὡς φῶς, δεικνὺς τοὺς πολυφαεῖς τῆς*

---

60. Ἰω. 14,6. 61. Γ' Βασ. 15,23. 62. Ἰω. 10,9.

εἶναι ὅλα αὐτὰ ἀνάλογα μὲ τὴ δύναμη ποὺ ἔχουν ὅσοι τὸν δέχονται. Γιὰ ἄλλους εἶναι δροσιά, ἐπειδὴ σβήνει τὴν πύρωση καὶ τὴν ἐπίδραση τῶν παθῶν ποὺ ἐνοχλεῖ τὸ σῶμα τους. Γιὰ ὅσους καίγονται στὰ βάθη τους ἀπὸ τὸ δηλητήριο τῆς κακίας εἶναι νερό, ὄχι μόνο γιατὶ μὲ τὴν ἀντίδρασή του φθείρει αὐτὸ ποὺ πολεμᾶ, ἀλλὰ καὶ γιατὶ μεταδίνει ζωτικὴ δύναμη γιὰ τὴ ζωὴ τῆς ἀρετῆς. Καὶ εἶναι πηγὴ ποὺ ἀναβλύζει ἀέναα γιὰ ὅσους ἔχουν τὴν ἕξη τῆς θεωρίας, ἐπειδὴ χορηγεῖ σοφία. Καὶ ποταμὸς γιὰ ὅσους χύνουν σὰν ποτάμι τὴν εὐσεβὴ καὶ ὀρθὴ καὶ σωτήρια διδασκαλία, ἐπειδὴ ποτίζει ἄφθονα ἀνθρώπους καὶ ζῶα καὶ θηρία καὶ φυτά. Ἔτσι καὶ οἱ ἄνθρωποι θὰ θεωθοῦν, ὑψωμένοι μὲ τὰ νοήματα ὅσων λέγονται, καὶ ὅποιοι ἔχουν ἀποκτηνωθεῖ ἀπὸ τὰ πάθη, ἀφοῦ γίνουν ἄνθρωποι μὲ τὴν ἀκριβὴ ἐκδήλωση τῶν τρόπων τῆς ἀρετῆς, νὰ ξανακερδίσουν τὴ φυσική τους λογικὴ ἱκανότητα. Κι ὅσοι ἔχουν ἀποθηριωθεῖ μὲ τὶς πονηρὲς συνήθειες καὶ κακίες, ἀφοῦ τιθασευθοῦν μὲ τὴν μαλακὴ καὶ ἤρεμη συμβουλή, νὰ ξαναγυρίσουν στὴν ἡμεράδα τῆς φύσης. Καὶ ὅσοι ὅμοια μὲ φυτὰ μένουν ἀναίσθητοι στὰ ἀγαθά, ἀφοῦ μαλακώσουν μὲ τὴ διείσδυση τοῦ λόγου στὸ βάθος τῆς ψυχῆς τους, νὰ ἀποχτήσουν αἴσθηση καὶ δύναμη γιὰ νὰ δώσουν καρπούς, τὸ ποιὸ τοῦ λόγου ποὺ τοὺς διατρέφει.

68 Ὁ λόγος τοῦ Θεοῦ εἶναι δρόμος[60] γι' αὐτοὺς ποὺ στὴν πρακτικὴ ζωή τους τρέχουν σωστὰ καὶ δυνατὰ τὸ δρόμο τῆς ἀρετῆς καὶ δὲν παρεκλείνουν μήτε δεξιὰ ἀπὸ κενοδοξία μήτε ἀριστερὰ ἐξαιτίας τῆς ροπῆς τους πρὸς τὰ πάθη· ἀλλὰ κατευθύνει τὶς ἐνέργειές τους σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ. Αὐτὸ ὅμως δὲν τὸ φύλαξε ὡς τὸ τέλος ὁ Ἀσά, ὁ βασιλεὺς τοῦ Ἰούδα[61], καὶ λένε ὅτι στὰ γηρατειά του πόνεσαν τὰ πόδια του, ἐπειδὴ ἔδειξε ἀδυναμία νὰ πορευτεῖ τὸ δρόμο τοῦ κατὰ Θεὸν βίου.

69 Ὁ λόγος τοῦ Θεοῦ λέγεται θύρα[62], ἐπειδὴ εἰσάγει στὴ γνώση ὅσους ἔχουν διανύσει ὡραῖα τὸ δρόμο τῶν ἀρετῶν κατὰ τὴν ἄμεμπτη πορεία τῆς πράξης καὶ σὰν φῶς ποὺ εἶναι δείχνει τοὺς πολύφωτους θησαυροὺς τῆς σοφίας. Γιατὶ ὁ ἴδιος ὁ Λόγος

*σοφίας θησαυρούς. Ὁ αὐτὸς γὰρ καὶ ὁδός ἐστι καὶ θύρα καὶ κλεὶς καὶ βασιλεία· ὁδὸς μέν, ὡς ὁδηγός· κλεὶς δέ, ὡς ἀνοίγων τοῖς ἀξίοις τῶν θείων καὶ ἀνοιγόμενος· θύρα δέ, ὡς εἰσαγωγεύς· βασιλεία δέ, ὡς κληρονομούμενος, καὶ κατὰ μέθεξιν ἐν πᾶσι γινόμενος.*

70 *Φῶς ὁ Κύριος λέγεται καὶ ζωὴ καὶ ἀνάστασις καὶ ἀλήθεια. Φῶς μὲν καὶ ὡς λαμπρότης ψυχῶν καὶ ὡς ἀγνοίας σκότους διώκτης, καὶ ὡς φωτίζων τὸν νοῦν πρὸς κατανόησιν τῶν ἀπορρήτων καὶ δεικνὺς τὰ μόνοις θεατὰ τοῖς καθαροῖς μυστήρια· ζωὴ δέ, ὡς τὴν πρέπουσαν ψυχαῖς ἀγαπώσαις τὸν Κύριον ἐν τοῖς θείοις παρεχόμενος κίνησιν· ἀνάστασις δέ, ὡς τῆς νεκρᾶς τῶν ὑλικῶν προσπαθείας ἐγείρων τὸν νοῦν, φθορᾶς παντοίας καθαρὸν καὶ νεκρότητος· ἀλήθεια δέ, ὡς ἕξιν τῶν ἀγαθῶν τοῖς ἀξίοις δωρούμενος ἄτρεπτον.*

71 *Ὁ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος ἑκάστῃ μυστικῶς ἐνυπάρχει τῶν οἰκείων ἐντολῶν, ὁ δὲ Θεὸς καὶ Πατὴρ ὅλος ἐστὶν ἀχώριστος ἐν ὅλῳ τῷ οἰκείῳ Λόγῳ φυσικῶς. Ὁ τοίνυν δεχόμενος θείαν ἐντολὴν καὶ ποιῶν αὐτήν, τὸν ἐν αὐτῇ τοῦ Θεοῦ δέχεται Λόγον, ὁ δὲ τὸν Λόγον διὰ τῶν ἐντολῶν δεξάμενος, δι' αὐτοῦ τὸν ἐν αὐτῷ φυσικῶς ὄντα συνεδέξατο Πατέρα καὶ τὸ ἐν αὐτῷ φυσικῶς ὂν συνεδέξατο Πνεῦμα. «Ἀμὴν» γάρ, φησι, «λέγω ὑμῖν, ὁ λαμβάνων ὅν τινα πέμψω, ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με». Ὁ γοῦν ἐντολὴν δεξάμενος καὶ ποιήσας αὐτήν, λαβὼν ἔχει μυστικῶς τὴν ἁγίαν Τριάδα.*

72 *Δοξάζει τὸν Θεὸν ἐν ἑαυτῷ, οὐχ ὁ λόγοις μόνον γεραίρων τὸν Θεόν, ἀλλ' ὁ διὰ τὸν Θεὸν ὑπὲρ ἀρετῆς τὰ τῶν πόνων ὑπομένων παθήματα· καὶ ἀντιδοξάζεται παρὰ Θεοῦ τὴν ἐν τῷ Θεῷ δόξαν, οἷον ἀρετῆς ἔπαθλον κατὰ μέθεξιν τὴν τῆς ἀπαθείας κομιζόμενος χάριν. Πᾶς γὰρ ὁ δοξάζων τὸν Θεὸν ἐν ἑαυτῷ διὰ τῶν κατὰ τὴν*

---

63. Ἰω. 8,12 . 11,25 . 14,6.    64. Ἰω. 13,20.

εἶναι ὁδὸς καὶ θύρα καὶ κλειδὶ καὶ βασιλεία· ὁδὸς γιατὶ ὁδηγεῖ, κλειδὶ γιατὶ σὲ ὅσους εἶναι ἄξιοι γιὰ τὰ θεῖα ἀνοίγει καὶ ἀνοίγεται, θύρα γιατὶ εἰσάγει, καὶ βασιλεία ἐπειδὴ κληρονομεῖται καὶ κατὰ μετοχὴ πηγαίνει σὲ ὅλους.

70 Ὁ Κύριος λέγεται φῶς καὶ ζωὴ καὶ ἀνάσταση καὶ ἀλήθεια[63]. Φῶς λέγεται ὡς λαμπρότητα τῶν ψυχῶν καὶ διώκτης τοῦ σκότους τῆς ἄγνοιας κι ἐπειδὴ φωτίζει τὸ νοῦ γιὰ νὰ κατανοεῖ τὰ ἀπόρρητα καὶ δείχνει τὰ μυστήρια ποὺ μποροῦν νὰ θεαστοῦν μόνο οἱ ἄξιοι. Ζωὴ λέγεται, ἐπειδὴ παρέχει τὴν ἁρμόδια κίνηση σὲ ὅσα εἶναι θεῖα στὶς ψυχὲς ποὺ ἀγαποῦν τὸν Κύριο. Ἀνάσταση, γιατὶ σηκώνει τὸ νοῦ ἀπὸ τὴν νεκρὴ ἐπιρροὴ τῶν ὑλικῶν, καθαρὸ ἀπὸ κάθε εἴδους φθορὰ καὶ νεκρότητα. Κι ἀλήθεια λέγεται, ἐπειδὴ χαρίζει στοὺς ἄξιους τὴν ἀμετάβλητη ἕξη γιὰ τ' ἀγαθά.

71 Ὁ Θεὸς Λόγος τοῦ Θεοῦ καὶ Πατέρα ὑπάρχει μυστικὰ σὲ κάθε μία ἀπὸ τὶς ἐντολές του. Κι ὁ Θεὸς Πατέρας βρίσκεται ὁλόκληρος ἀχώριστος σὲ ὅλο τὸν οἰκεῖο του Λόγο κατὰ φύση. Ὅποιος λοιπὸν δέχεται μιὰ θεία ἐντολὴ καὶ τὴν πράττει, δέχεται τὸ Λόγο τοῦ Θεοῦ ποὺ ὑπάρχει σ' αὐτήν. Κι ὅποιος δέχτηκε τὸ Λόγο διαμέσου τῶν ἐντολῶν, δέχτηκε μαζί διαμέσου του τὸν Πατέρα ποὺ βρίσκεται κατὰ φύση μέσα σ' αὐτὸν καὶ μαζὶ δέχτηκε τὸ Πνεῦμα ποὺ εἶναι μέσα στὸ Λόγο κατὰ φύση. Γιατὶ μᾶς λέει· «σᾶς λέω ἀλήθεια, ὅποιος δέχεται αὐτὸν ποὺ ἐγὼ θὰ στείλω, δέχεται ἐμένα, κι ὅποιος δέχεται ἐμένα, δέχεται αὐτὸν ποὺ μ' ἔστειλε»[64]. Ὅποιος λοιπὸν δέχτηκε ἐντολὴ καὶ τὴν ἔπραξε, δέχτηκε κι ἔχει μέσα του μυστικὰ τὴν ἁγία Τριάδα.

72 Δοξάζει τὸ Θεὸ μὲ τὸν ἑαυτό του ὄχι ὅποιος τιμᾶ τὸ Θεὸ μόνο μὲ λόγια, ἀλλὰ ὅποιος ὑπομένει γιὰ τὸ Θεὸ τὰ παθήματα τῶν ἀγώνων γιὰ τὴν ἀρετή. Κι ἀντιδοξάζεται ἀπὸ τὸ Θεὸ μὲ τὴ θεία δόξα καὶ κερδίζει κατὰ μετοχὴ τὴ χάρη τῆς ἀπάθειας σὰν ἔπαθλο τῆς ἀρετῆς. Γιατὶ ὅποιος μὲ τὸν ἑαυτό του δοξάζει τὸ Θεὸ μὲ τὰ παθήματα γιὰ χάρη τῆς ἀρετῆς στὴν πρακτικὴ ζωή του, δοξάζεται κι αὐτὸς ἀπὸ τὸ Θεὸ μὲ τὴν ἀπαθὴ ἔλλαμψη τῶν

*πρακτικὴν ὑπὲρ ἀρετῆς παθημάτων καὶ αὐτὸς ἐν τῷ Θεῷ δοξάζεται, διὰ τῆς κατὰ τὴν θεωρίαν ἀπαθοῦς τῶν θείων ἐλλάμψεως. Φησὶ γὰρ ὁ Κύριος ἐπὶ τὸ πάθος ἐρχόμενος· «νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ· καὶ εὐθὺς δοξάσει αὐτόν». Ὡς ἐντεῦθεν εἶναι δῆλον, ὅτι τοῖς ὑπὲρ ἀρετῆς παθήμασιν, ἐπακολουθοῦσι τὰ θεῖα χαρίσματα.*

73 *Ἕως τὸν ἐν τῷ ρητῷ τῆς ἁγίας Γραφῆς ποικίλως διὰ τῶν αἰνιγμάτων σεσωματωμένον ὁρῶμεν τὸν τοῦ Θεοῦ Λόγον, οὔπω τὸν ἀσώματον καὶ ἁπλοῦν καὶ ἑνιαῖον καὶ μόνον, ὡς ἐν ἀσωμάτῳ καὶ ἁπλῷ καὶ ἑνιαίῳ καὶ μόνῳ Υἱῷ νοητῶς τεθεάμεθα Πατέρα, κατὰ τό, «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα». Καί, «ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί». Πολλῆς οὖν χρεία τῆς ἐπιστήμης, ὥστε διαδύντας πρότερον τὰ περὶ τὸν Λόγον τῶν ρημάτων καλύμματα, οὕτω γυμνῷ τῷ νοΐ καθαρὸν αὐτὸν ἐφ' ἑαυτὸν ἑστῶτα θεάσασθαι τὸν Λόγον, τὸν ἐν ἑαυτῷ σαφῶς ὡς ἐφικτὸν ἀνθρώποις τὸν Πατέρα δεικνύντα. Διόπερ ἀνάγκη τὸν εὐσεβῶς τὸν Θεὸν ἐπιζητοῦντα, μηδενὶ κρατεῖσθαι ρητῷ ἵνα μὴ ἀντὶ Θεοῦ, τὰ περὶ Θεὸν λάθῃ λαβών· τουτέστιν, ἀντὶ τοῦ Λόγου, τὰ ρητὰ στέργων ἐπισφαλῶς τῆς Γραφῆς, τοῦ Λόγου διαφυγόντος τὸν νοῦν ἐκ τῶν περιβλημάτων κρατεῖν δοκοῦντα τὸν ἀσώματον Λόγον· κατά γε τὴν Αἰγυπτίαν, τὴν μὴ τοῦ Ἰωσήφ, ἀλλὰ τῶν αὐτοῦ ἐπιλαβομένην ἱματίων· καὶ τοὺς παλαιοὺς ἀνθρώπους, οἱ μόνῃ τῇ εὐπρεπείᾳ τῶν ὁρωμένων ἐναπομείνατες, ἔλαθον τῇ κτίσει λατρεύοντες παρὰ τὸν κτίσαντα.*

74 *Ὁ τῆς ἁγίας Γραφῆς λόγος, κατὰ μέρος τοῖς ὑψηλοτέροις νοήμασι τὴν τῶν ἐπ' αὐτῷ σωματικῶς διαπεπλασμένων ρητῶν ἐκδυσάμενος σύνθεσιν, ὡς ἐν φωνῇ αὔρας λεπτῆς ὑπάρχων δείκνυται τῷ διορατικωτέρῳ νοΐ· τῷ διὰ τὴν ἄκραν ἀπόλειψιν τῶν κατὰ φύσιν ἐνεργειῶν, αἴσθησιν μόνον δυνηθέντι λαβεῖν, τῆς τὸν Λόγον πο-*

65. Ἰω. 13,31. 66. Ἰω. 14,9. 67. Ἰω. 14,10.
68. Γεν. 39,12. 69. Ρωμ. 1,25. 70. Γ' Βασ. 19,12.

θείων κατὰ τὴ θεωρία. Λέει ὁ Κύριος ὅταν πορεύεται πρὸς τὸ πάθος· «τώρα δοξάστηκε ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ ὁ Θεὸς δοξάστηκε στὸ πρόσωπο ἐκείνου. Ἂν ὁ Θεὸς δοξάστηκε στὸ πρόσωπό του καὶ ὁ Θεὸς θὰ τὸν δοξάσει στὸν ἑαυτό του καὶ θὰ τὸν δοξάσει ἀμέσως»[65]. Ἀπὸ αὐτὸ γίνεται φανερὸ ὅτι στὰ παθήματα γιὰ χάρη τῆς ἀρετῆς ἀκολουθοῦν τὰ θεῖα χαρίσματα.

73 Ὡσότου βλέπομε σωματωμένο μέσα στὶς γραμμὲς τῆς ἁγίας Γραφῆς μὲ λογῆς αἰνίγματα τὸ Λόγο τοῦ Θεοῦ, δὲν ἔχομε ἀκόμη θεαστεῖ νοητὰ τὸν ἀσώματο καὶ ἁπλὸ καὶ ἑνιαῖο καὶ μόνο Πατέρα μέσα στὸν ἀσώματο καὶ ἁπλὸ καὶ ἑνιαῖο καὶ μόνο Υἱὸ σύμφωνα μὲ τὸ Λόγο, «ὅποιος εἶδε ἐμένα, εἶδε καὶ τὸν Πατέρα»[66], καί, «ἐγὼ εἶμαι μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα σ' ἐμένα»[67]. Χρειάζεται λοιπὸν πολλὴ γνώση, ὥστε, ξεφεύγοντας προηγουμένως τὰ καλύμματα ποὺ προκαλοῦν στὸ Λόγο τὰ λόγια, ἔτσι μὲ γυμνὸ νοῦ νὰ θεαστοῦμε τὸ Λόγο νὰ μένει καθαρὸς μόνος μὲ τὸν ἑαυτό του καὶ νὰ παρουσιάζει τὸν Πατέρα μὲ τὸν ἑαυτό του ξακάθαρα ὅσο εἶναι ἐφικτὸ στοὺς ἀνθρώπους. Γι' αὐτὸ εἶναι ἀνάγκη ὅποιος ζητεῖ μ' εὐσέβεια τὸ Θεό, νὰ μὴν πιάνεται ἀπὸ κανένα γράμμα κι ἀντὶ τὸ Θεὸ κατὰ λάθος νὰ πάρει κάτι σχετικὸ μὲ τὸ Θεό. Τοῦτο θέλει νὰ πεῖ μήπως ἀντὶ τὸ Λόγο, στέργοντας ἐπικίνδυνα τὸ γράμμα τῆς Γραφῆς ξαστοχήσει ὁ Λόγος τὸ νοῦ καὶ νομίσει ὅτι ἀπὸ τὰ περιβλήματα κρατάει τὸν ἀσώματο Λόγο. Ὅπως ἔγινε μὲ τὴν Αἰγυπτία ποὺ ἅρπαξε ὄχι τὸν Ἰωσὴφ ἀλλὰ τὰ ροῦχα του[68]· καὶ ὅπως μὲ τοὺς παλαιοὺς ἀνθρώπους πού, ἐπιμένοντας στὴν ὀμορφιὰ τοῦ ὁρατοῦ κόσμου, προσκυνοῦσαν χωρὶς νὰ τὸ καταλάβουν τὴ δημιουργία ἀντὶ τὸ δημιουργό[69].

74 Ὁ λόγος τῆς ἁγίας Γραφῆς, μὲ τὰ ὑψηλότερα νοήματα λίγο-λίγο ἀφοῦ ξεντύθηκε ὅλο τὸ πλέγμα τῶν γραμμάτων ποὺ εἶχαν διαπλαστεῖ γι' αὐτὸν σωματικά, δηλώνει τὴν ὕπαρξή του μὲ τὸν ἦχο αὔρας λεπτῆς[70] στὸ διορατικὸ νοῦ. Αὐτός, ἐπειδὴ τοῦ λείπουν ὁλότελα οἱ φυσικὲς ἐνέργειες, μπόρεσε ν' ἀντιληφθεῖ μονάχα τὴν ἁπλότητα ποὺ μαρτυρεῖ σ' ἕνα βαθμὸ τὸ Λόγο,

σῶς μηνυούσης ἁπλότητος, κατὰ τὸν μέγαν Ἠλίαν τὸν ἐν τῷ σπηλαίῳ Χωρὴβ ταύτης ἀξιωθέντα τῆς ὄψεως. Χωρὴβ γὰρ ἑρμηνεύεται νέωμα, ὅπερ ἐστὶν ἡ ἐν τῷ καινῷ Πνεύματι τῆς χάριτος ἕξις τῶν ἀρετῶν. Τὸ δὲ σπήλαιον, ἡ τῆς σοφίας ἐστὶ κατὰ νοῦν κρυφιότης, ἐν ᾗ ὁ γενόμενος, τῆς ὑπὲρ αἴσθησιν μυστικῶς αἰσθήσεται γνώσεως, ἐν ᾗ λέγεται τυγχάνειν ὁ Θεός. Πᾶς οὖν κατὰ τὸν μέγαν Ἠλίαν ζητῶν ἀληθῶς τὸν Θεόν, οὐ μόνον ἐν Χωρὴβ γενήσεται, τουτέστιν, ὡς πρακτικὸς ἐν τῇ ἕξει τῶν ἀρετῶν, ἀλλὰ καὶ ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρήβ, τουτέστιν, ὡς θεωρητικὸς ἐν τῇ κρυφιότητι τῆς σοφίας τῇ ἐν μόνῃ τυγχανούσῃ τῇ ἕξει τῶν ἀρετῶν.

75 Ὅταν ὁ νοῦς τὰς ἐπικειμένας αὐτῷ πολλὰς περὶ τῶν ὄντων ἐκτινάξηται δόξας, τότε σαφὴς αὐτῷ τῆς ἀληθείας ὁ λόγος ἀναφαίνεται, διδοὺς αὐτῷ τῆς ὄντως γνώσεως τὰς ὑποθήκας καὶ τὰς πρώην ἐπ᾽ αὐτῷ προλήψεις ὡσεὶ λεπίδας τῶν ὀπτικῶν δυνάμεων ἀπωθούμενος, κατὰ τὸν θεσπέσιον καὶ μέγαν ἀπόστολον Παῦλον. Λεπίδες γάρ εἰσιν, ὡς ἀληθῶς, ἐπικείμεναι τῷ διορατικῷ τῆς ψυχῆς καὶ ἀπείργουσαι τὴν πρὸς τὸν ἀκραιφνῆ τῆς ἀληθείας λόγον διάβασιν, αἵ τε πρὸς τὸ ῥητὸν μόνον τῆς Γραφῆς ὑπολήψεις, καὶ τῶν ὁρωμένων αἱ κατ᾽ αἴσθησιν προσπαθεῖς θεωρίαι.

76 Ὁ μὲν θεῖος ἀπόστολος Παῦλος τὴν τοῦ Λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν, ὁ δὲ μέγας εὐαγγελιστὴς Ἰωάννης τεθεᾶσθαι λέγει τὴν αὐτοῦ δόξαν· «ἐθεασάμεθα» γάρ, φησίν, «τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας». Καὶ μήποτε ὁ μὲν ἅγιος Παῦλος τὴν ὡς Θεοῦ Λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν. Ἐκ γὰρ τῶν ἐνεργειῶν, ποσῶς μόνον γινώσκεται. Ἡ γὰρ ἐπ᾽ αὐτῷ κατ᾽ οὐσίαν τε καὶ ὑπόστασιν γνῶσις, ὁμοίως πᾶσιν ἀγγέλοις τε καὶ ἀνθρώποις, καθέστηκεν ἄβατος, κατ᾽ οὐδὲν οὐδενὶ γινωσκομένη· ὁ δὲ ἅγιος Ἰωάννης τέλειον ὡς ἐν ἀνθρώποις τὸν τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μυη-

71. Φιλιπ. 4,7. 72. Πράξ. 9,18.
73. Α΄ Κορ. 13,9. 74. Ἰω. 1,14.

ὅπως στὸ μεγάλο Ἠλία ποὺ ἀξιώθηκε τὸ κοίταγμα αὐτὸ στὸ σπήλαιο Χωρήβ. Γιατὶ Χωρὴβ ἑξηγγεῖται νέωμα, ποὺ θὰ πεῖ ἀπόχτηση τῆς ἀρετῆς μέσα στὸ νέο πνεῦμα τῆς χάρης. Τὸ σπήλαιο πάλι εἶναι τὸ κρύψιμο τῆς σοφίας μέσα στὸ νοῦ. Κι ὅταν φτάσει σ' αὐτό, θὰ αἰσθανθεῖ μὲ τρόπο μυστικὸ τὴν πάνω ἀπὸ αἴσθηση γνώση[71], ὅπου λέγεται ὅτι ὑπάρχει ὁ Θεός. Καθένας λοιπὸν ποὺ ὅμοια μὲ τὸ μεγάλο Ἠλία ζητᾶ ἀληθινὰ τὸ Θεό, δὲ θὰ πάει μόνο στὸ Χωρήβ, δηλαδὴ στὴν ἀπόχτηση τῶν ἀρετῶν ὡς πρακτικός, ἀλλὰ καὶ μέσα στὸ σπήλαιο Χωρὴβ, δηλαδὴ ὡς θεωρητικὸς στὴν κρυφιότητα τῆς σοφίας, ποὺ ὑπάρχει μόνο μέσα στὴν ἀπόχτηση τῶν ἀρετῶν.

75 Ὅταν ὁ νοῦς ἀποτινάξει τὶς πολλὲς δοξασίες γιὰ τὰ ὄντα ποὺ τὸν πλακώνουν, τότε ἐμφανίζεται σ' αὐτὸν ὁ λόγος τῆς ἀλήθειας σαφής· τοῦ δίνει τὶς ἀλήθειες τῆς πραγματικῆς γνώσης καὶ τοῦ ἀπομακρύνει τὶς παλιὲς προλήψεις σὰν λέπια ἀπὸ τὰ πνευματικά του μάτια[72], ὅμοια μὲ τὸ θεῖο καὶ μεγάλο ἀπόστολο Παῦλο. Γιατὶ εἶναι στ' ἀλήθεια λέπια, ποὺ κάθονται στὸ διορατικὸ μέρος τῆς ψυχῆς κι ἐμποδίζουν τὴν μετάβαση στὸ γνήσιο λόγο τῆς ἀλήθειας, τόσο οἱ γνῶμες ποὺ ἀπορρέουν ἀπὸ τὸ γράμμα μόνο τῆς Γραφῆς, ὅσο καὶ οἱ συγγενεῖς μὲ τὴν αἴσθηση θεωρίες τῶν ὁρατῶν.

